Ministerio de Educación, Cultura y Deporte

TOLEDO
BIBLIOTECA PROVINCIAL
Sala Reservada
Número 730

TOLEDO
Biblioteca Arzobispal.
Sala "Reservado" Est. 9-6

Ministerio de Educación, Cultura y Deporte

(2) Tit 131225
R 375934
CB1195638

(1) Tit 147725
R 376057
CB1195636

Ministerio de Educación, Cultura y Deporte

Maximi Scholia de eccl. hierar. 67.
de Diuinis nomin. 120.
de mystica Theolog. 293.
in Epistolas. 307
Michaelis Syngeli encomiū in Diony. 345
Martyrium Dionysij. 387.
Georgij Pachimere paraphrasis in, de Coeles. tom. 2. p. 1.
de ecclas. hierarchia. p. 115.
de diuinis nominib. p. 193
de mystica Theolog. p. 369.
in epistolas — p. 389.

5 — 15 — 4
Ga. "Reservado" 9-6

Ministerio de Educación, Cultura y Deporte

# ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ ΣΧΟΛΙΑ

εἰς τὰ τοῦ μακαρίου Διονυσίου τοῦ Ἀρεοπαγίτου εὑρισκόμενα.

Μιχαὴλ τοῦ συγγέλου ἐγκώμιον εἰς τὸν αὐτὸν Ἀρεοπαγίτην.

# S. MAXIMI SCHOLIA IN EOS B. DIONYSII

libros qui extant.

Michaelis Syngeli laudatio eiusdem.



Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS, M. D. LXII.

Apud Guil. Morelium, in Græcis typographum Regium.

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

435.ſextam Sopatro ἱερεῖ, 437. Polycarpo ἱεράρχῃ ſeptimã, cuius Polycarpi Ignatius meminit: & Ioannis diſcipulũ fuiſſe & Smyrnæ epiſcopum, ſecundum Irenæum, Maximus docet, pag. 314.

Demophilo θεραπευτῇ ſcribit octauam, eúmque præter alia reprehendit, quod ἅγια ἁγίων ſit ingreſſus, quod populo & monachis non licebat, pag. 448. Vt hinc intelligas Chriſtianos tẽpla habuiſſe, vel quę Iudęorũ erãt, vel ad formam illorum adornata. Semper enim patuiſſe Chriſto & apoſtolis tẽplum Hieroſolymis & Euangelia, & Acta Apoſtolorum teſtantur: nec id ſolum, ſed ſynagogæ domos vbiq; terrarum in ſingulis ciuitatibus ædificatas, vt Petrus ait Act. 15. Chriſtus diſputat inter doctores in templo, Luc. 2. Docet in Synagogis Capernai: Marc. 4. Petrus, Iacobus, Ioannes, Andreas, Philippus & reliqui apoſtoli poſt aſcenſionem Chriſti, ſemper erant in templo perſeuerãtes vnanimiter in oratione & precatione cũ mulieribus, & Maria matre Ieſu, & cũ fratribus, laudantes & benedicentes Deum, Luc. 24. Act. 1. Intrant Petrus & Ioannes in templum ad horam orationis nonam, ibíque docent, Act. 3. 4. In porticu Salomonis docent. Act. 5. Paulus Damaſci ingreſſus in Synagogas concionatur Act. 9. In Ioppe aſcendit Petrus in ſuperiora domus Simonis Coriarii



Ministerio de Educación, Cultura y Deporte

vt oraret circa horam sextam, Act. 10.

Paulus in Synagogis docet Salaminæ, Act. 13. Antiochiæ, etiam ad id inuitatus. ibid. Iconii, 14. Thessalonicæ, Berrhœæ, Athenarum, 17. Corinthi, 19. Troadis, 20. Festinat Paulus vt diem pentecostes ageret Hierosolymis, 20. vbi assumptis viris quatuor votum super se habentibus, purificat se cum illis, & offertur oblatio pro vnoquoque eorum, Act. 21. 24.

Constituit idem per singulas ecclesias presbyteros & orant cum ieiuniis, Act. 14. Troadẽ ipse & comites vna sabbathi conueniunt ad frangẽdum panem. erant lampades multæ in cœnaculo vbi erant congregati, Act. 20. Admonet vt episcopi à spiritu sancto positi regere ecclesiam Dei, attendant sibi & vniuerso gregi, ibid. Phœben quæ Ecclesiæ ministrabat Cenchreis, commendat, Rom. 16. Corinthios arguit, quòd in ecclesiam conueniẽtes, alii alios præuerterent, & cœnam suam quisque ederent: *Nunquid*, inquit, *domos non habetis ad manducandum & bibendum, aut ecclesiã Dei contẽnitis?* 1. Cor. 11. Mulieres in ecclesia vult tacere, nec loqui, ibid. 14. Se reliquisse Titũ in Creta dicit, vt constitueret per ciuitates presbyteros, quos statim appellat episcopos, ad Titũ 1.

Nonam epistolam scribit ad Titum, ad quẽ etiam Paulus scribit. Decimam D. Ioanni Euangelistæ in insula Patmo exulanti, cuius libera†

Ministerio de Educación, Cultura y Deporte

cap.3. Hierotheum agnoſcit magiſtrum, poſt D. Paulum. pag. 279. item pag. 271. Rogatus per epiſtolam ad Timotheum ſcribit, vt eſt in lib. de Diuinis nominibus cap. 11. pag. 404. quem παῖδα vocat, pag. 18. 134. φίλον. 236. 420. καλὸν, 255. ἐνθουσιαστικὸν, 282. ἱερὸν τοῦ θεοῦ ἄνθρωπον, 404 Pauli ſecum diſcipulum, 275. comitem in exequiis Virginis Mariæ, 281.

Cum D. Petro, Iacobo fratre domini: cum Timotheo & aliis fratribus, funeri Virginis Mariæ interfuit, & hymnos de ea multorum qui aderãt audiuit: inter quos magiſtrũ ſuum palmam obtinuiſſe teſtatur, pag. 281. 282.

Ignatij diuini meminit, pag. 306. vbi & vſitatum eius ſermonem laudat, ὁ ἐμὸς ἔρως ἐσταύρωται. vide Maximi ſcholia in eum locum, pag. 180. vt intelligas quàm incaute Michael Syngelus in Encomio hinc colligat Dionyſiũ ſub Traiano paſſum fuiſſe, pag. 377. Vide itẽ Metrodori, ſiue vt alij volunt, Methodij, martyrium Dionyſij, pag. 393.

Clementem philoſophum citat, pag. 354. quem male de Alexandrino quidam interpretantur. Pachymeres Romanum intelligit, ex ſententia veterum interpretum, pag. 307. Certe in epiſtola Clementis ad Iacobum, ſe philoſophiæ ſtudioſum agnoſcit, & philoſophiam tractaſſe. Huius, opinor, Paulus meminit ad Philippenſes 4.

¶¶

Ministerio de Educación, Cultura y Deporte

Simonis παράνοιαν & Elymę magi παιδαριώδη ἀ-νοιαν reprehendit & conuincit,pag.358. & 375. De iis Act.8.& 13.

Bartholomæi apoſtoli, quem θεῖον appellat, dictum recenſet, probat & interpretatur, pag.421.

Iuſti, quē ἱερὸν vocat, ἀφθεγξίαν exponit, pag. 398. Huius Iuſti Apoſtolorum Acta meminerunt, cognomento Ioſe nuncupantes. Vide Maximi ſcholion, pag.275.

Apud Carpū hoſpitio ſuſceptus eſt in Creta, pag.462. vbi & viſionem eius quandam recenſet. Huius Carpi Paulus meminit, 2. ad Timotheum 4.

Caio θεραπευτῇ epiſtolas quatuor inſcribit, pag.431.432.433.434. Maximus eundem exiſtimat eſſe, ad quem D. Euangeliſta Ioannes tertiam epiſtolam ſcripſit, pag.306. Quòd ſit autem θεραπευτὴς idem qui monachus dicitur, Areopagita docet, Eccleſiaſtic. hierarchiæ cap. 6. & Philo Iudæus περὶ ἱκετῶν, item Euſeb. Cæſarienſis, quæ de monachis Philo tradit ad Chriſtianos referens, in commune viuētibus. Ioannes Apoſtolus huius Caii vitę inſtitutum laudat, ac in eo perſiſtere hortatur eum, hoſpitalitis ſtudioſum & veritatis. Eiuſdem Caii mentio fit in Actis Apoſtolorum 19. Paulus hoſpitem ſuum appellat ad Romanos, 16.

Dorotheo λειτουργῷ quintam inſcribit, pag.

Ministerio de Educación, Cultura y Deporte

60. μαξ. 47. παχυμ. 68.

ια. Διὰ τί πᾶσαι αἱ οὐράνιοι οὐσίαι κατὰ κοινοῦ δυνάμεις οὐράνιαι καλοῦνται. pag. 62. μαξ. 49, παχυμ. 74.

ιβ. Διὰ τί οἱ κατ' ἀνθρώπους ἱεράρχαι ἄγγελοι καλοῦνται. pag. 65. μαξ. 51. παχυμ. 77.

ιγ. Διὰ τί ὑπὸ τῶν σεραφὶμ λέγεται καθαρθῆναι ὁ προφήτης ἡσαΐας. pag. 67. μαξ. 51. παχυμ. 80.

ιδ. Τί σημαίνει ὁ παραδεδομένος ἀγγελικὸς ἀριθμός. pag. 80. μαξ. 58. παχυμ. 89.

ιε. Τίνες αἱ μορφωτικαὶ τῶν ἀγγελικῶν δυνάμεων εἰκόνες. τί τὸ πυρῶδες. τί τὸ ἀνθρωποειδές. τίνες οἱ ὀφθαλμοί. τίνες αἱ ῥῖνες. τίνα τὰ ὦτα. τίνα τὰ στόματα. τίς ἡ ἁφή. τίνα τὰ βλέφαρα. τίνες αἱ ὀφρύες. τίς ἡ ἀκμή. τίνες οἱ ὀδόντες. τίνες οἱ ὦμοι. τίνες αἱ ὠλέναι καὶ αἱ χεῖρες. τίς ἡ καρδία. τίνα τὰ στήθη. τίνα τὰ νῶτα. τίνες οἱ πόδες. τίνα τὰ πτερά. τίς ἡ γυμνότης. τίς ἡ ἀμφίασις. τίς ἡ λαμπρὰ ἐσθής. τίς ἡ ἱερατική. τίνες αἱ ζῶναι. τίνες αἱ ῥάβδοι. τίνα τὰ δόρατα. τίνες αἱ πέλυκες. τίνα τὰ γεωμετρικὰ σχοινία. τίνες οἱ ἄνεμοι τίνες αἱ νεφέλαι. τίς ὁ χαλκός. τί τὸ ἤλεκτρον. τίνες οἱ χοροί. τίνες οἱ κρότοι. τίνες αἱ χρόαι τῶν διαφόρων λίθων. τί τὸ λεοντοειδές. τί τὸ βοοειδές. τί τὸ ἀετοειδές. τίνες οἱ ἵπποι. τίνες αἱ διαφοραὶ τῶν ἱππίων χρωμάτων. τίνες οἱ ποταμοί. τίνα τὰ ἅρματα. τίνες οἱ τροχοί. τίς ἡ λεγομένη χαρὰ τῶν ἀγγέλων. pag. 81. μαξ. 58. παχυμ. 92.

## ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ἱεραρχίας, ἐν κεφαλαίοις ζ.

α. Τίς ἡ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας παράδοσις, καὶ τίς



Ministerio de Educación, Cultura y Deporte

ὁ ταύτης σκοπός. pag. 101. μαξ. 67. παχυμ. 115.
β. Περὶ τῶν ἐν τῷ φωτίσματι τελουμένων. pag. 111. μαξ. 72. παχυμ. 123.
γ. Περὶ τῶν ἐν τῇ συνάξει τελουμένων. pag. 130. μαξ. 82. παχυμ. 134.
δ. Περὶ τῶν ἐν τῷ μύρῳ τελουμένων, καὶ τῶν ἐν αὐτῷ τελουμένων. pag. 161. μαξ. 95. παχυμ. 152.
ε. Περὶ τῶν ἱερατικῶν τελειώσεων. pag. 179. μαξ. 101. παχυμ. 162.
ς. Περὶ τῶν τελουμένων τάξεων. pag. 202. μαξ. 108. παχυμ. 171.
ζ. Περὶ τῶν ἐπὶ τοῖς κεκοιμημένοις τελουμένων. pag. 212. μαξ. 112. παχυμ. 181.

## ΠΕΡΙ ΘΕΙΩΝ ΟΝΟΜΑΤΩΝ ἐν κεφαλαίοις ιγ.

α. Τίς ὁ τοῦ λόγου σκοπὸς, καὶ τίς ἡ περὶ θείων ὀνομάτων παράδοσις. pag. 238. μαξ. 120. παχυμ. 193.
β. Περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας, καὶ τίς ἡ θεία ἕνωσις καὶ διαίρεσις pag. 255. μαξ. 138. παχυμ. 216.
γ. Τίς ἡ τῆς εὐχῆς δύναμις, καὶ περὶ τοῦ μακαρίου ἱεροθέου, καὶ περὶ εὐλαβείας, καὶ συγγραφῆς θεολογικῆς. pag. 276. μαξ. 155. παχυμ. 233.
δ. Περὶ ἀγαθοῦ, φωτὸς, καλοῦ, ἔρωτος, ἐκστάσεως, ζήλου· καὶ ὅτι τὸ κακὸν οὔτε ὂν, οὔτε ἐξ ὄντος, οὔτε ἐν τοῖς οὖσι. pag. 284. μαξ. 159. παχυμ. 238.
ε. Περὶ ὄντος, ἐν ᾧ καὶ περὶ παραδειγμάτων. pag. 341. μαξ. 211. παχυμ. 293.

ς. Περὶ

Ministerio de Educación, Cultura y Deporte

berationem & ab exilio reuocationem præsagus prædicit.

DE admirabili solis deliquio, inusitato & supra naturam eueniente, ea hora qua Christus animam efflauit, scribit in epistola ad Polycarpum, pag. 442. Maximus, 318. Syngelus, 354. Suidas, in prolegomenis in Maximum.

Plura qui volet, Maximi scholia, Pachymeræ paraphrasin, Prologum in Dionysium, Syngeli Encomium, & martyrium Dionysii legat. Manifeste enim conuictos deprehendet huius tam sanctissimi & doctissimi Dionysii accusatores.

¶¶ 3

Ministerio de Educación, Cultura y Deporte

# QVÆ IN HIS LIbris continentur.

Περὶ τῆς οὐρανίας ἱεραρχίας, ἐν κεφαλαίοις ιε.

α. Ὅτι πᾶσα θεία ἔλλαμψις κατ' ἀγαθότητα ποικίλως εἰς τὰ προνοούμενα προϊοῦσα, μένει ἁπλῆ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑνοποιεῖ τὰ ἐλλαμπόμενα. pag. 1. μαξίμου. 1. παχυμέρη. 1.

β. Ὅτι πρεπόντως τὰ θεῖα καὶ οὐράνια καὶ διὰ τῶν ἀνομοίων συμβόλων ἐκφαίνεται. pag. 5. μαξ. 5. παχυμ. 7.

γ. Τί ἐστιν ἱεραρχία, καὶ τίς ἡ κατὰ ἱεραρχίαν ὄνησις. pag. 19. μαξ. 15. παχυμ. 17.

δ. Τί σημαίνει ἡ τῶν ἀγγέλων ἐπωνυμία. pag. 23. μαξ. 18. παχυμ. 23.

ε. Διὰ τί πᾶσαι αἱ οὐράνιοι οὐσίαι κατὰ κοινοῦ ἄγγελοι λέγονται. pag. 31. μαξ. 24. παχυμ. 29.

ς. Τίς ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις, τίς ἡ μέση, τίς ἡ τελευταία. pag. 33. μαξ. 26. παχυμ. 31.

ζ. Περὶ τῶν σεραφὶμ καὶ χερουβίμ, καὶ τῶν θρόνων, καὶ περὶ τῆς πρώτης αὐτῶν ἱεραρχίας. pag. 35. μαξ. 28. παχυμ. 33.

η. Περὶ τῶν κυριοτήτων, καὶ τῶν δυνάμεων, καὶ τῶν ἐξουσιῶν, καὶ περὶ τῆς μέσης αὐτῶν ἱεραρχίας. pag. 45. μαξ. 37. παχυμ. 51.

θ. Περὶ τῶν ἀρχῶν, καὶ τῶν ἀρχαγγέλων, καὶ τῶν ἀγγέλων, καὶ περὶ τῆς τελευταίας αὐτῶν ἱεραρχίας. pag. 52. μαξ. 42. παχυμ. 62.

ι. Ἐπανάληψις καὶ συναγωγὴ τῆς ἀγγελικῆς εὐταξίας. pag.

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

ϛ. Περὶ ζωῆς. pag. 356. μαξ. 2[illegible]1. παχυμ. 312.
ζ. Περὶ σοφίας, νοῦ, λόγου, ἀληθείας, πίστεως. pag. 260. μαξ. 235. παχυμ. 317.
η. Περὶ δυνάμεως, δικαιοσύνης, σωτηρίας, ἀπολυτρώσεως, ἐν ᾧ καὶ περὶ ἀνισότητος. pagin. 371. μαξ. 247. παχυμ. 327.
θ. Περὶ μεγάλου, μικροῦ, ταὐτοῦ, ἑτέρου, ὁμοίου, ἀνομοίου, στάσεως, κινήσεως, ἰσότητος. pag. 382. μαξ. 257. παχυμ. 334.
ι. Περὶ παντοκράτορος, παλαιοῦ ἡμερῶν, ἐν ᾧ καὶ περὶ αἰῶνος καὶ χρόνου. pag. 393. μαξ. 269. παχυμ. 346.
ια. Περὶ εἰρήνης, καὶ τί βούλεται αὐτὸ τὸ αὐτοεῖναι· τίς ἡ αὐτοζωή, καὶ τίς ἡ αὐτοδύναμις, καὶ τὰ οὕτω λεγόμενα. pag. 397. μαξ. 273. παχυμ. 350.
ιβ. Περὶ ἁγίου ἁγίων, βασιλέως βασιλέων, κυρίου κυρίων, θεοῦ θεῶν. pag. 407. μαξ. 283. παχυμ. 357.
ιγ. Περὶ τελείου καὶ ἑνός. pag. 411. μαξ. 285. παχυμ. 360.

## ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ ἐν κεφαλαίοις ε.

α. Τίς ὁ θεῖος γνόφος. pag. 419. μαξ 293. παχυμ. 369.
β. Πῶς δεῖ καὶ ἑνοῦσθαι καὶ ὕμνους ἀνατιθέναι τῷ πάντων αἰτίῳ, καὶ ὑπὲρ πάντα. pag. 423. μαξ. 298. παχυμ. 377.
γ. Τίνες αἱ καταφατικαὶ θεολογίαι, τίνες αἱ ἀποφατικαί. pag. 425. μαξ 299. παχυμ. 380.
δ. Ὅτι οὐδὲν τῶν αἰσθητῶν ὁ πάντως αἰσθητοῦ καθ᾽ ὑπεροχὴν αἴτιος. pag. 427. μαξ. 302. παχυμ. 384.
ε. Ὅτι οὐδὲν τῶν νοητῶν, ὁ παντὸς νοητοῦ καθ᾽ ὑπεροχὴν

Ministerio de Educación, Cultura y Deporte

αἴτιος. pag. 428. μαξ. 303. παχυμ. 385.

## ΕΠΙΣΤΟΛΑΙ ΔΕΚΑ.

α. Γαΐῳ θεραπευτῇ. pag. 431. μαξ. 306. παχυμ. 389.
β. Τῷ αὐτῷ. pag. 432. μαξ, 307. παχυμ. 394.
γ. Τῷ αὐτῷ. pag. 433. μαξ. 309. παχυμ. 395.
δ. Τῷ αὐτῷ. pag. 434. μαξ. 309. παχυμ. 396.
ε. Δωροθέῳ λειτουργῷ. pag. 435. μαξ. 312. παχυμ. 400.
ϛ. Σωπάτρῳ ἱερεῖ. pag. 437. μαξ. 313. παχυμ. 401.
ζ. Γολυκάρπῳ ἱεράρχῃ. pagin. 437. μαξ. 314. παχυμερ. 403.
η. Δημοφίλῳ θεραπευτῇ περὶ ἰδιοπραγίας καὶ χρηστότητος. pag. 443, μαξ. 319. παχυμ. 411.
θ. Τίτῳ ἱεράρχῃ pag. 466. μαξ. 330. παχυμ. 424.
ι. Ἰωάννῃ θεολόγῳ, ἀποστόλῳ, καὶ εὐαγγελιστῇ, περιορισθέντι κατὰ πάτμον τὴν νῆσον. pag. 482. μαξ. 342. παχυμερ. 441.
Μιχαὴλ συγγέλου καὶ πρεσβυτέρου ἱεροσολύμων, ἐγκώμιον εἰς τὸν ἅγιον διονύσιον. μαξ. pag. 345.
Μαρτύριον τοῦ ἁγίου διονυσίου τοῦ ἀρεοπαγίτου. μαξίμου. pag. 387.

Ministerio de Educación, Cultura y Deporte

## ΤΑΔΕ ΠΕΡΙΕΧΕΤΑΙ ΕΝ ταύτῃ τῇ βίβλῳ.

Ἐπιγράμματα διάφορα εἰς τὰ τοῦ ἁγίου Διονυσίου γεγραμμένα.

Πρόλογος τοῦ ἁγίου Μαξίμου, ἢ κατά τινας Ἰωάννου τοῦ Σκυθοπολίτου.

Ἑρμηνεία λέξεων κατὰ στοιχεῖον ἐμφερομένων τοῖς τοῦ ἁγίου Διονυσίου συγγράμμασι.

Περὶ τοῦ Διονυσίου ἐκ τῶν τοῦ Σουΐδα.

Τὰ τοῦ ἁγίου Μαξίμου σχόλια εἰς τὸ περὶ τῆς οὐρανίας ἱεραρχίας. pag. 1.

Εἰς τὸ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας. 67.

Εἰς τὸ περὶ θείων ὀνομάτων. 120.

Εἰς τὸ περὶ μυστικῆς θεολογίας. 293.

Εἰς τὰς ἐπιστολὰς δέκα. 306.

Μιχαὴλ τοῦ συγγέλου καὶ πρεσβυτέρου Ἱεροσολύμων ἐγκώμιον εἰς τὸν ἅγιον Διονύσιον. 345.

Μαρτύριον τοῦ ἁγίου Διονυσίου, κατὰ Μεθόδιον, ἢ ὡς ἄλλοι, Μητρόδωρον. 387.

ΕΠΙΓΡΑΜΜΑ

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΝ ΜΑ-καριον διονύσιον, περὶ τῆς οὐρανίου ἱεραρχίας στίχοι ἰαμβικοὶ, χριστοφόρου πατρικίου καὶ μιτυληναίου.

Ἐγὼ διονύσιε τολμῶ καὶ λέγειν,
ὡς οὐκ ἐπλάσθης ἐν γυναικὸς κοιλίᾳ·
ἀλλ' ἀγγέλοις μάλιστα συμπεπαγμένος,
ἄνωθεν ἦλθες ἐκ πόλου, φύσις ξένη,
βροτοῖς ἀπαγγέλλουσα πάντα πρὸς μέρος,
τὰ τῶν ἀΰλων ταγμάτων ὅπως ἔχει·
οὕτω γινώσκεις τὰς ἀΰλους οὐσίας·
οὕτω θεωρεῖς ἐν θέοις θεωρίας·
οὕτω θεωρεῖς τὰς φύσεις τῶν ἀγγέλων·
οὕτω τὸ μεῖζον, ἄγγελος σὺ τὴν φύσιν.

## ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ ΠΕΡΙ ΤΗΣ αὐτῆς τῆς οὐρανίας ἱεραρχίας.

Ἀγγελικῆς σοφίης ἀμαρύγματα πολλὰ κιχήσας,
ἀνθρώποις ἀνέφηνας ἰδεῖν νοοσύνθετον ἄστρον.

## ΕΠΙΓΡΑΜΜΑ ΠΕΡΙ ΤΗΣ ἐκκλησιαστικῆς ἱεραρχίας.

Σύμβολα θεσπεσίων ἱερέων ἑνοειδεῖ μύθῳ,
εἰς ἑνικὴν ἀνέλυσας ἑνὸς φάεος μίαν αἴγλην.

Ministerio de Educación, Cultura y Deporte

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΝ ΜΑ-καριον Διονύσιον, εἰς τὸ περὶ θείων ὀνομάτων.

Εἰς νόον αἰγλήεντα θεογράφα χίλεα βάψας,
κάλλεα ποικίλλεις ἱερώνυμα καὶ, μετὰ πότμον,
ζωοσόφοις λογίοις κελαδῶν θεοφάντορας ὕμνους.

## ΕΠΙΓΡΑΜΜΑ ΠΕΡΙ ΤΗΣ μυστικῆς θεολογίας.

Καὶ νόον αἰγλήεντα λίπες καὶ γνῶσιν ἐόντων
νύκτα δι᾽ ἀμβροσίην, τὴν οὐ θέμις ἐξονομῆναι.

## ΕΠΙΓΡΑΜΜΑ ΑΛΛΟ ΕΙΣ ΤΟ περὶ μυστικῆς θεολογίας.

Σὸν νόον ἀρδεύσας Διονύσιε χεύμασι Παύλου,
καὶ τηλεφάοις θεότητος ὅλην ἀκτῖνα ποθήσας
ἄφθιτον ἀνθρώποισι θεωνυμίης πόρες αἴγλην.

Ministerio de Educación, Cultura y Deporte

# ΕΙΣ ΤΑ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ, ΠΡΟΛΟΓΟΣ.

ΤΗΝ μὲν εὐγένειαν, τό, τε περιφανὲς ἐν πλούτῳ τοῦ μεγάλου διονυσίου, καὶ μόνον αὐτὸ τὸ κατ' ἀθηναίους βουλευτήριον, καθ' ὃ βουλεύειν ᾑρέθη, παρίστησι· τῶν γὰρ ἀρεοπαγιτῶν εἷς ἐτύγχανεν οὗτος, ὡς ὁ θεῖος ἐδήλωσε λουκᾶς, ἱστορῶν τὰς τῶν ἱερῶν ἀποστόλων ἱερὰς πράξεις· εἰπὼν γὰρ τὸν ἁγιώτατον ἀπόστολον παῦλον γενόμενον ἐν ἀθήναις, συμβάλλοντά τε τισὶν εἰς λόγους τῶν ἐξ ἐπικούρου φιλοσόφων, καὶ τῶν γε μὴν ἀπὸ τῆς στοᾶς· καὶ κηρύξαντα τὴν εἰς τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν πίστιν, τήν τε τῶν νεκρῶν ἀνάστασιν, καὶ τὴν καθολικὴν κρίσιν, συλληφθῆναι παρὰ τῶν ἀφιλοσόφων· οὐ γὰρ ἀληθῶς φιλοσόφων ἀθηναίων τε κατὰ τὸν ἄρειον πάγον, καὶ δημηγορήσαντα, παραχρῆμα τινὰς ἑλεῖν, καὶ πρὸς τὸ τῆς ἀληθείας μεταθεῖναι φῶς, ἐπάγει· καὶ οὕτως ὁ παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν· τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν· ἐν οἷς καὶ διονύσιος ὁ ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

Ἐγὼ μὲν οὖν οὐ μάτην ἀκούω τοῦ παρὰ πάντας τοὺς πεπιστευκότας τότε διὰ τοῦ θείου παύλου, μόνον τὸν ἄριστον διονύσιον ἐξονομασθῆναι παρὰ τοῦ θεοφόρου συγγραφέως, προσεπιθέσεως αὐτοῦ καὶ τῆς ἀξίας. φησὶ γὰρ ἀρεοπαγίτης. ἐπιβάλλω δὲ μᾶλλον, ὅτι διά τε τὸ κατὰ σοφίαν περιττὸν, καὶ διὰ τὸ ἐν ἀθηναίοις ἀνεπιλήπτου πολιτείας ἔκκριτον, μνημονευθῆναι μετὰ τῆς οἰκίας αὐτοῦ. χρὴ δὲ εἰδέναι καθὰ προέφην, ὡς



Ministerio de Educación, Cultura y Deporte

οὐ παντὸς ἀνδρὸς ἦν, εἰς τὴν ἐξ ἀρείου πάγου βουλὴν τελεῖν· ἀλλ' οἱ παρ' ἀθηναίοις προτεύοντες, ἔν τε γένει καὶ πλούτῳ καὶ βίῳ χρηστῷ· καὶ κατὰ τοῦτ' οἱ ἐπίσημοι καθεστῶτες, ἐβούλευον εἰς τὴν ἐξ ἀρείου πάγου βουλήν· ἐκ γὰρ τῶν ἐννέα καθισταμένων ἀρχόντων ἀθήνησιν, τοὺς ἀρεοπαγίτας ἔδει συνεστάναι δικαστάς, ὡς φησὶν ἀνδροτίων ἐν δευτέρᾳ τῶν ἀτθίδων· ὕστερον δὲ πλειόνων γέγονεν ἡ ἐξ ἀρείου πάγου βουλή, τουτέστιν ἡ ἐξ ἀνδρῶν περιφανεστέρων πεντήκοντα καὶ ἑνός, πλὴν ἐξ εὐπατριδῶν, ὡς ἔφημεν, καὶ πλούτῳ καὶ βίῳ σώφρονι διαφερόντων, ὡς ἱστορεῖ φιλόχορος διὰ τῆς τρίτης τῶν αὐτῶν ἀτθίδων. ἔξω δὲ τῆς πόλεως ἦν τὸ κατὰ ἄρειον πάγον δικαστήριον, κληθὲν οὕτω καθ' ἃ μυθολογοῦσιν ἀθηναῖοι, ἐκ τῆς κατ' αὐτὴν τὴν ἐξοχὴν τοῦ κατὰ τὴν πόλιν ὄρους, συστάντος δικαστηρίου μεταξὺ ποσειδῶνος καὶ ἄρεως. ὁ γὰρ ποσειδῶν δίκην εἶπε πρὸς ἄρεα κατὰ τοὺς ἀρχαίους μύθους παρ' ἀθηναίοις, ἐν τῷ τόπῳ τούτῳ, φάσκων ἀναιρεθῆναι τὸν ἴδιον υἱὸν ἁλιρρόθιον ὑπ' ἄρεως· κἀκεῖθεν ἐξ ἄρεως ὁ πάγος ἐκεῖνος, ἄρειος ἐκλήθη. ἐδίκαζον οὖν ἀρεοπαγῖται περὶ πάντων σχεδὸν τῶν σφαλμάτων καὶ παρανομιῶν, ὡς ἅπαντα φησὶν ἀνδροτίων ἐν πρώτῃ, καὶ φιλόχορος ἐν δευτέρᾳ καὶ τρίτῃ τῶν ἀτθίδων.

Διὰ δὲ τοῦτο ὡς καινῶν δαιμονίων καταγγελέα τὸν θεότατον παῦλον, ὡς ἱστόρησεν ὁ φιλαλήθης λουκᾶς, οἱ τῆς ὑπὸ θεοῦ μωρανθείσης σοφίας ἐρασταί, πρὸς τὴν ἐξ ἀρείου πάγου βουλὴν ἕλκουσιν. ἀλλ' ἐν τοῖς ἀρεοπαγίταις τηνικαῦτα χρόνου βουλευόντων, ὅ τε δικαστὴς ἀκλινέστατος, ὁ πάμμεγας διονύσιος, ἀδέκαστον ἀπένειμε τῇ κατὰ τὸν πνευματοφόρον παῦλον ἀληθείᾳ τὴν ψῆφον, ἐρρῶσθαί τε πολλὰ φράσας τῇ τῶν ἀρεοπαγιτῶν ἀρρήτῳ σεμνότητι, τὸν ἦθη καὶ πα-

Ministerio de Educación, Cultura y Deporte

νεπίσκοπον κριτὴν ἐννοήσας χριστὸν ἰησοῦν, τὸν τοῦ θεοῦ καὶ πατρὸς υἱὸν μονογενῆ καὶ λόγον, ὃν ὁ παῦλος ἐκήρυξεν, εὐθὺς εἴχετο τοῦ φωτός· καὶ γὰρ οἱ ῥωμαῖοι τότε ἐκράτουν· ἀλλ᾽ οὖν αὐτονόμοις ἀφῆκαν ἀθήνας καὶ λακεδαιμονίαν· ὅθεν ἔτι παρὰ ἀθηναίοις καὶ τὰ κατὰ τοὺς ἀρεοπαγίτας ἐπολιτεύετο. καὶ τελεῖται μὲν ἅπαντα τῆς σωτηρίας τὰ δόγματα διὰ παύλου τοῦ κρατίστου· παιδαγωγεῖται δὲ διδασκαλικῶς ὁ διονύσιος, ὑπὸ ἱεροθέῳ τῷ μεγίστῳ, καθὰ φησὶν ὁ αὐτός. εἶτα καθίσταται κατὰ τὸ φερόμενον ἐν ἑβδόμῳ βιβλίῳ τῶν ἀποστολικῶν διαταγμάτων ὁ διονύσιος, ἐπίσκοπος ὑπὸ παύλου τοῦ χριστοφόρου τῶν ἐν ἀθήνησι πιστευσάντων.

Μνημονεύει δὲ τοῦ ἀρεοπαγίτου καὶ διονύσιος ἀρχαῖος κορινθίων ἐπίσκοπος, καὶ πολύκαρπος ἐν τῇ πρὸς ἀθηναίους ἐπιστολῇ αὐτοῦ. ἔστι δὲ τὴν ὀρθότητα καὶ πολυμάθειαν ἀποθαυμάσαι τοῦ ἁγίου τούτου διονυσίου, τὸν ἀληθῶς διὰ πολλῆς ἰδόμενον ἐπιστήμης τῶν ἀνεπιλήπτων τῆς ἐκκλησίας παραδόσεων, θεάσασθαί τε τὰ παρὰ τοῖς τῶν ἑλλήνων φιλοσόφοις νόθα δόγματα, πρὸς τὴν ἀλήθειαν μετενηνεγμένα. ἐλεῆσαι γὰρ δεῖ μᾶλλον καὶ συναλγῆσαι τῆς ἀπροσεξίας τοὺς ὀλιγώρους τῆς εὐπαιδευσίας ἐξετάσας, ὅτι τῇ σφῶν ἀμαθίᾳ συμμετροῦσι καὶ τὰς τῶν ἔξω ἀνθρώπων φιλομαθεῖς εὐθυμοσύνας. ἐντυγχάνοντες γοῦν οἱ τοιοῦτοι συγγράμμασιν ἐνίων, καὶ τυχὸν οὐ παρακολουθοῦντες τῇ τῶν λεγομένων διανοίᾳ, πρὸς ἀδιάκριτον εὐθὺς ἐκφέρονται τοῦ συγγραφέως διαβολήν. καίτοι γε παντελῶς οὐ δυνάμενοι τὰ σκώμματα διευθύνειν τε καὶ διελέγχειν ἃ φασὶν αὐτοί, δέον ἐπὶ σφᾶς αὐτοὺς τρέπειν τὴν ὀργήν, καὶ μᾶλλον ἀγάλλειν, ὅτι μὴ σπουδάσαντες, ἔγνωσαν καὶ αὐτοὶ τὰ περὶ γνῶσιν ᾐτημένα· ἢ τἀληθές, ὅτι μὴ πρὸς τοὺς ἱκανοὺς περὶ τὰ τοιαῦτα



Ministerio de Educación, Cultura y Deporte

φιλομαθῶς γεγονότες, τῶν ἀπορημάτων ἀπελύθησαν.

Ἀλλὰ τολμῶσί τινες λοιδορεῖν εἰς αἱρέσεις τὸν θεῖον Διονύσιον, καθάπαξ καὶ τὰ τῶν αἱρετικῶν ἀγνοοῦντες· εἰ γὰρ ἄν, ἐξ ἑκάστου τῶν κατακεκριμένων ἐν τοῖς αἱρετίζουσι συγκρίνοντες τὰ παρὰ τούτων δόγματα, πολλῷ τῶν φλαύρων ἀφεστηκότα διεγίνωσκον, καθ' ὅσον φῶς ἀληθὲς καὶ σκότος. τί γὰρ εἴποιεν ἐν τοῖς περὶ τῆς μόνης προσκυνητῆς τριάδος θεολογουμένοις παρ' αὐτῷ· τί δ' ἂν περὶ τοῦ τῆς παμμακαρίας ταύτης τριάδος ἑνὸς Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς θεοῦ λόγου τελείως ἐνανθρωπῆσαι θελήσαντος· οὐχὶ ψυχὴν ἔννουν, καὶ σῶμα τὸ καθ' ἡμᾶς γήϊνον διεξῆλθε, καὶ τὰ λοιπὰ τὰ ὅσα τοῖς ὀρθοῖς ἐντέτακται διδασκάλοις. τί δὲ περὶ νοητῶν καὶ νοερῶν καὶ τῶν αἰσθητῶν μέμψαιτ' ἄν τις εἰκότως· ἢ περὶ τῆς καθολικῆς ἡμῶν ἀναστάσεως τῆς μετὰ σώματος τοῦ καθ' ἡμᾶς καὶ τῆς ἡμῶν ψυχῆς γενησομένης· καὶ περὶ τῶν τότε δικαιωτηρίων, δικαίων τε καὶ τῶν μὴ βιούντων· εἰς ταῦτα γὰρ συλλήβδην εἰπεῖν, ἡ καθ' ἡμᾶς ἀφορᾷ σωτηρία, ἅτινα πλατέως διεξελθεῖν οὐ δίκαιον, τῆς ἐπὶ σχολίων ἐξηγήσεως ἅπαντα κατὰ καιρὸν ἐπισημαινομένης.

Ναὶ φασίν ἀλλ' οὐκ ἔγραψεν αὐτοῦ τὰς συντάξεις Εὐσέβιος ὁ Παμφίλου· καὶ μὴν οὐδὲ Ὠριγένης.

Πρὸς οἷς λεκτέον, ὡς πάμπολλα παρῆκεν Εὐσέβιος οὐκ ἐλθόντα περὶ χεῖρας οἰκείας· καὶ γὰρ οὔτε φησὶν ἅπαντα καθάπαξ συναγειοχέναι· μᾶλλόν γε μὴν ὁμολογεῖ τὸν ἀριθμὸν κρείττονα βιβλία καθεστάναι, μηδαμῶς εἰς αὐτὸν ἐληλυθότα. καὶ πολλῶν ἐδυνάμην μνημονεῦσαι μὴ κτηθέντων αὐτῷ· καὶ ταῦτα τῆς αὐτοῦ χώρας, ὡς Ὑμεναίου καὶ Ναρκίσσου τῶν ἱερασαμένων ἐν Ἱεροσολύμοις· ἐγὼ γοῦν ἐνέτυχόν ποτε τῶν Ὑμεναίου. τὸ μὴν οὔτε Παντίνου τοὺς πόνους ἀνέγραψεν, οὔτε

Ministerio de Educación, Cultura y Deporte

τοῦ ῥωμαίου κλήμεντος, πλὴν δύο καὶ μόνων ἐπιστολῶν· ἀλλ' οὔτε πλείστων ἑτέρων. ὁ γὰρ ὠριγένης, οὐκ οἶδα εἰ πάντων, μόλις δὲ τεττάρων ἐμνήσθη. διάκονος δέ τις ῥωμαῖος πέτρος ὄνομα, διηγήσατό μοι, πάντα τὰ τοῦ θείου διονυσίου σώζεσθαι, κατὰ τὴν ἐν ῥώμῃ τῶν ἱερῶν βιβλιοθήκην ἀνατεθειμένα.

Γράφει δὲ τὰ πλεῖστα πρὸς τὸν τρισμακάριον τιμόθεον, τὸν τοῦ ἁγίου ἀποστόλου παύλου φοιτητὴν, ἐφεσίων ἐπίσκοπον, ὑπὸ τῶν κατὰ τὴν ἔφεσον τῆς ἰωνικῆς φιλοσοφίας προεστώτων, ὡς εἰκὸς, πάσχοντα πράγματα, καὶ πυνθανόμενον, ὡς εἰδήμονος τῆς ἐξωτερικῆς φιλοσοφίας, ἵνα καὶ μᾶλλον ἀγωνίζοιτο. καὶ οὐδὲν ἀπεικός· ἐπεὶ καὶ ὁ θεοφιλὴς ἀπόστολος παῦλος, ταῖς ἑλληνίσιν ἐχρήσατο ῥήσεσι, ταύτας ἀκούων τυχὸν, παρὰ τῶν συνόντων αὐτῷ, τῆς ἑλληνικῆς φιλοσοφίας ἐμπείρων. συνίστησι δὲ καὶ τοῦτο, διονυσίου ταῦτα φιλαληθῶς τὰ συγγράμματα καθεστάναι· τὸ γὰρ ἀνεπιτηδεύτως μνημονεύειν αὐτὸν ῥήσεων τῶν συνακμασάντων αὐτῷ ἀνδρῶν, ὧν αἵ τε θεῖαι τῶν ἀποστόλων μνημονεύουσι πράξεις, καὶ παύλου τοῦ θεοφιλοῦς αἱ πολυωφελεῖς ἐπιστολαὶ, τὸ τῶν συγγραμμάτων ἀσκαιώρητον ἀποφαίνουσι· μάλιστα δὲ πάντων, τὸ τῶν δογμάτων ἀσφαλέστατον.

Ἐπειδὴ δέ τινες φασὶ, μὴ εἶναι τοῦ ἁγίου τὸ σύγγραμμα, ἀλλά τινός τῶν μεταγενεστέρων, ἀνάγκη αὐτοὺς καὶ τῶν ἀπηγορευμένων τινὰ καὶ ἀτόπων αὐτὸν τιθέναι, καταψευδόμενον τοιαῦτα ἑαυτοῦ, ὡς συνῆν τοῖς ἀποστόλοις, καὶ ἐπέστελλεν οἷς οὐδὲ συνεγένετο ποτὲ κατ' αὐτοὺς, οὐδὲ ἐπέστειλε.

Τὸ δὲ καὶ πλάσασθαι προφητείαν πρὸς τὸν ἀπόστολον ἰωάννην ἐν ἐξορίᾳ ὄντα, ὡς ἐπανήξει πάλιν εἰς τὴν ἀσιάτιδα γῆν, καὶ τὰ συνήθη διδάξει, τοῦτο τερατολόγου ἀνδρὸς καὶ



Ministerio de Educación, Cultura y Deporte

προφήτου δόξαν ἐκ μακροῦ θηρουμένου.

Ἐξηγητικῶν μὲν οὖν ὑπομνημάτων, ὡς ὅτι μάλιστα διεξοδικωτάτων, ἐδεῖτο, πρὸς ἑρμηνείαν τῆς αὐτοῦ πολυμαθείας· πλὴν κεφαλαιωδέστερον, ὡς ἡ βίβλος ἐχώρησε, διὰ σχολίων, τὰ φανέντα μοι θεῷ πεποιθὼς παρατέθεικα, καὶ τὰ τοῖς ἑξῆς παρακειμένοις λόγοις, οἷς πως εἰς τὰς ἐμὰς ἐλθεῖν συμβέβηκε χεῖρας.

Ἰστέον ὡς τινὲς τῶν ἔξω φιλοσόφων, καὶ μάλιστα πρόκλος, θεωρήμασι πολλάκις τοῦ μακαρίου διονυσίου κέχρηται, καὶ αὐταῖς δὲ ξηραῖς ταῖς λέξεσι· καὶ ἔστιν ὑπόνοιαν ἐκ τούτου λαβεῖν, ὡς οἱ ἐν ἀθήναις παλαιότεροι τῶν φιλοσόφων, σφετερισάμενοι τὰς αὐτοῦ πραγματείας, ὡς ἐν τῇ παρούσῃ ἀπομνημονεύει βίβλῳ, ἀπέκρυψαν, ἵνα πατέρες αὐτοὶ ὀφθῶσι τῶν θείων αὐτοῦ λογίων· καὶ κατ' οἰκονομίαν θεοῦ, νῦν ἀνεφάνη ἡ παροῦσα πραγματεία, πρὸς ἔλεγχον τῆς αὐτῶν κενοδοξίας καὶ ῥᾳδιουργίας. καὶ ὅτι σύνηθες αὐτοῖς τὰ ἡμέτερα σφετερίζεσθαι, διδάσκει ὁ θεῖος βασίλειος, εἰς τό, ἐν ἀρχῇ ἦν ὁ λόγος, ἐπ' αὐτῆς τῆς λέξεως οὑτωσὶ λέγων· ταῦτα οἶδα πολλοὺς τῶν ἔξω τοῦ λόγου τῆς ἀληθείας μεγάλα φρονούντων ἐπὶ σοφίᾳ κοσμικῇ, καὶ θαυμάσαντας, καὶ τοῖς ἑαυτῶν συντάγμασιν ἐγκαταλέξαι τολμήσαντας· κλέπτης γὰρ ὁ διάβολος, καὶ τὰ ἡμέτερα ἐκφερομυθῶν, πρὸς τοὺς ἑαυτοῦ ὑποφήτας· καὶ οὗτος μὲν οὕτως. τὰ δὲ νουμηνίου τοῦ πυθαγορικοῦ προφανῶς λέγοντος· τί γάρ ἐστι πλάτων, ἢ μωσῆς ἀττικίζων, οὐδεὶς ἀρνήσασθαι δυνήσεται, οὐχ ἡμετέρου, ἀλλὰ τῶν ἐναντίων ὄντος, ὡς μαρτυρεῖ καὶ εὐσέβιος ὁ τῆς παλαιστίνων καισαρείας καθηγησάμενος, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ πρὸ τῆς χριστοῦ παρουσίας σύνηθες τοῖς ἔξω σοφίας, τὰ ἡμέτερα κλέπτειν.

Ministerio de Educación, Cultura y Deporte

Τὸ δὲ καὶ λέγειν αὐτὸν ἐν αὐτῷ τῷ καιρῷ, τοῦ σωτηρίου πάθους, ἐν ἡλιουπόλει συνόντα ἀπολλοφάνει, θεωρεῖν καὶ συμφιλοσοφεῖν περὶ τῆς ἡλιακῆς ἐκλείψεως, ὡς οὐ κατὰ φύσιν, οὐδὲ κατὰ τὸ ἔθος τότε γεγενημένης· λέγειν δὲ αὐτὸν καὶ παρεῖναι σὺν τοῖς ἀποστόλοις τῇ προσκομιδῇ τοῦ λειψάνου τοῦ θείου τῆς ἁγίας θεοτόκου μαρίας· καὶ χρήσεις προφέρειν ἱεροθέου τοῦ ἰδίου διδασκάλου ἐκ τῶν εἰς αὐτὴν ἐπιταφίων λόγων· πλάττεσθαι δὲ καὶ ἐπιστολὰς καὶ λόγους, ὡς πρὸς τοὺς μαθητὰς τῶν ἀποστόλων ἐκφωνηθέντας, πόσης ἀτοπίας καὶ καταγνώσεως, καὶ τῷ τυχόντι ἀνθρώπῳ, μήτι γε δὴ ἀνδρὶ τοσούτῳ ἀνηγμένῳ, κατά τε ἦθος καὶ γνῶσιν, καὶ τὸ ὑπεραίρειν τὰ αἰσθητὰ πάντα, καὶ τοῖς νοεροῖς συνάπτεσθαι κάλλεσι, καὶ δι᾽ αὐτῶν ὡς ἐφικτὸν θεῷ.

## ΠΙΝΑΞ ΤΗΣ ΒΙΒΛΟΥ.


Περὶ οὐρανίου ἱεραρχίας, κεφάλαια ιε.

Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας, κεφ. ζ.

Περὶ θείων ὀνομάτων, κεφ. ιγ.

Περὶ μυστικῆς θεολογίας, κεφ. ε.

Ἐπιστολαὶ δέκα. πρὸς γάϊον, δ̄. πρὸς δωρόθεον, ᾱ. πρὸς σωσίπατρον, ᾱ. πρὸς πολύκαρπον, ᾱ. πρὸς δημόφιλον, ᾱ. πρὸς τίτον, ᾱ. πρὸς τὸν θεολόγον ἰωάννην εὐαγγελιστήν, ᾱ.


Ἐπισκεπτέον, ὅτι καὶ ἑτέρων αὐτοῦ πραγματειῶν μνήμην ποιεῖται ἐν τῇδε τῇ βίβλῳ, οὕτως·

Ἐκ τοῦ περὶ θείων ὀνομάτων, ἐν κεφαλαίῳ β.

Τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις ἐξετασθὲν ἡμῖν ἀποδέδεικται, τὸ πάσας ἀεὶ τὰς θεοπρεπεῖς θεωνυμίας, οὐ μερικῶς,

Ministerio de Educación, Cultura y Deporte

ἀλλὰ ἐπὶ τῆς ὅλης καὶ παντελοῦς, καὶ ὁλοκλήρου, καὶ πλήρεις θεότητος, ὑπὸ τῶν λογίων ὑμνεῖσθαι.

Καὶ μετ' ὀλίγα.

Τούτων ἡμῖν, βραχέως μὲν ἐν τούτοις καὶ μετρίως· ἐν ἄλλοις δὲ ἱκανῶς ἐκ τῶν λογίων ἀποδεδειγμένων.

Καὶ μετὰ ἕτερα ἐν τῷ τετάρτῳ κεφαλαίῳ.

Καὶ ὅσα ἄλλα εἴρηται πρὸς ἡμῶν ἐν τῷ περὶ ἀγγελικῶν ἰδιοτήτων.

Καὶ πάλιν.

Καὶ ὅσα ἄλλα πρὸς ἡμῶν ἐν τοῖς περὶ ψυχῆς ἀπηριθμήθη.

Καὶ ἐπὶ τέλει τοῦ αὐτοῦ κεφαλαίου δ.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τοῖς περὶ δικαιοσύνης καὶ θείου δικαιωτηρίου κατὰ δύναμιν ἱκανῶς εἰρήσθω.

Καὶ ἐκ τοῦ περὶ τῆς οὐρανίας ἱεραρχίας κεφαλαίου ζ. περὶ τὸ τέλος, οὕτως.

Ταύτας δὲ τὰς ὑπερτάτας τῶν ὑπερουρανίων νοῶν ὑμνολογίας, ἤδη μὲν ἐν τοῖς περὶ τῶν θείων ὕμνων, ὡς ἐφικτὸν, ἀνεπτύξαμεν.

Καὶ ἐκ τῆς περὶ ἐκκλησιαστικῆς ἱεραρχίας, μετ' ὀλίγα τῆς ἀρχῆς.

Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τῇ περὶ νοητῶν τε καὶ αἰσθητῶν πραγματείᾳ διεξοδικώτερον εἴρηται. καὶ μετ' ὀλίγα πάλιν περὶ τῆς αὐτῆς πραγματείας λέγει.

Ἐν δὲ τῷ περὶ μυστικῆς θεολογίας κεφαλαίῳ γ. ἄρχεται οὕτως·

Ἐν μὲν οὖν ταῖς θεολογικαῖς ὑποτυπώσεσι, τὰ δὲ ἡμῖν ὑμνήθη.

Ἐν δὲ τῇ περὶ θείων ὀνομάτων τὰ δέ.

Ἐν δὲ τῇ συμβολικῇ θεολογίᾳ, τίνες αἱ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ θεῖα μετωνυμίαι.

Ministerio de Educación, Cultura y Deporte

# ΕΡΜΗΝΕΙΑ ΛΕΞΕΩΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΕΜΦΕ-ρομένων τῇδε τῇ βίβλῳ.

Ἀγάμενος, θαυμάσας, ἐκπλαγείς.
ἄγαν, πάνυ.
ἀγεννῶς, ἀσθενῶς, ἀνάνδρως.
ἁγιστεία, ἁγιασμός, κάθαρσις.
ἀγκύλον, σκολιόν, δυσχερές, ποικίλον.
ἀγκυλόχηλον, σκολιόχηλον.
ἀγλαΐα, λαμπρότης.
ἀγνῶτες, ἄγνωστοι, ἀνεπιστήμονες, ἀμαθεῖς, ἀγνώριμοι.
ἀδέκαστος, δίκαιος, ἀδωροδόκητος, ἀπροσωπόληπτος, ὀρ-
ἄδυτα, τὰ ἐνδότατα ἅγια, τὰ ἀποκρυφότερα. (θός.
ἀδρανῶς, ἀσθενῶς.
ἀθυρόντων, παιζόντων.
ἀθύρματα, παίγνια.
αἴγλη, λαμπηδών.
αἶσχος, ῥύπος, μίασμα.
ἀκραιφνές, καθαρόν, διαυγές, τέλειον, ἄθικτον.
ἀκηλίδωτον, καθαρόν, ἄρρυπον.
ἀκμή, νεότης.
ἅλις, ἀρκούντως, ἱκανῶς.
ἁλῶναι, ληφθῆναι.
ἀμάλθακτον, ἀνένδοτον, ἑδραίαν, ἰσχυράν, παγίαν, βεβη-
ἀμείλικτον, ἀκολάκευτον, ἀπαρέγκλιτον. (κυῖαν.
ἀμβλωθρίδια, τὰ ἐξημβλωμένα ἔμβρυα.
ἀμοιβαίαις, ἀνταλλαττομέναις.
ἀμυδρῶς, ἀσθενῶς, λεπτῶς, οὐ σαφῶς, ἀλάμπως, σκοτεινῶς.

Ministerio de Educación, Cultura y Deporte

ἀμυήτους, ἀκατηχήτους, ἀμαθεῖς, ἀνεπιστήμονας:

ἀμφοῖν, τοῖν δύο ἢ ἀμφοτέροις.

ἄμφω, ἑκατέρωθεν, ἢ ἀμφότεροι.

ἀμαυρὰ, ἀσθενὴς, ἀλαμπὴς, ἀτραίωτος, σκοτεινή.

ἄναντες, πρόσω, ἄνω, ἐπὶ τὸ προκείμενον.

ἀνακτόροις, βασιλείοις.

ἀνάπαυλαν, ἀνάπαυσιν.

ἀνάπτυξις, διασάφησις.

ἀνακάθαρσις, διάνοιξις, διασάφησις, ἐπίλυσις, διευκρί-

ἀνίερος, βέβηλος, αἰσχρός. (νησις.

ἀνιώντων, ὀδυνώντων, λυπούντων.

ἀντερεῖ, ἀντιλέξει.

ἀντωπεῖν, ἀντιβλέπειν, ἀντοφθαλμεῖν.

ἀντιπεπονθότως, ἀντικειμένως, ἐναντίως.

ἀολλῆ ποιεῖ, συνηθροισμένα, ἡνωμένα.

οὐκ ἀπᾳδούσας, οὐκ ἀπρεπεῖς, οὐκ ἀλλοτρίας, οὐκ ἐναν-

ἀπαναίνεσθαι, ἀπαρνεῖσθαι. (τιουμένας.

οὐκ ἀπεικότως, οὐ παρὰ τὸ πρέπον.

ἀπερράπισεν, ἀπεφίμωσεν, ἀπεστόμισεν· ἢ ἀπερρίπισεν, ἀπή-
λασεν, ἀπεδίωξεν.

ἀπερισάλπιγκτοι, ἀπεριήχητοι, ἀκατήχητοι.

ἀπεμφαίνει, ἀπέοικεν.

ἀπεστομάτισαν, ἀπεφθέγξαντο.

ἀπήμονα, ἀβλαβῆ.

ἀπόχρη, ἐξαρκεῖ.

ἀπόφασις, λόγος ἀποφατικός.

ἀπόφασις, ἀπόφανσις τινὸς ἀπό τινος.

ἀποφάσκει, ἀπαγορεύει, ἢ ἀποφατικῶς ἀπαγορεύει, ἤτοι
διαγορεύει.

Ministerio de Educación, Cultura y Deporte

ἀποδεόντων, ἀπολειπομένων.

ἀποπερατοῦσαν, συμπληροῦσαν, συμπεραίνουσαν.

ἀραρότως, ἁρμοζόντως, ἢ παγίως, ἑδραίως.

ἀρρενωπὸν, ἄθελκτον, ἀθήλωτον, ἀνδρεῖον, ἀνένδοτον, ἀπαρέγκλιτον ὑφέσει πάσῃ. ἰστέον δὲ ὡς ἐπὶ γυναικῶν ἀνδριζομένων ἢ ἀρρενοφανῶν εἴρηται.

ἀρωγὸς, βοηθός.

ἀσμένως, περιχαρῶς, ἡδέως.

ἄττα, τινὰ, ἢ ἅττα, ἢ παραπλήσια.

ἀτιθάσων, ἀνημέρων.

αὖ, δὴ ἢ πάλιν.

αὖθις, παραυτὰ, ἢ εὐθέως, ἢ πάλιν.

Βάναυσος, πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος.

Γανυμένη, εὐφραινομένη, ἢ χαίρουσα.

γαργαλίζοντας, ἐπὶ τὸ ἡδέως καταπείθειν περὶ τοῖς ἑπομένοις.

γυνικῶς, γυναίως.

γέρα, τιμαὶ, ἀμοιβαὶ, ἀνταποδόσεις.

Δαῖτας, εὐωχίας, ἀείσας τροφάς.

δεδιττόμενος, ἐκφοβῶν.

δειμάτων, φόβων.

δεινοὶ, σοφοὶ, ἔμπειροι.

διευκρινηθῇ, εὐδιακριθῇ, εὐδιοείστως καὶ σαφῶς διατρανωθῇ.

διειδέστατον, διαφανέστατον, καθαρώτατον, διαυγέστατον, λαμπρόν.

διειδεστάτοις, ἤτοι διαφανεστάτοις.

διεῖσα, λάμπουσα, διεισιοῦσα, διεισβάλλουσα.

διαπορθμεύεται, διακομίζεται, διαπερᾷ, διατυποῦται.

διάμετρον, τὸ ἀπὸ πέρατος εἰς πέρας κατὰ πλάτος διάστημα.

Ministerio de Educación, Cultura y Deporte

ἐγχειρίδια, ξίφη, ὅπλα.
δράσει, ἐνεργήσει, πράξει.
δραστηρίως, ἐνεργῶς, ἐργαστικῶς, πρακτικῶς.
δρώμενα, ἐνεργούμενα, πραττόμενα.
Ἐκφαντορία, ἔκφανσις, φανέρωσις.
ἐλάτειραν, ἀπελαστικὴν, ἐκδιώκτειραν.
ἐμφερείας, ὁμοιότητος.
ἐναπομόργνυνται, ἐναποτυποῦσι.
ἐναρμόνιον, ἐμμελὲς, πρόσφορον.
ἐναγεστάτη, ῥυπαρωτάτη.
ἐνὴν, δυνατὴν, ἐνδεχομένην.
ἐν κόσμῳ, ἐν εὐκοσμίᾳ.
εἰκῆ, ματαίως.
εἰκὸς, πρέπον, δέον, ἀκόλουθον.
εἰκαιολογῆσαι, ματαιολογῆσαι.
εἰκαῖον, μάταιον.
εἶναι θεὸς, ὑπάρχειν, γεγενῆσθαι διὰ τοῦ βαπτίσματος.
εἴ τῳ, εἴ τινι.
εἰ δέ τῳ, εἰ δέ τινι.
ἐκτετικότες, ἀποδεδωκότες.
ἐξιωμένους, ἰωμένους, ἰατρεύοντας.
ἐπίπροσθεν, ἔμπροσθεν, πρὸ τοῦ θυσιαστηρίου.
ἐπιφοίτησις, ἐπέλευσις, παρουσία.
ἐρῶν, ἐφιέμενος, ἐπιθυμῶν.
ἐρῶν, φήσων, λέξων.
εὔρυνον, πλάτυνον.
εὐρώστως, ὑγιῶς.
εὐεικτὰ, εὐπειθῆ.
ἑστίασις, εὐωχία, εὐφροσύνη, χαρά.

Ministerio de Educación, Cultura y Deporte

ἐσέφθη, ἐνταῦθα ἀντὶ τοῦ ἐσεβάσθη, ἐτίμησεν, ἐθαύμασεν, ἐξεπλάγη. εἴρηται καὶ ἀντὶ τοῦ ἡσύχασεν, ἠχλύωθη.

ἔφεσις, ἐπιθυμία.

ἐφικτὸν, καταληπτόν.

ἐφιτὸν, ἐξόν.

εὐθυμοσύνας, εὐθέτους καὶ εὐσχήμους δημιουργίας, ἢ τὰς εὖ ἐχούσας τάξεις καὶ θέσεις.

πρὸς ἕω, πρὸς ἀνατολάς.

ἑῷον, πρωϊνὸν, ἀνατολικόν.

Η, ὅτι δασύνεται καὶ περισπᾶται, ἀντὶ τοῦ ὡς, ἢ καθό.

ἡβῶσαν, ἀκμάζουσαν, νεάζουσαν.

ἡγήσοιτο, προηγήσοιτο.

ἥττόνων, ὑποδεεστέρων.

Θεοειδὲς, τὸ κατ' εἰκόνα λέγει.

θεογενεσίαν, τὸ βάπτισμα.

θεορρημοσύνη, τοῖς θείοις ῥήμασι, τῇ θείᾳ διδασκαλίᾳ, τῇ κατηχήσει.

θεωρὸς, θεωρητική.

θεμιτὸν, ἔννομον, δίκαιον.

θιασῶται, χορευταὶ, οἱ τὰ θεῖα ᾄδοντες.

Ἰδιαίτερον, ἰδικώτερον, ἰδίως προσειρημένον.

ἵδρυσις, ἑδραίωσις, ἀσφάλεια.

ἵλεω, ἱλασμός.

ἵλεως, ἱλαρὸς, εὐμενής.

ἴνδαλμα, φαντασία, ἀφομοίωμα.

ἴσχει, ἐνταῦθα κατέχει.

ἴτω, ἴετω, ἐρχέσθω.

ἰταμοὶ, ἀναίσχυντοι, ἀναιδεῖς.

Κακεργέτησιν, κακοέργοις.

Ministerio de Educación, Cultura y Deporte

κατάφασις, λόγος καταφατικός.
κατάφασις, ἀπόφανσις τινὸς κατά τινος.
κατὰ τῆς κόῤῥης, κατὰ τῆς σιαγόνος, κατὰ τοῦ κροτάφου, κατὰ τῆς κορυφῆς.
κατὰ καθετὸν, τὸ ἀπὸ ὕψους εἰς βάθος διάστημα.
καταδεῖται, καταδεσμεῖται.
κατεδάρθη, κατεκλίθη.
ἐκαθεύδησεν, ὕπνωσεν.
κηλὶς, μῶμος, μομφή.
κλεινὸς, ἔνδοξος ἀρετῇ.
κλείθροις, κλειδώμασι.
κραιπάλη, ὁ ἐκ πολλῆς οἰνώσεως ἐπακολουθῶν παλμὸς καὶ κλόνος τῷ κρανίῳ, ἤγουν τῇ κάρᾳ.
Λῆξιν, συμπλήρωσιν, συμπεραίωσιν.
λοξὰ, σκολιὰ, καμπύλα, οὐκ ἐξ εὐθείας γινωσκόμενα.
Μαρμαρυγαὶ, λαμπηδόνες.
μαινόμενοι, λοχευόμενοι, ἀναγόμενοι, τρεφόμενοι.
μέθη, ἡ ἐκ πολλῆς οἰνώσεως ὀξεῖα μετένεξις τοῦ ἡγεμονικοῦ.
μίθρου, τοῦ ἡλίου.
μυσταγωγία, μυστηρίων ἀγωγὴ, διδασκαλία καὶ μετουσία· ἢ μυήσεως ἀγωγὴ καὶ μετάληψις δηλαδὴ θεία.
μύησις, μάθησις, κατήχησις, ἐπιστήμη.
μυχῶν, τόπων σκοτεινῶν ἢ κρυπτῶν.
Ὁμόγνια, ὁμογενῆ, γνήσια, φίλα.
ὀνίνησιν, ὠφελεῖ.
οἷοι, δυνατοί.
οἶμον, ὁδόν.
οὐκ ἀπᾳδούσας, οὐκ ἀπρεπεῖς, οὐκ ἀλλοτρίας, οὐκ ἀπηχουμένας.

οὐκ

Ministerio de Educación, Cultura y Deporte

ἐκ ἀπεικότως, οὐ παρὰ τὸ πρέπον.

ἐκ ἀπό, οὐ πόρρω, ἐκ ἔξω.

ἐκ ἐξορχήσῃ, ἐκ ἐπιδεικτικῶς οὐδὲ θεατρικῶς δημοσιεύσῃς.

ὀλβίου, πλουσίου.

ὀπαδὸς, ἀκόλουθος.

ὀῤῥωδῶ, φοβοῦμαι.

Πάμπαν, παντελῶς.

περιουσία, περιωσεία, πλεονασμὸς, ὑπεροχὴ, ἀσύγκριτος οὐσία.

περιπεζίας, ἐπιβάτης, πορθητής, καταληπτής.

περαῖνον, ἀποτελοῦν.

περιφίς, περιπλακείς.

περιεπλάκιζες, ὕβριζες.

περιϊοῦσα, περιερχομένη.

περινάουσα, περιχέουσα.

πρὸς ἕω, πρὸς ἀνατολάς.

προσεχής, ἀκλινῶς καὶ ἀνεπιστρόφως ἑαυτῆς καὶ τῆς ἑαυ-(τῆς θεωρός.

προπουργὸς, προυπεργός.

πίσεται, πάθη ὑποστήσεται.

πιαλέοις, ὡς διψαλέοις. εἴρηται ἐπὶ ποιοῖς τισὶν ἰδίως ὄφεσι, τοῖς κατ' ἐκεῖ χῶρον μάλιστα εὑρισκομένοις, ἐξ ὧν ἰατροὶ ὡς τὰ πολλὰ τὴν θηριακὴν σκευάζουσιν· οὕτως ἀπηθέτως τούτοις ἐντεῦθεν ἁπλῶς τίθεται αὐτῷ πιαλέοις, τουτέστι πιαινομένοις, ποτίμοις, λιπαροῖς, πλουσίοις ἅμα τε ὑπερεκχεομένοις καὶ κορεστικοῖς.

πνοιαί, φῦσον, πνόησιν.

Ῥᾷον, εὐχερὲς, εὔκολον.

ῥαστώνην, εὐχέρειαν, εὐκολίαν.

Σεφθήμεν, σεβασθείημεν, τιμήσοιμεν, ἐκπλαγείημεν, θαυμάσοιμεν.

**

Ministerio de Educación, Cultura y Deporte

στέρνα, στήθη.

συμπτύσσει, συγκλείει, συνάγει, ἑνοῖ.

σύμβολον, αἰσθητόν τι ἀντὶ νοητοῦ παραλαμβανόμενον, οἷον ἀντὶ τῆς ἀΰλου καὶ θείας τροφῆς καὶ εὐφροσύνης, ἄρτος καὶ οἶνος, καὶ ὅσα τοιαῦτα.

συνελών, συλλαβών, συναγαγών.

συλλήβδην, συνειλημμένως, ὑφ' ἕν, ὁμοῦ.

σχολή, τὸ μηδὲν δρᾶν ἢ καὶ τὸ περί τι σχολάζειν.

ταύτῃ, οὕτως.

ταὐτήν, ὁμοίαν, ἴσην, τὴν αὐτήν.

τελετή, μυστηρίων ἐπιτέλεσις, τελείωσις.

τελεταρχία, τῶν τελετῶν ἢ τῶν τελουμένων ἄρχουσα.

τότε, ἀντὶ τοῦ πότε.

Ὗας, χοίρους.

ὕπαιθρος, ὑπαέριος.

ὑποτύπωσις, ὑπογραμμός, ὑπόδειγμα.

ὑποτύφοντας, ὑποφλέγοντας, καίοντας.

ὑποφῆται, διδάσκαλοι, ὑπουργοί, διάκονοι.

ὕφεσις, ὑπόβασις.

ὑφειμένον, ὑποβεβηκός, δευτερεῦον.

Φαμέν, λέγομεν.

φασί, λέγουσι.

φάναι, εἰπεῖν.

φανήν, λαμπράν.

φανοτάτῳ, λαμπροτάτῳ.

φθῖνον, λῆγον, ἐλαττούμενον.

φοιτῶσαν, ἀφικνουμένην, παραγινομένην.

φρουρητικόν, φυλακτικόν.

Ὠλέναι, χεῖρες, πήχεις, βραχίονες.

Ministerio de Educación, Cultura y Deporte

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν διονύσιος, ἔξωθε λέγει, τελετὰς, ἱεροτελεστάς. τελετάρχας, μυσταγωγούς. τελεστικοὺς, τελεσιουργούς. ἱεράρχας, προηγουμένως τὸν χριστὸν, ἑπομένως δὲ παῦλον καὶ τοὺς λοιποὺς ἀποστόλους, καὶ τοὺς τούτοις ὑφηγησαμένους, τούς τε πατριάρχας, καὶ ἀρχιεπισκόπους, καὶ μητροπολίτας, καὶ ἐπισκόπους. ἱερεῖς δὲ, καὶ φωτιστικοὺς, καὶ ἱερουργοὺς, τοὺς πρεσβυτέρους. λειτουργοὺς δὲ, καὶ καθαρτικοὺς, τοὺς διακόνους. θεραπευτὰς, τοὺς διακόνους, καὶ ὑποδιακόνους. καὶ τοὺς ἐν λαϊκοῖς, μοναχούς· ὧν τινῶν μοναχῶν τὴν τάξιν, πασῶν τῶν τελουμένων τάξεων ὑψηλοτέραν εἶναι φησὶ, καὶ ὑπὸ τῆς ἱερᾶς θεσμοθεσίας ἀφιερωτικῆς ἠξιῶσθαι ἐπικλήσεως, οὐχ ἱεραρχικῆς· οὐ γὰρ ὑπὸ ἱεράρχου φησὶν αὐτοὺς τελεσιουργεῖσθαι, ἀλλ᾽ ὑπὸ τῶν ἱερέων δευτέρως ἱερουργεῖσθαι εἰς τὴν μοναχικὴν τελείωσιν.

## ΠΕΡΙ ΤΟΥ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ἀρειοπαγίτου, ἐκ τῶν τοῦ σουΐδα.

ΔΙΟΝΥΣΙΟΣ ὁ ἀρειοπαγίτης, ἐπίσκοπος ἀθηνῶν, ἀνὴρ ἐλλογιμώτατος, καὶ τῆς ἑλληνικῆς παιδείας εἰς ἄκρον ἐληλακὼς, ἀκουστὴς παύλου πρὸς τὴν τοῦ χριστιανισμοῦ θρησκείαν, καὶ ὑπ᾽ αὐτοῦ καταστάθεις εἰς αὐτὰς τὰς ἀθήνας ἐπίσκοπος· πρὸς δὲ τὴν πάτριον τῶν ἑλληνικῶν μαθημάτων ἄσκησιν πάντων προυκέκριτο· ἑκάστης γὰρ, ὡς εἰπεῖν, αἱρέσεως τῆς ὑπ᾽ αὐτῶν πρεσβευομένης, ἐν πολλῇ καθεστήκει τῇ πείρᾳ. οὗτος ἤκουσε παύλου δημηγοροῦντος ἐν ἀθήναις, καὶ τὸν χριστὸν, καὶ τὴν ἀνάστασιν μετὰ παρρησίας τοῖς ἕλλησιν εὐαγγελιζομένου· καὶ πιστεύσας τῷ παύλου κηρύγματι



Ministerio de Educación, Cultura y Deporte

τι, ὑπ' αὐτοῦ, καὶ τῆς πόλεως ἐπισκοπεῖν ἐπιτέτραπται. κατὰ γοῦν τὴν ἀρχὴν Τιβερίου καίσαρος, ὅτε δὴ καὶ τὴν ἡλικίαν ἤκμαζεν, ἀπῆρεν εἰς αἴγυπτον, τοῖς ἐκεῖσε σοφοῖς ὁμιλήσων ἐπειγόμενος. συνῆν δὲ αὐτῷ καὶ Ἀπολλοφάνης ἐκεῖνος ὁ σοφιστής, ὃν Πολέμων ὁ Λαοδικεὺς ἐν Σμύρνῃ διήκουσεν, ὁ διδάσκαλος Ἀριστείδου. κατὰ γοῦν τὸν καιρὸν τοῦ σωτηρίου πάθους τοῦ δεσπότου χριστοῦ, ἄμφω ὄντε ἐν Ἡλιουπόλει τῇ ἐν αἰγύπτῳ. καὶ δὴ τῆς ἡλιακῆς ἐκλείψεως οὐ κατὰ φύσιν γεγενημένης· οὐ γὰρ ἦν συνόδου καιρός· εἰπεῖν λέγεται πρὸς τὸν μακάριον Διονύσιον τὸν σοφιστὴν Ἀπολλοφάνην ταῦτα, ὦ καλὲ Διονύσιε, ἀμοιβαὶ θείων πραγμάτων. μνημονεύει δὲ τούτων ὁ αὐτὸς Διονύσιος, ἐν τῇ πρὸς Πολύκαρπον τὸν μέγαν ἐπιστολῇ, τὸν Σμύρνης ἐπίσκοπον. ἦν γὰρ ὁ Ἀπολλοφάνης τῷ Διονυσίῳ τοῦ χριστιανισμοῦ ἕνεκα διαλοιδορούμενος, καί φησι, Σὺ δὲ φῂς λοιδορεῖσθαί μοι τὸν σοφιστὴν Ἀπολλοφάνην, καὶ πατραλοίαν ἀποκαλεῖν, ὡς τοῖς ἑλλήνων ἐπὶ τοὺς ἕλληνας οὐχ ὁσίως χρωμένῳ. καίτοι πρὸς αὐτὸν ἡμᾶς ἦν ἀληθέστερον εἰπεῖν, ὡς ἕλληνες τοῖς θείοις οὐχ ὁσίως ἐπὶ τὰ θεῖα χρῶνται, διὰ τῆς σοφίας, τοῦ θεοῦ τὸ θεῖον ἐκβάλλειν πειρώμενοι σέβας· καὶ μετὰ μικρόν,

Ἀλλὰ καὶ αὐτὸς Ἀπολλοφάνης οὐχ ὁσίως τοῖς θείοις ἐπὶ τὰ θεῖα χρῆται. τῇ γὰρ τῶν ὄντων γνώσει καλῶς λεγομένῃ πρὸς αὐτοῦ φιλοσοφίᾳ, καὶ πρὸς τοῦ θείου Παύλου σοφίᾳ θεοῦ κεκλημένῃ, πρὸς τὸν αἴτιον καὶ αὐτῶν τῶν ὄντων, καὶ τῆς γνώσεως αὐτῶν ἐχρῆν ἀνάγεσθαι τοὺς ἀληθεῖς φιλοσόφους. καὶ μετὰ βραχέα, Ἔδει συνιδεῖν Ἀπολλοφάνην σοφὸν ὄντα, μὴ ἄν ἄλλως ποτὲ δυνηθῆναι τῆς οὐρανίας παρατραπῆναι τάξεως καὶ κινήσεως, εἰ μὴ τὸν τοῦ εἶναι αὐτὴν καὶ συνοχέα, καὶ αἴτιον ἔχειν εἰς τοῦτο κινοῦντα, τὸν ποιοῦντα πάντα καὶ μετασκευάζοντα, κατὰ τὸν ἱερὸν λόγον. καὶ αὖθις μετὰ μικρόν, Εἶπε δ' αὐτῷ, τί

λέγχε περὶ τῆς ἐν τῷ σωτηρίῳ σταυρῷ γεγονυίας ἐκλείψεως· ἀμφοτέρω γὰρ τότε κατὰ ἡλιούπολιν ἅμα παρόντε καὶ συνεστῶτε, παραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτουσαν ἑωρῶμεν· οὐ γὰρ ἦν συνόδου καιρός· αὖθίς τε αὐτὴν ἀπὸ τῆς ἐνάτης ὥρας, ἄχρι τῆς ἑσπέρας, εἰς τὸ τοῦ ἡλίου διάμετρον ὑπερφυῶς ἀντικαταστᾶσαν. ἀνάμνησον δέ τι καὶ ἕτερον αὐτόν· οἶδε γὰρ, ὅτι καὶ τὴν ἔμπτωσιν αὐτὴν ἐξ ἀνατολῶν ἑωράκαμεν ἀρξαμένην, καὶ μέχρι τοῦ ἡλιακοῦ πέρατος ἐλθοῦσαν, εἶτα ἀναποδίσασαν· καὶ αὖθις οὐκ ἐκ τοῦ αὐτοῦ, καὶ τὴν ἔμπτωσιν καὶ τὴν ἀνακάθαρσιν, ἀλλ' ἐκ τοῦ κατὰ διάμετρον ἐναντίου γεγενημένην. τοσαῦτα τοῦ τότε καιροῦ τὰ ὑπερφυῆ καὶ μόνῳ Χριστῷ τῷ παναιτίῳ δυνατὰ, τῷ ποιοῦντι μεγάλα καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ταῦτα εἴ σοι θεμιτὸν εἰπὲ καὶ δυνατὸν, ἀπολλόφανες ἐξέλεγχε, καὶ πρὸς ἐμὲ τὸν τότε συμπαρόντα σοι καὶ συνεωρακότα, καὶ συνανακρίνοντα πάντα καὶ συναγάμενον ἀμέλει καὶ μαντείας τότε, οὐκ οἶδ' ὅθεν ὁ ἀπολλοφάνης ἀπάρχεται. καὶ πρὸς ἐμὲ ὥσπερ τὰ γινόμενα συμβάλλων, ἔφη ταῦτα, ὦ καλὲ διονύσιε, θείων ἀμοιβαὶ πραγμάτων. τοσαῦτα ὡς κατ' ἐπιστολὴν εἴρηκεν ὁ μέγας διονύσιος πρὸς τὸν θεοφόρον πολύκαρπον. τῆς δέ γε σοφίας αὐτοῦ, καὶ τῆς εὐγλωττίας ἔνδειξις ἀκριβὴς ἡ τῶν παρ' αὐτοῦ γραφεισῶν βίβλων ἀνυπέρβλητος φράσις· τῇ γὰρ παρὰ τῶν ἔξωθεν καλουμένῃ παιδείᾳ, τῇ τε θείᾳ καὶ ἡμετέρᾳ, πολλὴν εἶχε τὴν ἐπιστήμην ἐν ἑκατέρᾳ· εἰ γάρ τις ἀπίδοι πρὸς τὰ κάλλη τῶν αὐτοῦ λόγων, καὶ τὰ βάθη τῶν νοημάτων, οὐκ ἀνθρωπίνης φύσεως ταῦτα νομίσῃ γεννήματα, ἀλλά τινος ἀκηράτου καὶ θείας δυνάμεως. καὶ τίνων αὐτῷ γέγραπται τάδε· πρὸς τιμόθεον ἐπίσκοπον ἐφέσου, καὶ αὐτὸν μαθητὴν παύλου τυγχάνοντα, περὶ θείων ὀνομάτων βιβλία ιβ. περὶ ἡνωμένης καὶ διακεκριμένης



Ministerio de Educación, Cultura y Deporte

θεολογίας. περὶ τοῦ, τίς ἡ τῆς εὐχῆς δύναμις. καὶ περὶ τοῦ μακαρίου ἱεροθέου, καὶ περὶ εὐλαβείας, καὶ συγγραφῆς θεολογικῆς. περὶ ἀγαθοῦ, φωτὸς, καλοῦ, ἔρωτος, ἐκστάσεως, ζήλου· καὶ ὅτι τὸ κακὸν οὔτε ὂν, οὔτε ἐξ ὄντων, οὔτε ἐν τοῖς οὖσι. περὶ τοῦ ὄντος, ἐν ᾧ καὶ παραδείγματα. περὶ ζωῆς. περὶ σοφίας, νοῦ, λόγου, ἀληθείας, πίστεως. περὶ δυνάμεως, δικαιοσύνης, σωτηρίας, ἀπολυτρώσεως. περὶ μεγάλου καὶ μικροῦ, ταὐτοῦ, ἑτέρου, ὁμοίου, ἀνομοίου, στάσεως, κινήσεως, ἰσότητος. περὶ παντοκράτορος, παλαιοῦ ἡμερῶν, ἐν ᾧ καὶ περὶ αἰῶνος, καὶ χρόνων. καὶ τί βούλεται τὸ αὐτὸ εἶναι. περὶ ἁγίου ἁγίων, βασιλέως βασιλέων, καὶ κυρίου κυρίων, καὶ θεοῦ θεῶν. ἑτέρα βίβλος πρὸς τὸν αὐτὸν τιμόθεον, περὶ ἐκκλησιαστικῆς ἱεραρχίας περιέχουσα κεφάλαια ιε. ἑτέρα βίβλος πρὸς τὸν αὐτὸν τιμόθεον, περὶ τῆς οὐρανίου ἱεραρχίας, περιέχουσα καὶ αὐτὴ κεφάλαια ιε. ἄλλη πρὸς τὸν αὐτὸν τιμόθεον βίβλος, περὶ μυστικῆς θεολογίας, περιέχουσα κεφάλαια πέντε. φέρονται δὲ αὐτοῦ καὶ ἐπιστολαὶ, πρὸς γάϊον θεραπευτὴν δ. πρὸς δωρόθεον λειτουργὸν α. πρὸς σωσίπατρον ἱερέα α. πρὸς πολύκαρπον ἱεράρχην σμύρνης α. πρὸς δημόφιλον θεραπευτὴν α. πρὸς ἰωάννην τὸν θεολόγον τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν, α. ἰστέον δὲ ὥς τινες τῶν ἔξω σοφῶν, καὶ μάλιστα πρόκλος, θεωρήμασι πολλάκις τοῦ μακαρίου διονυσίου κέχρηται, καὶ αὐταῖς δὲ ξηραῖς ταῖς λέξεσι. καὶ ἔστιν ὑπόνοιαν ἐκ τούτου λαβεῖν, ὡς οἱ ἐν ἀθήναις παλαιότεροι τῶν φιλοσόφων, σφετερισάμενοι τὰς αὐτοῦ πραγματείας, ὧν αὐτὸς μνημονεύει πρὸς τιμόθεον γράφων, ἀπέκρυψαν, ἵνα πατέρες αὐτοὶ ὀφθῶσι τῶν θείων αὐτοῦ λόγων. ὁ τοίνυν θεοφάντωρ διονύσιος, ἤδη που μακρὸν ἐλάσας χρόνον, καὶ πλήρης ἡμερῶν γεγονὼς τῶν ἐπιδημήματος, μαρτυρίῳ τῷ ὑπὲρ χριστοῦ τελειοῦται, ἐπὶ τραϊανοῦ καίσα-

Ministerio de Educación, Cultura y Deporte

ρος, ὅτε καὶ ὁ θεοφόρος ἰγνάτιος, τὸν τῆς ἀθανασίας διήθλησεν ἀγῶνα. ὅτι εἰς τὸν μέγαν διονύσιον ἔγραψεν ἐγκώμιον μιχαὴλ σύγκελος ἱεροσολύμων, ἐν ᾧ φησίν, ὅσα δι' ἀγράφου παραδόσεως, ἢ ἐγγράφως παρειλήφαμεν, ἥκομεν ὑμῖν φιλοκροάμασι παραθησόμενοι. τοιοῦτος οὖν εἰς ἡμᾶς κατήντηκε λόγος, ἀνέκαθεν πατρὸς παρὰ παιδὶ παραδιδόμενος, ὡς ὁ μέγας διονύσιος ἔτι ὢν κατὰ τὸν τοῦ σωτηρίου πάθους καιρόν, ἡνίκα μεσούσης ἡμέρας ὁ ἥλιος ἐκρύπτετο ἐπὶ τῷ παραδόξῳ σφόδρα τεθηπώς, καὶ τὴν ἀνθρωπίαν ὑπερβεβηκὼς γνῶσιν, κατανοήσας τὸ γεγονός, ἄγνωστος, ἔφη, πάσχει θεός δι' ὃν τόδε τὸ πᾶν ἐζόφωταί τε καὶ σεσάλευται. καὶ παραχρῆμα τὸν χρόνον, καθ' ὃν τοῦτο τὸ παγκόσμιον ἐπετέλεστο τερατούργημα, τεκμηριωσάμενος ἐτήρει παρ' ἑαυτῷ, τοὐντεῦθεν διαγγελούμενον καραδοκῶν. μέμνηται μέντοι καὶ αὐτὸς ἐν τῇ πρὸς πολύκαρπον ἐπιστολῇ, τῆς ἡλιακῆς ἐκλείψεως ἐκείνης τῆς φρικωδεστάτης· ἀπολλοφάνους γὰρ ἀνδρὸς φιλοσόφου, τὴν θρησκείαν ἕλληνος τυγχάνοντος, νεμεσῶντός τε καὶ λοιδορουμένου τῷ τρισολβίῳ τούτῳ, ὡς ἑταίρῳ δῆθεν ὄντι φιλτάτῳ καὶ ὁμογενεῖ, τὰ πατρῷα μὲν μυσαττομένῳ σεβάσματα, τὴν δὲ τῶν χριστιανῶν περιεπομένῳ τε καὶ ἀσπαζομένῳ πίστιν, καὶ ταύτης ἀγωνιστικώτατα ὑπερασπίζειν, καὶ τοῖς ἑλλήνων κατὰ τῶν ἑλλήνων χρωμένῳ τὴν λοιδορείαν, καὶ νέμεσιν διασκευάζειν πειρώμενος, μᾶλλον δὲ ὑποτιθέμενος τῷ πολυκάρπῳ, πρὸς ὃν καὶ ὁ συχαπώτης ἐποιεῖτο τὰ σκώμματα, τάδε φησί, σὺ δὲ φῂς λοιδορεῖσθαί μοι τὸν σοφιστὴν ἀπολλοφάνην, καὶ πατραλοίαν ἀποκαλεῖν, καὶ τὰ ἑξῆς.

## ΠΕΡΙ ΤΟΥ ΜΙΧΑΗΜ ΤΟΥ ΣΥΓ-
## γέλου, ἐκ τῶν τοῦ αὐτοῦ.

ΜΙΧΑΗΛ σύγγελος ἱεροσολύμων ἔγραψεν ἐγκώμιον εἰς τὸν μέγαν διονύσιον.

ΤΟΥ ΑΓ-

Ministerio de Educación, Cultura y Deporte

# ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΤΟΥ ἁγίου διονυσίου ἀρεοπαγίτου.

## Εἰς τὸ περὶ τῆς οὐρανίας ἱεραρχίας. κεφ. α.

Ἱεραρχίας) ἐπειδὴ ἡ ἐπιγραφὴ ἱεραρχίαν ἔχει, καλεῖν εἰώθεν ἱεράρχας, τοὺς ἐπισκόπους· ἰστέον οὖν, ὅτι ἱεραρχία μέν ἐστιν ἡ τῆς διατάξεως αὐτῆς τῶν ἱερῶν ἀρχὴ καὶ οἱονεὶ φροντίς· ὁ ἱεράρχης, ὁ τῶν ἱερῶν ἄρχων καὶ φροντίζων καὶ περινοῶν· οὐ μὴν τῶν ἱερέων· ἀλλὰ ὁ τὰ ἱερὰ καὶ τὴν κατάστασιν αὐτῶν τε, τῆς ἐκκλησίας, καὶ τῶν μυστηρίων διατάσσων, οὐ μὴν ὁ ἀρχιερεύς. ταύτην δὲ τὴν ἐξήγησιν καὶ αὐτὸς ὁ μέγας διονύσιος κάτω παραπέμπεται ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ.

Ὁ πρεσβύτερος) σημείωσαι ὡς τὸ τοῦ πρεσβυτέρου ὄνομα καὶ τὸν ἐπίσκοπον δηλοῖ, ἐπειδὴ πρεσβύτερός ἐστι καὶ ὁ ἐπίσκοπος. καὶ τοῦτο δηλοῦται καὶ ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων, ἔνθα ἐν ἀσίᾳ συντάσσεται ταῖς ἐκκλησίαις αὐτῆς ὁ ἅγιος ἀπόστολος παῦλος.

Πᾶσα δόσις ἀγαθή) σημείωσαι ὅτι κέχρηται ὁ μακάριος διονύσιος τῇ τοῦ ἁγίου ἰακώβου καθολικῇ ἐπιστολῇ· ἐκεῖθεν γάρ ἐστι τὸ ῥητόν· καὶ ὅτι ἐκδοθεῖσα ἦν ἤδη.

Καὶ γὰρ ἐξ αὐτοῦ) ταῦτα περὶ τοῦ υἱοῦ θεολογεῖ.



Ministerio de Educación, Cultura y Deporte

Παραδόταις) πατέρας ἐνταῦθα δηλοῖ τοὺς παραδόντας αὐτῷ τὸ δόγμα· οὐ μὴν τοὺς φυσικούς· ἐξ ἑλλήνων γὰρ ἦν, ὡς δηλοῦσιν αἱ πράξεις τῶν ἁγίων ἀποστόλων. καὶ αὐτὸς μέντοι ἐν τῇ πρὸς τὸν ἅγιον πολύκαρπον ἐπιστολῇ, καὶ ἐν τῷ ζ. κεφαλαίῳ τῷ περὶ τῆς οὐρανίου ἱεραρχίας.

Συμβολικῶς) οὐ γὰρ φυσιολογικῶς φησιν, ἀλλὰ διὰ συμβόλων τινῶν καὶ εἰκόνων.

Νόων) νόας καλοῦσι καὶ οἱ παρ' ἕλλησι φιλόσοφοι τὰς νοερὰς, ἤτοι ἀγγελικὰς δυνάμεις· ἐπειδὴ τὸ πᾶν, νοῦς ἐστὶν ἕκαστος αὐτῶν, καὶ τὴν οὐσίαν ἅπασαν νοοῦ ζῶντα εἰς τὸ εἶδος τὸ ἑαυτῶν συνῃρημένον ἔχει. νόες δὲ καλοῦνται, πρὸς τὸ εὐφωνότερον τῆς κλίσεως γινομένης, ἐπειδὴ ἐχρῆν ἀπὸ τοῦ ὁ νοῦς τοῦ νοῦ τὸ πληθυντικὸν οἱ νοῖ εἶναι· ἀλλὰ διὰ τὴν εὐφωνίαν ἐξ ἄλλης εὐθείας ἑνικῆς γέγονεν οἱ νόες. ἔθος γὰρ τοῦτο ἀττικοῖς· οἳ φασὶν ἀριστοφάναι καὶ σωκράται, ἀπὸ τοῦ οἱ ἀριστοφάνεις καὶ οἱ σωκράτεις. εἰσὶ δὲ καὶ οἱ λέγοντες, οἱ νόοι, ὡς ἀπὸ τοῦ ὁ νόος τοῦ νόου. καλεῖ δὲ αὐτοὺς καὶ ἡ γραφὴ τῷ ὀνόματι τούτῳ, ὡς ἐν ἠσαΐᾳ, νοῦς μέγας ὁ ἄρχων βαβυλῶνος, ὅτ' ἔστιν ὁ διάβολος. κατ' ἴωνας τίνω, νοῦς νοὸς, νόες, ὡς χοῦς χοὸς, οἱ χόες· ἰωνικὴ γὰρ ἡ κλίσις.

Υπεράρχιον) ὑπεράρχιος ὁ θεὸς, ὡς ὑπὲρ πᾶσαν ἀρχὴν καὶ θεαρχικὸν φῶς, ὡς ἀρχὴ τῶν λεγομένων θεῶν, ἀγγέλων φημὶ καὶ ἀνθρώπων δικαίων.

Ενότητος) ἑνότητα φησὶ τὴν κρυφιότητα· πᾶσι γὰρ τοῖς ἔξω αὐτῆς ἄγνωστός ἐστι.

Σύγκρασιν) σημείωσαι τὴν σύγκρασιν· καὶ διὰ τὸ θεῖον ἓν ὂν πληθύνεται.

Παραπετασμάτων) παραπετάσματα φησὶ τὰ σωματικῶς περὶ θεοῦ λεγόμενα ἐν ταῖς γραφαῖς, δι' ἡ μελῶν ἀνθρω-

Ministerio de Educación, Cultura y Deporte

κτίνων, ἢ δυνάμεων τινῶν ὀνομασίας. σημείωσαι δὲ ὅτι δίχα τύπων καὶ συμβόλων, οὐ δυνατὸν ἡμᾶς ἐν σαρκὶ ὄντας κατοπτεῦσαι τὰ ἄϋλα καὶ ἀσώματα· καὶ τοῦτο μᾶλλον ἐδήλου τὰ ἐν τῇ σκηνῇ παραπετάσματα, ὡς ἐνταῦθα αἰνίττεται.

Συμφυῶς) ἀντὶ τοῦ ὁμοφυῶς, συγγενῶς.

Η τελετάρχις) τελετὴ λέγεται κατὰ τοὺς τῶν ἑλλήνων φιλοσόφους, ἡ μετάδοσις τῶν μυστηρίων, ἅτε τελειοῦσα τὸν μυούμενον, καὶ τελειωτικὴ τυγχάνουσα τῶν προσιόντων τοῖς τοιούτοις. τελετάρχις οὖν ἱεροθεσία, ἡ διὰ τῆς τῶν ἱερῶν μυστηρίων ἡμῶν διακοσμήσεως θέσις καὶ παράθεσις, ἀρχὴ γενομένη ἐκ θεοῦ διὰ τῶν ἀποστόλων τῶν τελειωτικῶν τύπων ἀγαθῶν. τοὺς γὰρ μεμυημένους, τελείους καλεῖ ὁ θεῖος ἀπόστολος παῦλος λέγων, ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν.

Ὑπερκοσμίου) τὸ δὲ ὑπερκοσμίου, οὐκ αἰσθητῶς νοητέον, ἀλλὰ νοητῶς καὶ ὑπὲρ τὸν καθ' ἡμᾶς κόσμον. σημείωσαι δὲ, τίνα λέγει τὰ σχήματα καὶ τὰς μορφωτικὰς συνθέσεις, ἤγουν εἰκονίσματα ἅπερ ἑξῆς παρατίθεται.

Πλάσεων) σημείωσαι ὅτι πλασματώδεις φησὶ, τὰς ἐνταῦθα μυστικὰς παραδόσεις, ἃς ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ ἀναπτύσσει. τοῦτο δὲ θεοπρεπῶς ἐκληπτέον. πρὸς μὲν οὖν τὸ μορφωτικὰς, τὸ πλάσεων ἀποδοτέον· πρὸς δὲ τὸ συνθέσεις, τὸ ἁπλᾶς καὶ ἀτυπώτους.

Ὑλαίαι) ὑλαίαι χειραγωγίαι φησὶ, τὸ διὰ τῶν ὑλικῶν λεγομένων πρὸς τὴν ἔννοιαν ἀνάγεσθαι τῶν ὑπὲρ αἴσθησιν.

Φαινόμενα) φαινόμενα δὲ κάλλη, τὰς τῶν ἱερῶν οἴκων διακοσμήσεις λέγει· καὶ διεξοδικὰς δὲ μαθητείας, τὰς τῶν ἁγίων γραφῶν ἀναγνώσεις· διακοσμήσεων δὲ τάξεις, τοὺς τῶν ἱερέων βαθμούς. σημείωσαι δὲ, ὅτι τὰ ὁρώμενα κάλλη, εἰκόνες εἰσὶ τῶν ἀοράτων διακόσμων, ὡς δηλοῖ καὶ ὁ ἀπόστολος ἐν τῇ



Ministerio de Educación, Cultura y Deporte

πρὸς ἑβραίους, τὰ περὶ τῆς σκηνῆς θεωρῶν, καὶ μωϋσῆς ἀκούων, πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει ποίησον.

Τὰς διεξοδικὰς) διεξοδικαὶ εἰσὶ μαθητεῖαι, αἱ διὰ τῶν ὁρωμένων καὶ διὰ πραγμάτων πλατύτεραι ἀποδείξεις τῶν νοητῶν ἑνιαίως καὶ ἀθρόως ταῖς νοήσεσιν ἐπιβαλλόντων.

Ἕξεως) ἐκεῖ ἕξεις εἰσὶ τὰ ἄλλα διαπλάττουσαι· ἕξις δέ ἐστι ποιότης ἔμμονος. ἐνταῦθα δὲ καὶ ἐκκλησιαστικαὶ τάξεις, τὰς ἐκεῖ ἕξεις, ἅτε ἀσωμάτους ἐξεικονίζουσιν· αἱ γὰρ ἕξεις, ἀσωμάτων εἰσί. σημειωτέον ὅτι ἡ παρ' ἡμῖν τοῖς ἀνθρώποις τελουμένη ἱεραρχικὴ μυσταγωγία, μίμησίς ἐστι τῆς οὐρανίου ἱεραρχίας.

Ὑπερκοσμίως) τὸ ὑπερκοσμίως, οὐκ αἰσθητῶς νοητέον, ἀλλὰ νοητῶς, καὶ ὑπὲρ τὸν καθ' ἡμᾶς κόσμον.

Ἱερογραφικαῖς) τουτέστιν, ἐν τοῖς ἱερῶς περὶ αὐτῶν συντεθεῖσι λόγοις ἐν ταῖς γραφαῖς.

Ἡμᾶς ἀνάγει) σημειωτέον πῶς ἀναγόμεθα εἰς θεολογίαν, καὶ ὅτι ὁ χριστὸς ἡμᾶς ἀνάγει.

Ἀκρότητας) οὐδὲν ὡς ἔτυχεν ὠνόμασται παρὰ τοῦ μακαρίου τούτου, ἀλλὰ πολυμαθῶς καὶ κυρίως μετὰ τῆς εὐσεβείας· ἐπειδὴ οὖν τὴν παρ' ἡμῖν ἱερὰν διάταξιν διὰ συμβόλων ὑλαίων καὶ διεξοδικῶν καὶ πλάσεων εἶπε πλείστας πρὸς τὸ ἡμῖν ἐφικτὸν τύπον οὖσαν καὶ μίμημα τῆς παρ' ἀγγέλοις ἱερᾶς διακοσμήσεως, εἰκότως τὴν παρ' ἐκείνοις ἱεροφαντίαν, ἀκρότητα κέκληκεν· ἀκρότητα γὰρ εἰώθασι καλεῖν οἱ περὶ ταῦτα σχολάσαντες, ἑκάστης οὐσίας τὸ καθαρώτατον· καὶ ἐξ οὗ ἤρτηται προσεχῶς, τουτέστιν ἐχομένως, ἡ οὐσία, ὡς φέρε εἰπεῖν, ψυχῆς ἀκρότης, ὁ νοῦς αὐτῆς ὁ καθαρώτατος· καὶ ἔρωτος ἀκρότης, ὁ τῶν ἀναβεβηκότων καὶ θεοπτάτων διάπυρος ἔρως·

Ministerio de Educación, Cultura y Deporte

καὶ τῆς καθ' ἡμᾶς οὖν ἱεραρχίας καὶ μυστηριώδους διακοσμήσεως ἀκρότης, τὸ καθαρώτατον αὐτῆς ἐξ οὗ ἀνῆπται, καὶ τὸ ἐγγὺς συντεῖνον ἀϋλίας. τὸ οὖν ἀκραιφνέστατον ἐν ἡμῖν σύμβολον, ἡ ἀκρότης τῶν ἀτυπώτων καὶ ἁπλῶν καὶ ἀσωμάτων μυστηρίων, ᾗ ἡ ἱεραρχία συναπλουμένη ἐπιβατεύει, οἱονεὶ τῇ παρὰ ἀνθρώποις ἱεροφαντίᾳ· καὶ διὰ τῶν εἰκόνων ἀνάγει ἐπὶ τὰ καθαρὰ θεάματα τῆς νοητῆς τελετῆς ἀκρότητος λεγομένης εἰκότως τῶν ἐνθάδε σωματικῶν τε καὶ ὑλοειδῶν.

## ΕΙΣ ΤΟ ΚΕΦΑΛ. β.

Ἐκφαντορίαν) ἐκφαντορίαν λέγει, τὴν ἐξαγγελσιν· πρόδηλον δέ, ὅτι τὴν διὰ συμβόλων καὶ τύπων, ἅτινα καὶ πλάσματα εἶπεν. ἁπλότητα δέ, τὸ τῆς φύσεως ἄϋλον· ἠπίστατο γὰρ ὅτι ἀνυμνῶν τοὺς ἐν τοῖς οὐρανοῖς ἱεροὺς νόας, ὡς αὐτός φησι κατὰ τὴν γραφήν, ἀνάγκην εἶχεν εἰπεῖν περὶ ζώων θηριομόρφων, καὶ ἀετῶν, καὶ τῶν ἄλλων οἷς ἀπεικάζουσιν αἱ θεῖαι γραφαὶ τὰς ἀρχαγγελικὰς δυνάμεις· λέγει γάρ, ἵνα μὴ καὶ ἡμεῖς, ὡς οἱ πολλοί, νομίζωμεν ἀνιέρως μὴ ἔχειν ἐξήγησιν τὰς τῶν πολυπροσώπων καὶ πολυπόδων τάξεις ἐν οὐρανοῖς. ταύτας οὖν διασαφῆσαι προῄρηται κατὰ τὴν τῶν ἱερῶν λογίων ἐκφαντορίαν.

Ἀτεχνῶς) μεγάλως, ἢ παντοίως, ἢ ἀληθῶς, ἢ ἁπλῶς.

Ποιητικαῖς) ὅτι ταῖς ποιητικαῖς πλάσεσιν ἐχρήσατο ἡ γραφή, πρὸς χειραγωγίαν τῆς ἀνθρωπίνης διανοίας, ἀλλ' ὡς οὐ δυναμένης τὴν τῶν μειζόνων παραλαβεῖν διδασκαλίαν· ἐοίκασι γὰρ τὰ οὐράνια σύμβολα τοῖς παρὰ ποιηταῖς φαντα-



Ministerio de Educación, Cultura y Deporte

ζομένοις, ὡς ὁ ἱερὸς ἀνὴρ οὗτός φησι. ποιητὰς δὲ νόησον, ἢ τοὺς παρ' ἕλλησι θαυμαζομένους, οἷον ὅμηρον, ἡσίοδον, καὶ τοὺς ἑξῆς· ἢ ποιητικαῖς ὡσανεὶ πλαστικαῖς ὑποτυπώσεσιν· εἰδυῖα γὰρ ἡ τοῦ θεοῦ σοφὴ συγκατάβασις τὸν ἡμέτερον νοῦν ἀσθενῆ καὶ πρὸς ὑψηλοτέραν θεωρίαν ἀνεπιτηδείως ἔχοντα, ἀναγωγὴν αὐτῷ συμφυῆ πλασαμένη, οὕτως τὰς ἀρχαγγελικὰς εἰς φανερὸν ἤγαγε διακοσμήσεις, οὐχ ὅπως ἔχουσι τῇ ἀληθείᾳ διασαφήσασα, ἀλλ' ὅπως ἡμεῖς δυνάμεθα καταλαβεῖν. μηδὲν οὖν ἀνοίκειον φαντάζου τῶν οὐρανίων.

Συνθέσεις) συνθέσεις φησὶ, τὰς εἰρημένας πλάσεις καὶ σχηματοποιΐας.

Ἐφ' ἑαυτῶν) ἐφ' ἑαυτῶν, τουτέστιν ὡς ἔχουσι φύσεως, ἄγνωστοι ἡμῖν φησὶ καὶ ἀθεώρητοι ὑπάρχουσιν.

Ἀπότομον) ἀπότομον οἶμαι λέγει αὐτὸν, τὴν ξένην, καὶ οἷον τῶν συνήθων ἀποτετμημένην ὁδὸν καὶ πλάνην· διὸ καὶ σκολιὰν αὐτὴν ὀνομάζει. σαφηνίζων οὐκ ἀληθὲς εἶναι τὰς ἀναγεγραμμένας τῶν ἁγίων ἀγγέλων μορφάς· οὔτε γὰρ τῇ ἀληθείᾳ τοιοῦτοί εἰσιν, οἵους αὐτοὺς ἡ ἱερὰ παραδίδωσι γραφή· ἀλλ' ἵνα ἐφικώμεθα τῆς μεγαλειότητος αὐτῶν. αὐτὸς δὲ ὁ Διονύσιος πειρᾶται συμβάλλειν τὰ εἰρημένα περὶ αὐτῶν, καὶ δεικνύειν, ὅτι δυνατὸν δι' ἀναπτύξεως οὕτω νοεῖν τὰς ἀγγελικὰς διακοσμήσεις ὡς εἴρηται.

Ἀΰλων ποσῶς) ποσῶς ἀΰλων, τουτέστι μετρίως· οὐ γὰρ πάντῃ ἀΰλων. ὑπερκειμένας δὲ οὐσίας οὐρανὸν καὶ τὰ κατ' οὐρανὸν λέγει· οἷον ἀστέρας· τὸ γὰρ λεπτομερέστατον αὐτῶν καὶ μονοούσιον ἐγγύς ἐστί πως ἀϋλίας.

Θεοειδέσιν) θεοειδεῖς ἁπλότητας φησὶ τὰς νοητὰς οὐσίας· ἄϋλοι γὰρ οὐσίαι καὶ ἀσύνθετοι πάντως εἰσίν, οὐκ οὖσαι κρᾶμα καὶ σύγκριμα τῶν στοιχείων· τὰ γὰρ σώματα, ἐκ τούτων

Ministerio de Educación, Cultura y Deporte

ἐκεῖνοι δὲ, ἀσώματοι.

Ενιζάνον) ἐγκαθίζον, ἢ ἐναπομένειν ποιοῦν.

Λεοντείων) αὗται αἱ μορφαὶ τῶν θείων καὶ ἁγίων χερουβὶμ, καὶ παρὰ τῷ ἰεζεκιὴλ καὶ παρὰ τῷ θεσπεσίῳ ἰωάννῃ ἐν τῇ ἀποκαλύψει ἀνεγράφησαν.

Εσμῶν) ἐσμός ἐστι τὸ συμπεπληρωμένον πλῆθος.

Καὶ τὸ ὀρνιθείας) ἀντὶ ὀρνιθοειδοῦς μορφῆς καὶ ἐξ ὀρνίθων.

Ζώων) ζῶα ἄλλα φησὶν, ἀντὶ ἵπποις, ἡμιόνους, καὶ τὰ τοιαῦτα· ὕλας δὲ ἀτιμοτέρας, ἀντὶ θρόνους ὡς ἐκ ξύλων, καὶ τροχοὺς, καὶ ῥομφαίας ἐκ σιδήρου, ὡς τὴν ῥομφαίαν τὴν ἐξεσπασμένην ἐπὶ τὸν βαλαάμ· καὶ ἣν εἶδεν ὁ δαβίδ, ὡς ἐν ταῖς βασιλείαις εἴρηται βιβλίῳ β̄. καὶ ἅρματα ὡς ξύλινα.

Εμπαθὲς) ἐμπαθὲς λέγει, ἐπειδὴ τὸ λεοντόμορφον, θυμικόν τι σημαίνει· ἢ τὸ μόσχειον εἶδος, ἐπιθυμητικὸν, ἅτινα πάθη ἢ μεγάλα ὑπάρχουσιν. ὁμοιότητας δὲ φησὶ τὰς ὁμοιωτικὰς ὑπονοίας. τοιγαροῦν λέγει ὁ ἰεζεκιὴλ, ὡς ὁμοίωμα ἑωρακέναι τοῦ θρόνου· καὶ ὁμοίωμα λέοντος, ὅπερ δηλοῖ τὴν πλασματώδη τῶν δοκούντων φαντασίαν· διὸ καὶ ταῦτα εἴρηται, ἀνόμοιοι ὁμοιότητες· οὐ γὰρ πάντας ὁμοίους ὁρᾷ ὁ προφήτης, ἀλλὰ τοὺς μὲν, τοιῶσδε· τοὺς δὲ, τοιῶσδε· ἀλλὰ ἢ ἀνόμοιοι εἰσὶ παντελῶς, οἷς δοκοῦσιν εἶναι ὅμοιοι· οὐδὲν γὰρ λέοντος, ἢ μόσχου, ἢ τῶν ἑξῆς ἀληθῶς ἔχουσι. τὸ δὲ δηλοῖ τὸ ἀνόμοιον, ἐν τοῖς ἑξῆς εὑρήσεις.

Αλλ' ἢ) ἀπολογητικῶς.

Ως μήτε εἰς τὰς θείας) ἐπαγγέλλεται διὰ τῆς ἰδίας ἑρμηνείας δεικνύειν ἑκάτερον, ὡς μήτε δόξαι ὑβρίζεσθαι τὰ οὐράνια, μήτε ἡμᾶς εἰς χαμαιζήλους ταπεινότητας ἐμπαγῆναι περὶ τῶν ἐν ἀγγέλοις λεγομένων ζώων.

Εἰκότως προβέβληνται) διὰ τὰ σύμβολα τῶν ἀτυπώ-



Ministerio de Educación, Cultura y Deporte

των οἱ τύποι καὶ τῶν ἀμορφώτων αἱ μορφαί, ἐνταῦθα φησίν.

Ἀσχηματίστων) ἀντὶ τοῦ ἀμορφώτων.

Ἀμέσως) τουτέστι μὴ διὰ μέσων τῶν τύπων, ἀλλ' ἀθρόως καὶ κατὰ πρώτην ἐπιβολήν. τὸ δὲ προσπίνουσι, τουτέστι τῷ προσηθέασι, καὶ προσβάλλονται.

Μορφώσεις) σημείωσαι ὅτι τὰ ἀσώματα, ἀμόρφωτά εἰσι· ὅταν οὖν ἀκούσῃς περὶ τοῦ ὑπερουσίου, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, τὸ ἀπαράλλακτον πρὸς τὸν ἑαυτοῦ πατέρα νόησον· τοῦτο γὰρ δηλοῖ καὶ ἡ εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου· καὶ τό, ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα· οὕτω καὶ ὁ ἅγιος βασίλειος ἑρμηνεύει ἐν τῷ πρὸς τὸν οἰκεῖον ἀδελφὸν λόγῳ, τῷ περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως.

Ὡς διττός ἐστι τῆς ἱερᾶς) ὅτι κατὰ δύο τρόπους ὑμνεῖται τὸ θεῖον, ἢ ὡς ὅμοιον πᾶσι· πάντα γὰρ ἐν αὐτῷ συνίσταται. ἢ ὡς ἀνόμοιον· οὐδὲν γάρ ἐστι τῶν ὅλων.

Διὰ τῶν ἀνομοίων) ὅτι δι' ὁμοίων καὶ ἀνομοίων πλάττονται οἱ τύποι· καὶ πῶς πλάττονται, ὧδε φησί.

Ποτὲ μὲν ὡς λόγον) κατὰ τί λέγεται λόγος καὶ νοῦς ὁ θεός· ἐν τῷ, τίς ἔγνω νοῦν κυρίου· καὶ ἐν τῷ, καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, καὶ τὰ ἑξῆς. λογιότητα δέ φησιν ἐπὶ τοῦ θεοῦ, οὐχ ὅτι λογικὸν θέλει δηλῶσαι τὸν θεόν, ὡς μετέχοντα λόγου· τοῦτο γὰρ ἐμφαίνει· ἀλλ' ὅτι αὐτολογιότης ἐστὶν ὅλος λόγος ὤν. οὐσίαν δὲ λέγουσιν ἐπὶ θεοῦ, ὅταν εἴπωσιν, ἐγώ εἰμι ὁ ὤν· καί, ὁ ὢν ἀπέσταλκέ με· σὺ δὲ ὁ αὐτὸς εἶ· ἀπὸ γὰρ τοῦ εἶναι καὶ τοῦ ὄντος ἡ οὐσία, καὶ τὸ παράγωγον οὐσία καὶ ὕπαρξις.

Καὶ ζωὴν) ὅτι οὔτε ζωή, οὔτε φῶς, οὔτε νοῦς, οὔτε οὐσία κυρίως λέγεται ὁ θεός· ἀλλ' αἰτιολογικῶς· ἔστι γὰρ καὶ

Ministerio de Educación, Cultura y Deporte

ὑπὲρ ταῦτα, καὶ οὐχ οἷα ταῦτα.

Ἀόρατον αὐτὴν) ὅτι τὰ κατὰ ἀπόφασιν λεγόμενα ἐπὶ θεοῦ, οἷον ἀόρατος, ἄπειρος, καὶ τὰ τοιαῦτα, ἀνόμοιά εἰσι· δηλοῦσι γὰρ οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστιν ὁ θεός. οὕτω καὶ ὁ θεολόγος Γρηγόριος.

Ἀνόητον) ἀνόητον φησὶν, οὐ τὸ ἠλίθιον, ἀλλὰ τὸ μὴ νοούμενον ὑπό τινος. ἀόριστος δὲ ὁ θεὸς, ὡς ὅρῳ μηδενὶ ὑποπίπτων, ἀλλ᾽ αὐτὸς πάντων ὅρος ὢν καὶ τὰ πάντα ἐν ἑαυτῷ ὁρίζων, ὅρῳ δὲ οὐχ ὑποπίπτει· διότι οἱ μὲν ὅροι ἐκ τῶν καταφάσεων σύγκεινται· αἱ δὲ καταφάσεις, ἐπὶ θεοῦ ἀνάρμοστοι, ὡς ψευδόμεναι· ὑπὲρ γὰρ ταύτας ὁ θεὸς, ὡς οὐκ ὢν οὐσία, ἀλλ᾽ ὑπὲρ οὐσίαν.

Αἱ μὲν ἀποφάσεις) οὐ μόνον ἐπὶ θεοῦ, ἀλλὰ καὶ ἐπὶ τῶν θείων ἁπάντων, τουτέστιν ἐπὶ τῶν μετὰ θεὸν νοητῶν πάντων, καὶ τὰς ἀποφάσεις ἀληθεῖς εἶναι φησὶ, καὶ τὰς καταφάσεις ἀναρμοδίους. ἀναρμόδιοι μὲν οὖν εἰσὶν αἱ καταφάσεις, ὅταν εἴπωμεν, ἢ τὸν θεὸν, ἢ τὰς νοερὰς δυνάμεις, ζωὴν, ἢ φῶς· οὔτε γὰρ ζωὴ τοιαύτη τίς ἐστιν, ὡς διὰ εἰσπνοίας καὶ ἐκπνοίας ζῆν· οὔτε φῶς τὸ φαινόμενον καὶ ποιοῦν ὁρᾶσθαι τὰ περικείμενα· ἀλλὰ ἀνώτερόν τι τούτων. αἱ δὲ ἀποφάσεις, αἱ διὰ ἀρνήσεων, πόσως ἐπὶ τῶν νοητῶν οἰκειότεραι· λέγομεν γὰρ, ὅτι ἀόρατοι, καὶ ὅτι οὐχ ὑποπίπτουσι θέᾳ, νοοῦμεν. τί δὲ ἐστιν αὐτὸ τὸ μὴ φαινόμενον, οὔτε πολυπραγμονεῖν, οὔτε παριστᾶν δοκεῖ ὁ λόγος. καίτοι τὸ ζωὴ καὶ φῶς δοκεῖ σημαίνειν τί ἐστι, καὶ ταῦτα μηδόλως δηλοῦν τί ἐστι θεός.

Τιμῶσι τοιγαροῦν) ὅρα πῶς καλῶς ἀπελογήσατο, διὰ τί ζώων μνήμην ἔχει τὰ οὐράνια, ἤτοι εἰκόνας· ὥσπερ γὰρ ὁ ἐπὶ πάντων θεὸς, οὐδὲν ἐν τοῖς πᾶσιν ἔχει ὁμογενὲς,

Ministerio de Educación, Cultura y Deporte

καὶ διὰ τοῦτο εἰκότως οὐδὲν τῶν πάντων αὐτοῦ ἐστὶ δηλωτικόν· ἀλλὰ λοιπὸν ἄλλῃ μεθόδῳ θεολογοῦμεν, λέγοντες, ὡς οὐκ ἔστι θεός, ὅπερ καλεῖ διὰ τῶν ἀνομοίων· οὕτω καὶ ἐπὶ τῶν οὐρανίων δυνάμεων αἳ μετὰ θεόν εἰσι, τεχνικῶς ἐποίησαν οἱ θεολόγοι, μηδενὶ τῶν νοητῶν αὐτὰς ὁμοιώσαντες· ἀλλ' ἐκ τῶν αἰσθητῶν, ἅπερ καλεῖ ἄτιμα, τὴν τούτων λαβόντες ἐμφέρειαν, τοῦτο πρὸς ἡμᾶς αὐτῶν πεποιηκότες, ἵνα πλασματώδης, καὶ οὐκ ἀληθὴς γένηται τούτων ἡ μίμησις· εἰ γὰρ ὁ λεοντόμορφος λεγόμενος, καὶ πολύπους, καὶ πολύπτερος, ἐστὶ καὶ λογικός, καὶ ἄϋλος, πῶς οὐ δῆλον ὅτι ὑπερκοσμίως ὑπερβέβηκε τὰ ὑλικά, καὶ παρ' ἡμῖν νοούμενα.

Εἰς μὲν γὰρ τὰς τιμιωτέρας) ἰδοὺ καὶ ἕτερος λογισμός, δι' ὃν τοιαύταις ὁμοιότησιν ἡ γραφὴ περὶ τῶν οὐρανίων ἐχρήσατο· εἰ γὰρ τιμιωτέροις ἐχρήσατο πλάσμασι, οἷον χρυσοειδέσι, ἢ ἐξαστράπτοντας, λέγουσα εἶναι τὰς θείας δυνάμεις, πάντως ἂν ἐπείσθησαν οἱ ἀκούοντες ἐκ τῶν περὶ ἀνθρώποις τιμιωτέρων τὸ πιστὸν λαμβάνοντες· νῦν δὲ τὰ ἀπεμφαίνοντα καὶ αἰσχρὰς εἰκόνας παρενέβαλεν, ἵνα ἀκριβῶς εἰδότες, ὅτι οὐκ εἰσὶ τὰ τοιαῦτα, ζητήσωμεν τὴν ἀλήθειαν τῶν ὄντων.

Ἀβλαβῶς) αἱ γὰρ λεγόμεναι πυρὸς φλόγες, θεῖαι οὐσίαι, οὐ καυστικαί, ἀλλὰ ζωτικαί εἰσιν.

Αἰσχρὰς) πῶς γὰρ οὐκ αἰσχρόν, τὸ ἐξ ὑλικῶν εἶναι τὰ σύμβολα.

Θεάματα) θεάματα λέγονται, τὰ μετὰ θαύματος ὁρώμενα.

Καὶ γὰρ ὁ θυμὸς) ὅτι οὐχ ἁπλῶς, ἀλογίας ἔμπλεως ἡ θυμοειδὴς κίνησις, ἀλλ' ἐπὶ τῆς ἀλόγου φύσεως. ἀναγνωστέον τὸν τελευταῖον λόγον τοῦ βιβλίου, ὃν εἶπεν εἰς τὴν ὀπτασίαν τῶν ἁγίων χερουβίμ· ἐκεῖ γὰρ καὶ ταῦτα πάντα πλα-

Ministerio de Educación, Cultura y Deporte

πίως διαγεγύμνασται.

Τὸ μηδὲ ἓν τῶν ὄντων) σημείωσαι, ὅτι οὐδὲν τῶν ὄντων ἐστέρηται τῆς τοῦ καλοῦ μετουσίας. σημειωτέον οὖν πῶς νοεῖται ὁ θυμὸς ἐπὶ τῶν ἀλόγων, καὶ πῶς ἐπὶ τῶν λογικῶν· καὶ πῶς ἐπιθυμία ἑκατέρων.

Λογιότητα) σημειωτέον, ὅτι καὶ ἐπὶ ἀγγέλων λογιότητα λέγει· ἀμείλικτον δὲ, ἤτοι ἀνένδοτον, καὶ ἀχαύνωτον.

Ἐπιθυμίαν) ὅτι ἡ ἐπιθυμία τῶν νοητῶν, ἔρως ἀρετῆς ἐστι περὶ τὸν θεὸν, ὅπερ καλεῖ αὐλίαν.

Διὰ τὸν ἀμιγῆ) ἀμιγῆ φησὶ τὸν καθαρὸν καὶ εἰς οὐδὲν ἕτερον ἐσχολακότα· ὁ γὰρ τῷ ἔρωτι περιδεδραγμένος, ὅλος ἐστὶν αὐτοῦ, καὶ εἰς τὸ ἐφετὸν μόνον ἀνατείνεται, παρὰ μηδενὸς κωλυόμενος μεταβατικοῦ καὶ σωματικοῦ λόγου. ἀλόγων δὲ φάσκοντες εἶναι ἐν ταῖς ἀσωμάτοις οὐσίαις, οὐκ ἀνοησίαν αὐταῖς ὀνειδίζομεν ἐν τῷ διὰ τῶν λεοντείων μορφῶν, καὶ τῶν μοσχείων καὶ τῶν ὀρνιθέων, ὡς ἐπὶ τοῦ ἀετοῦ, ἀλόγων τύποις καὶ σύμβολα λέγειν, πρέπειν τοῖς οὐρανίοις τάγμασιν, ἀλλὰ μυστικῶς τὸ ἐξηλλαγμένον τοῦ κατ' ἐκείνους λογικοῦ πρὸς τὸ καθ' ἡμᾶς σημαίνομεν· ἡμεῖς γὰρ τὸ λογικὸν παριστῶμεν διὰ τοῦ τῆς γλώττης ὀργανικοῦ, καὶ τῶν φωνητικῶν τύπων, τύπτοντες τὸν ἀέρα τῷ διαλεκτικῷ, καὶ τοῦ λόγου μεταβαίνοντος ἐξ ἡμῶν εἰς τὰς τῶν ἀκροωμένων ἀκοὰς ἐκ στόματος εἰς στόμα, καθά φησι καὶ ὁ θεῖος βασίλειος ἐν τῷ περὶ τοῦ πρόσεχε σεαυτῷ, λόγῳ. ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἐν ἀσωματίᾳ τυγχάνοντες, καὶ εἰς ἀλλήλους χωροῦντες καὶ ἀποχωροῦντες, παντὸς λόγου τρανότερον τὰς ἀλλήλων νοήσεις κατοπτεύοντες, ἀλλήλοις ὥσπερ διαλέγονται, διὰ σιγῆς τοῦ λόγου μεταδιδόντες ἀλλήλοις.

Ἀπόκλισιν) ἀντὶ τοῦ ἀπόνευσιν.

Ministerio de Educación, Cultura y Deporte

Μεταβατικοῦ) μεταβατικὸς ὁ ἡμέτερος λόγος, ὁ προφορικός, ὡς ἀπὸ τοῦ λέγοντος διαβαίνων πρὸς τὸν ἀκούοντα. σωματικοῦ δὲ, πρὸς ἀντιδιαστολὴν τοῦ ἐνδιαθέτου· οὗτος γὰρ οὔτε σωματικὸς, οὔτε μεταβατικός.

Ὕλης) ἀτιμοτάτην τὴν ὕλην φησὶ, τὴν σωματοειδῆ ἁπάσης φύσιν, πρὸς ποικίλα εἴδη ἔμψυχά τε καὶ ἄψυχα καὶ λοιπὰ ὑπὸ θεοῦ διακοσμηθείσης· νοερὰ δὲ εὐπρέπειαν, τὰ περὶ θεοῦ λεγόμενα, ὧν μετρίας καὶ ἀμυδρὰς εἰκόνας ἐν τοῖς οὖσιν εὑρίσκομεν, οἷον τὸ ἁπλῶς εἶναι, τὸ ζῆν, τὸ αἰσθάνεσθαι, καὶ τὰ ὅμοια. ὅτι μὲν ἐκ θεοῦ καὶ ἡ ὕλη πᾶσα τὴν ὕπαρξιν ἔχει, οὐδεὶς σοφὸς ἀντερεῖ λόγος. φέρει δὲ καὶ αὐτὴ ἐν ἑαυτῇ ἀπόδειξις τοῦ ἐκ θεοῦ καὶ παρῆχθαι καὶ διακεκοσμῆσθαι. πᾶσα γοῦν ἐξ ὕλης διακόσμησις, ἀμυδρά τινα καὶ σκιώδη ἀπηχήματα τῶν νοερῶν ἔχει· ὥσπερ γὰρ ἐπιτήδεια τὰ νοερὰ εἰς ὑποδοχὴν ὡς ἐφικτὸν τῶν ἐκ θεοῦ προνοητικῶν προόδων, καὶ ζωὴ ὄντα, ζωοῦνται παρὰ τῆς ὑπὲρ πᾶσαν ζωὴν θεοῦ· καὶ δυνάμεις ἔχουσιν εἰς εὐεργεσίαν ἐνεργητικὰς, καὶ κίνησιν τινὰ ὑπερκόσμιον· οὕτως καὶ τὰ ὑλαῖα πάντα ὁμοῦ τε καὶ κατὰ μέρος, τήν τε πρόνοιαν τοῦ θεοῦ οἰκείως ἑαυτοῖς δέχεσθαι, ἐπιτηδείως ἔχουσιν, καὶ ζωοῦνται, καὶ ζωὴ γίνεσθαι δύνανται, ὡς τὸ, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζώσης· καὶ αὖθις, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· ἀλλὰ καὶ δυνάμεις εὐεργετικὰς τοῖς ἀπὸ γῆς πνέουσιν, ὡς δηλοῦσιν αἵ τε διὰ βοτανῶν καὶ τῶν μεταλλικῶν ὠφέλειαι· καὶ κίνησιν δὲ κατάλληλον τὰ ὑλαῖα ἔχει τὴν εἰς γένεσιν προϊοῦσαν καὶ φθοράν· καὶ τάξιν δέχεται τὴν παρὰ τοῦ θεοῦ ἐπιτεθεῖσάν τε, καὶ ἐπιτεθησομένην. ἀλλὰ καὶ φωτίζεσθαι πέφυκε παρουσίᾳ νοερῶν δυνάμεων· ὡς ἐπὶ τῆς κατὰ τὴν ἀνάστασιν τοῦ κυρίου ἀστράπτοντος ἀγγέλου, καὶ φωτίζοντος τὸ περιέχον. ἔχει δὲ ταῦτα ἡ ὕλη πάσχουσα, οὐ μὴν ὡς τὰ νοερὰ ἐνεργοῦντα. διὸ καὶ ἔσχατον ἀπήχημα λέγεται ταῦτα ἔχειν· τί δέ ἐστιν ἀπήχημα

Ministerio de Educación, Cultura y Deporte

ἔσχατον, ἐν ᾧ περὶ θείων ὀνομάτων λόγῳ σαφηνίζομεν κεφα. ϛ.

Καὶ τῶν αὐτῶν) σημείωσαι ὡς πᾶσαν τὴν ὕλην οὐ φησὶ νοεράν, οὐκοῦν καὶ οἱ ἀστέρες ἄψυχοι· οὐ γὰρ ἔχουσι νοῦν. εἰ καὶ τὰ αὐτὰ ὀνόματα φησὶν, ἀλλ' οὐχ ὁμοίως λαμβάνονται· πρὸς τὴν φυσικὴν γὰρ ἰδιότητα τοῦ ὑποκειμένου, καὶ ὁρίζονται καὶ νοοῦνται.

Θεαρχικαῖς) τουτέστι τοῖς περὶ θεοῦ νοήμασι.

Τῶν φαινομένων τιμίων) σημείωσαι τίνα καλεῖ τίμια, ὡς ἥλιον καὶ τοὺς ἀστέρας· καὶ τίνα μέσα, πῦρ καὶ ὕδωρ· καὶ τίνα ἔσχατα, ὡς μύρον· καὶ τίνα ἄτιμα, ὡς θηλεία καὶ σκώληκας· καὶ ὅτι ἐπὶ θεοῦ καὶ τὰ θηλειώδη σύμβολα εἴρηται, καὶ τὰ ἐξ ὕλης· καὶ τὰ τίμια δὲ, καὶ τὰ μέσα, καὶ τὰ ἄτιμα.

Ἥλιον) ἥλιον δικαιοσύνης Μαλαχίας ὁ προφήτης ὀνομάζει· ὁ δὲ θεῖος Πέτρος ἐν τῇ καθολικῇ αὐτοῦ ἐπιστολῇ, ἕως οὗ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν, καὶ τὰ ἑξῆς· οὗτος γάρ ἐστιν ὁ ἑῷος ἀστήρ. ὁ δὲ Μωϋσῆς, ἐν τῇ βάτῳ πῦρ, φησὶν, οὐ κατακαῖον, ὅ ἐστιν ἀβλαβῶς φωτίζον. ὁ δὲ Ἱερεμίας ὕδωρ λέγει, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος· καὶ ἄλλοι δὲ ἄλλα· καὶ ὁ κύριος, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. ὁ δὲ Σολομὼν ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων, μύρον φησὶ· μύρον ἐκκενωθὲν, ὄνομά σοι. ἐν δὲ τοῖς δώδεκα προφήταις ὥσπερ καὶ Μιχαίας, τὰ εἰρημένα ὧδε θηλεία καταλέγουσιν ἐν τοῖς περὶ θεοῦ προφητευομένοις· ὁ δὲ Δαβὶδ, σκώληκα αὐτὸν λέγει, ἐγὼ εἰμὶ σκώληξ καὶ οὐκ ἄνθρωπος, ἐκ προσώπου τοῦ κυρίου· ἢ σκώληκι αὐτὸν παρείκασεν, ὡς μὴ ἀπὸ σπέρματος γεννηθέντα, ὡς ἡμεῖς· ἀλλὰ σπέρματος χωρὶς, ὡς οἱ σκώληκες, οἵτινες οὐκ ἀπὸ σπέρματος τίκτονται, ἀλλ' ἀπὸ γῆς, ἢ ἀπὸ σήψεως. τὸ γὰρ ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὡς ἐκ προσώπου τοῦ σαρκωθέντος θεοῦ λέγεται, εἰ καὶ μὴ κατὰ τὴν θεότητα λαμβανόμενον, ἀλλὰ κατὰ τὸ φαινόμενον ταπεινὸν τῆς σαρκός.

Ministerio de Educación, Cultura y Deporte

Ἀγαλμάτων) ἵνα δηλῶται ἀνακείμενα ἀγάλματα, τοῖς λεγομένοις ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ ἐν τῇ ἀρχῇ τοῦ δ. κεφαλαίου δεδήλωται.

Ἀπηχημάτων) ἔσχατα τῶν τοῦ θεοῦ ἀπηχημάτων ἐν δημιουργίᾳ φησίν, ἃ περιέχει τὴν ἁρμοδιώτερα τῶν ὑλαίων διακοσμήσεων. πῶς δὲ ταῦτα λέγονται ἔσχατον ἀπήχημα, ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ κεφαλαίῳ δ. λεχθήσεται ἡμῖν πλατύτερον.

Εἰ μὴ τὸ δυσειδὲς) τὸ δυσειδές, τὸ θηριόμορφον νόησον καὶ κτηνῶδες, ὃ περὶ τῶν ἀγγέλων φησὶν ἡ γραφή. τὸ δὲ ἐκφαντικῆς, σημαίνει τῆς φανεροποιοῦ, ἤγουν τῆς ἐκφαινούσης.

Ἀγγελοειδεῖς) καλῶς τὰς τυπικὰς εἰκονογραφίας, ἃς καὶ περιεῖπεν, οὐκ ἀγγελικάς, ἀλλ' ἀγγελοειδεῖς ὠνόμασεν· οὐ γὰρ αὐτῶν τῶν ἀγγέλων, ὡς εἰσὶν αἱ εἰκόνες ἐγράφησαν· ἀλλ' ἔμφασίν τινα εἰδοποιΐας ἀσωμάτων ὑπεμφαίνουσιν, ὡς ἐξηγήσατο αὐτὸς ἑαυτόν.

Ἀφορίσασθαι) τὸ ἀφορίσασθαι εἴωθε λέγειν ἐπὶ τῶν διακεκριμένως ὁριζομένων καὶ διασαφουμένων.

Οἰόμεθα) κατὰ κοινοῦ τὸ οἰόμεθα· ἵνα εἴη, οἰόμεθα ἱεραρχίαν εἶναι, καὶ ἵνα οἰόμεθα ὀνίνασθαι τοὺς ἱεράρχας διὰ τῶν ἱερῶν τελετῶν.

Σὺ δὲ ὦ παῖ) πῶς παῖδα καλεῖ τὸν θεῖον Τιμόθεον ὁ μέγας Διονύσιος, ζητητέον· ἢ γὰρ ὡς οἶμαι, ἅτε προβεβηκὼς αὐτὸν τοῖς ἔτεσι, τοῦτο φησί, καὶ τῇ φιλοσοφίᾳ περιέχων, ὡς καὶ περιερωτᾶσθαι παρ' αὐτοῦ, καθὰ δηλοῖ τὰ μετὰ χεῖρας συγγράμματα. καὶ γὰρ περὶ τοῦ θείου Διονυσίου ἐπίστευσεν ὁ ἅγιος Τιμόθεος, ὡς αἱ πράξεις τῶν ἁγίων ἀποστόλων δηλοῦσιν, ἀλλ' οὖν τὴν ἔξω παιδείαν ἱκανώτερος ἦν ὁ μέγας Διονύσιος· ἢ παῖδα καλεῖ αὐτόν, ὡς μιμούμενος τὸν κύριον λέγοντα,

Ministerio de Educación, Cultura y Deporte

παιδία μή τι προσφάγιον ἔχετε· ἢ ἐπειδὴ τοὺς κατὰ θεὸν ἀκακίαν ἀσκοῦντας, παῖδας ἐκάλουν, ὡς ὁ παπίας δηλοῖ βιβλίῳ πρώτῳ τῶν κυριακῶν ἐξηγήσεων, καὶ κλήμης ὁ ἀλεξανδρεὺς ἐν τῷ παιδαγωγῷ.

Πληθύος) πρὸς τὸ πλῆθος τὸ ἑνοειδὴ ἐπήγαγε· τὰ μὲν γὰρ ἅγια, ἑνοποιεῖ· τὰ δὲ βέβηλα καὶ τῆς ἁμαρτίας ὄντα, εἰς πολλὰ διὰ τῆς διαιρέσεως πληθύνει. τοῦτο γοῦν νῦν καλεῖ πλῆθος, τὸ οἱονεὶ βέβηλον.

## ΚΕΦΑΛ. γ.

ΕΣΤΙ μὲν ἱεραρχία) ὅρος ἱεραρχίας.

Ὡς ἐφικτὸν) ὡς δυνατόν.

Τελεταρχικὸν) ἤγουν τελειοποιοῦν.

Ἀμιγές ἐστι καθόλου) ὁμοιότης, καὶ ἰσότης, καὶ ταυτότης, τὸ ἕν, καὶ ἑνοποιόν, ἅτε ἁπλοῦν καὶ ἀμιγές, καὶ ἀσύνθετον καλεῖται· ἀνόμοιον δὲ, καὶ ἄνισον, καὶ ἑτερότητα, καὶ μικτὸν, καὶ ἐν μεταβολῇ, τὸ πρόσυλον φασί. τὸ οὖν ἕν, ὁ θεὸς νοοῖτ᾽ ἄν.

Θιασώτας) θίασος μὲν κυρίως ὁ χορός· θιασώτας δὲ ἐνταῦθα τοὺς περὶ τὰ θεῖα ἀναχορευομένους φησί. διειδέστατα μὲν, λαμπρὰ, διαυγῆ· ἀκηλίδωτα δὲ, ἀρρύπωτα.

Ἐνεργῆσαι) ταῦτα νομίζω δηλοῦν, ὅτι οὐ χρή τινα τῶν ἐν ἱερατικῷ βαθμῷ καταλεγομένων μεῖζόν τι τῆς οἰκείας τάξεως ποιεῖν· ἀλλὰ τὸ ἐπιβάλλον τῇ οἰκείᾳ ἀξίᾳ μόνον ἐνεργεῖν καὶ παραδιδόναι διδάσκοντα, μὴ μὴν ἐπιχειρεῖν εἰς τὰ ὑπὲρ τὴν ἀξίαν· οἷον, τοὺς πρεσβυτέρους διδάσκειν, καὶ τὸ δῶρον προσκομίζειν, οὐ μὴν καὶ χειροτονεῖν· διακόνους διδάσκειν, οὐ μὴν καὶ βαπτίζειν· οὐ γὰρ δώσουσι πνεῦμα ἅγιον,

Ministerio de Educación, Cultura y Deporte

ὡς οὐδὲ ὁ φίλιππος ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων, ὁ διάκονος· ἀλλὰ μήτι προσφέρειν. καὶ οὕτως ἐφεξῆς· ἀλλὰ καὶ τοὺς τελουμένους τὰ καθήκοντα μόνον πράσσειν, ἵνα φυλάττοιτο καλῶς τὸ παρὰ τῷ θείῳ παύλῳ, ἕκαστος ἐν ᾧ ἐκλήθη βαθμῷ, μενέτω.

Τελεταρχίας) τουτέστι, τελειώσεως.

Τάξεσι) κατὰ τὸ διάφορον γὰρ καὶ ὑπεραναβεβηκὸς τῶν τάξεων, καὶ τὸ ἐπιστημονικὸν εἶπε δεῖ.

Κεκληρωμένων ἡ τελείωσις) σημείωσαι τίς ἡ τῶν ἱεραρχῶν τελείωσις, καὶ πῶς θεοῦ εἰσὶ συνεργοὶ κατὰ τὸν θεῖον ἀπόστολον.

Τὴν θείαν ἐνέργειαν) τουτέστι τὰ τοῦ θεοῦ ἔργα καὶ αὐτοὶ ἐργαζόμενοι, σώζοντα, τελειοῦντα, καὶ τὰ ὅμοια, εἰς τοὺς παιδαγωγουμένους κατὰ δύναμιν ἐργαζόμενοι.

Ἐπειδὴ τάξις) σημείωσαι τὴν τάξιν καὶ τὸ τῆς ἱεραρχίας ἀποτέλεσμα, καὶ ὅτι τοὺς προσιόντας δεῖ πρότερον καθαίρεσθαι τῇ διδασκαλίᾳ τῶν διαιρετικῶν τῆς ἁμαρτίας συμφύρσεων. εἶτα φωτίζεσθαι τῇ γνώσει τῶν θεοπνεύστων γραφῶν τὰ περὶ θεογνωσίας δόγματα, καὶ τότε τελειοῦσθαι τῷ τῆς παλιγγενεσίας λουτρῷ.

Τοὺς μὲν φωτίζεσθαι) σημείωσαι ὅτι τὸ φώτισμα περὶ τοῦ βαπτίσματός ἐστιν.

ἡ θεία μακαριότης

| | | |
|---|---|---|
| καθαίρει, διδάσκουσα. | φωτίζει, ἀνάγουσα. | τελειοῖ, θεοποιοῦσα. |

ἡ θεία μακαριότης.

| | | |
|---|---|---|
| κάθαρσις. | φωτισμός. | τελείωσις. |

τῆς

Ministerio de Educación, Cultura y Deporte

τῆς θείας μακαριότητος,

- οἱ μὲν ἱεράρχαι,
  - καθαίρουσι, φωτίζουσι, τελειοῦσι.
- οἱ δὲ ἱεραρχούμενοι.
  - οἱ μὲν, καθαίρονται.
  - οἱ δὲ, φωτίζονται.
  - οἱ δὲ, τελειοῦνται.

Νοός) ἰωνικῶς ἐχρήσατο ὁ νοῦς τοῦ νοός, οἱ νόες. φασὶ γὰρ οἱ ἀττικοί, ὁ νοῦς τοῦ νοῦ· καὶ πληθυντικῶς οἱ νοῖ, τῶν νῶν, καὶ νοισί.

Καθαρτικοὺς) ἐνταῦθα περὶ τῶν ἱεραρχῶν αὐτῶν φησί, τὰ περὶ τούτων περὶ τῶν ἱεραρχουμένων εἰπὼν, παραδηλῶν καὶ τὰς τάξεις καὶ ὅπως, οἱ μὲν καθαρτικοὶ ὑποβεβήκασιν, ὡς οἱ ἐπορκισταὶ ὄντες· οἱ δὲ φωτιστικοὶ ἐπαναβεβήκασι τῇ διδασκαλίᾳ, ὅτι οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι· οἱ δὲ τελεσιουργοί, οἱ τῷ βαπτίσματι πνεύματος πληροῦντες ἁγίου, ὡς οἱ ἐπίσκοποι. λέγει δὲ ταῦτα καὶ κάτω ἐν τῷ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ.

Φυσικῶς καὶ ὑπερφυῶς ἐνόντα) ὅτι φυσικῶς καὶ ὑπερφυῶς ἔνεστι τὰ πρὸς σωτηρίαν φωτιστικά. καλῶς δὲ τὴν τάξιν διεσάφησε τῆς ἐκκλησιαστικῆς ἱερουργίας, ὅτι ἵνα πρότερον οἱ προσιόντες τῷ θείῳ βαπτίσματι ἀποτάττωνται καθαιρόμενοι. εἶτα φωτίζωνται τῇ διδασκαλίᾳ τῶν πρεσβυτέρων εἰς τοὺς πεποιημένων· τοιούτους δὲ εἶναι τοὺς καθαρτικούς, ἀξίους τοῦ μεταδοῦναι ἑτέροις ἁγιότητος· καὶ οὕτω λοιπὸν τοὺς ἐπισκόπους βαπτίζειν· αὐτοὺς γὰρ καλεῖ τελεσιουργούς. ταύτην δεῖ τὴν τάξιν φυλάττεσθαι.



Ministerio de Educación, Cultura y Deporte

ΚΕΦΑΛ. δ.

Το πρὸς κοινωνίαν) σημείωσαι τὸν λογισμὸν δι᾽ ὃν τὰ πάντα παρήγαγεν ὁ θεὸς, ἵνα κοινωνήσωσι τῆς αὐτοῦ ἀγαθότητος ἀναλόγως ἕκαστον· τοῦτο γὰρ δηλοῖ τὸ, μοναὶ πολλαὶ παρὰ τῷ πατρί· ἕκαστος γὰρ κατὰ τὸ ἴδιον ἔργον κοινωνήσει τῆς αὐτοῦ ἀγαθότητος, οὕτω καὶ ὁ πατὴρ φησὶν ἐν τοῖς κατὰ μανιχαίων λόγοις.

Οντων) ἐνταῦθα πάντα συλλήβδην τὰ ἐν δημιουργίᾳ δηλοῖ διὰ τοῦ ὀνόματος τῶν ὄντων, καὶ νοητὰ καὶ ὁρατὰ πάντα ἅπαντα γὰρ ὁ θεὸς ἐκ μὴ ὄντων ἐποίησεν, ἵνα τῆς αὐτοῦ ἀγαθότητος ἀπολαύοιεν. ἀπολαύουσι δὲ διὰ τῆς προνοίας, ὡς ἕκαστον ἐπιτηδείως ἔχει· ἀρχὴ γάρ ἐστι τῆς τῶν ὄντων οὐσίας ἡ τοῦ θεοῦ πρόνοια.

Παντα μὲν οὖν τὰ ὄντα) ὅτι πάντα τὰ ὄντα τῆς τοῦ θεοῦ προνοίας μετέχει· οὐδὲ γὰρ οὔτε ἐκ τοῖς οὖσιν ἐστὶ τὸ μὴ μετέχον τοῦ θεοῦ. ὥστε ἀνυπόστατον τὸ κακὸν, ἐπειδὴ μὴ μετέχει τοῦ θεοῦ κατὰ στέρησιν ἕξεως φαινόμενον· ἀλλ᾽ οὐκ αὐτὸ, προηγουμένως ὂν ἐν οὐσίᾳ. οὕτω πλατέως εἴπομεν ἄνω ἐν τῷ πρεσφόρῳ κεφαλαίῳ.

Τῶν ὄντων,

| | | | |
|---|---|---|---|
| ἢ ἄζωα εἰσὶν, ἃ καλεῖ μόνον ὄντα, οἷον οὐρανοὶ καὶ γῆ. | ἢ ζῶντα, ἃ λέγει ἀλόγως ζῶν, οἷον τὰ ἄλογα ζῶα. | ἢ νοερὰ ἀσώματα, ὡς τὰ οὐράνια. | ἢ λογικὰ καὶ ἐνσώματα, ἃ καλεῖ καθ᾽ ἡμᾶς. |

Οὐ γὰρ ἀεὶ ἦν) Εν τούτοις ὄντα τὰ θεῖα καλεῖ, τουτέστι τὴν ἁγίαν τριάδα, ἥτις τῶν κτισμάτων οὖσα δημιουργὸς, καὶ ἀφ-

Ministerio de Educación, Cultura y Deporte

καὶ ἡγεμὼν αἰτία, ἐξ αὐτῶν τῶν παρ' αὐτῆς εἰς οὐσίαν ἐλθόντων μετέχεσθαι λέγεται.

Τὰ μὲν οὖν ἄζωα) ὅτι καὶ τὰ ἄζωα μετέχει τῆς προνοίας τοῦ θεοῦ, κατ' αὐτὸ τὸ εἶναι. ἄζωα δὲ εἶπεν, οἷον λίθοι καὶ πάντα τὰ μὴ προϊόντα εἰς γένεσιν.

Ζῶντα, τῆς αὐτῆς) κατὰ κοινοῦ ἐπὶ ἑκάστου τῶν ἐπιφερομένων προσυπακούειν δεῖ, δι' ὧν προνοίας μετέχει.

Αἱ γοῦν ἅγιαι) σημείωσαι δὲ περὶ τῆς τάξεως τοῦ παντὸς, ὅτι διάφοροι αἱ τῶν ἄνω δυνάμεων οὐσίαι. λέγει δὲ μόνον ὄντα ἅπερ ἐκάλεσεν ἄζωα.

Νοητῶς γὰρ ἐπὶ τὸ θεομίμητον) ὅρα ὅτι καὶ αἱ νοηταὶ δυνάμεις ἐκ προαιρέσεως κατὰ τὸ πλέον μετέχουσι τοῦ ἀγαθοῦ, ὡς πολὺ ἐφιέμεναι αὐτοῦ· λέγει γὰρ, ἑαυτὰς ἀποτυποῦσαι, ὅπερ ἐστὶ προαιρετικὸν ὅθεν ψευδὴς ὁ λόγος ὁ λέγων τὸν διάβολον πεσεῖν ἐκ τῶν οὐρανῶν· ἐτράπη γὰρ εἰς τὸ κακὸν ἀφ' ἑαυτοῦ. περιεχεῖς δὲ, ἀντὶ τοῦ συνημμέναι.

Τῶν ὄντων,

Τὰ μὲν, ἐστὶν ἄλογα, ὡς λίθοι καὶ λοιπὰ τὰ μηδεμιᾶς ζωτικῆς ἐνεργείας μετέχοντα.

Τὰ δὲ ζῶντα, ὧν

- τὰ μὲν, ἀναίσθητα, ὡς τὰ φυτά.
- τὰ δὲ, αἰσθητικά· ὧν
  - τὰ μὲν, ἄλογα.
  - τὰ δὲ, λογικά· καὶ τούτων
    - τὰ μὲν ἀσώματα, καὶ ὑπὲρ ἡμᾶς.
    - τὰ δὲ, ἐνσώματα, καὶ καθ' ἡμᾶς.

Καὶ πολλαχῶς ἐν μετουσίᾳ,) αἱ γὰρ αὐτῶν οὐσίαι, νόες εἰσὶ ζῶν. σημείωσαι δὲ, ὅτι τὰ νοητὰ πάντα, πρώτως μετέχει τοῦ



Ministerio de Educación, Cultura y Deporte

θεοῦ. ἐμφαντικαὶ δέ, τουτέστιν ἐξαγγελτικαί.

Τῆς ἀγγελικῆς ἐπωνυμίας) σημείωσαι ὅτι κυρίως ἄγγελος· καὶ ὅτι τὴν προφητικὴν αὐτοῖς τάξιν λέγει ἔχειν· ἔτι δὲ καὶ ὅπως δι' ἀγγέλων μυούμεθα· καὶ πῶς δι' αὐτῶν ὁ νόμος ἐδόθη. καὶ ὅτι καὶ τοὺς πρὸ νόμου καὶ μετὰ νόμον πατέρας ἡμῶν ἄγγελοι πρὸς τὸ θεῖον ἀνῆγον.

Κλεινοὺς) ἐνδόξους. τὸ δὲ περικλεόν, ὡς ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ Γεδεών, καὶ ἄλλων. πρὸς ὑποδεῖξαι δὲ ὁδὸν ἀπὸ αἰέρου ζωῆς, ὡς ἐπὶ τοῦ Κορνηλίου τοῦ ἑκατοντάρχου· πρῶτος γὰρ ἐξ ἀπίστων ἐθνῶν μετετέθη. τάξεις δὲ ἱεράς, ὡς ἐπὶ τοῦ Δανιήλ, μύριαι μυριάδες· καὶ τοῦ Ἰεζεκιήλ, τὰ Χερουβίμ· καὶ τοῦ Ἡσαΐου, τὰ Σεραφὶμ ὤφθησαν. ὑπερκοσμίους δὲ ὁράσεις, ὡς ἐπὶ τοῦ Παύλου ἁρπαγέντος ἕως τρίτου οὐρανοῦ· καὶ ἐπὶ τῆς τοῦ θείου Ἰωάννου ἀποκαλύψεως.

Ἀμέσως) Τουτέστιν ἄνευ τῆς τῶν ἀγγέλων διακονίας.

Ὡς αὐτὸ ὅ, τι ποτέ ἐστι) ὅρα πῶς ἐξηγεῖται τὸ ῥητὸν τὸ λέγον, θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὅπερ ἀληθέστατον ἡγοῦμαι, καὶ εἰδὼς ὅτι εἰσὶ γραφικὰ ῥήματα λέγοντα, ὡς ὁ θεὸς ὤφθη τοῖς ἀνθρώποις, ὡς ἐπὶ τοῦ Ἀδάμ, ὡς ἐν τῷ παραδείσῳ· καὶ ἐπὶ τοῦ Ἀβραάμ, ἐν τῇ δρυῒ τῇ Μαμβρῇ· καὶ ὅτε εἰς Σόδομα ἐπορεύοντο· καὶ τῷ Μωσεῖ, εἰς τὸ ὄρος, εἰ καὶ τὰ ὀπίσθια λέγεται ἑωρακέναι· καὶ λέγει ὅτι, αὐτὸ μὲν τὸ κρύφιον τοῦ θεοῦ, οὐδεὶς ἑώρακεν, οὐδὲ ὄψεται, ὅπερ ἐστὶν οὐσία αὐτοῦ. ἢ καὶ ὑψηλότερον, ὅτι οὐδεὶς κατανοῆσαι καὶ φράσαι δύναται, ἢ δυνήσεταί τι ἐστὶν ὁ θεός. εἰ γὰρ καὶ ἐγένοντό τισι θεοφάνειαι τῶν ἁγίων, νόησον ὅτι ἀναλόγως ἕκαστος τῆς ἰδίας πίστεως ἠξιοῦτό τινος ὁράσεως ἐμφαινούσης αὐτῷ τὸ θεῖον, δι' ἧς τὴν ἔλλαμψιν ἐδέχετο τῶν εἰς αὐτὸν ἐρχομένων θείων γνώσεων.

Ὡς ἐνμορφώσει) οἶμαι, τὴν μεταμόρφωσιν λέγει. ἢ τὸ ἐν

Ministerio de Educación, Cultura y Deporte

τῷ σιναίῳ ὄρει θαυμαστῶς πῦρ.

Θεοφανείαν) θεοφάνειαν εἶναι φησὶν, οὐ διὰ τὸ φαίνειν τὸν θεὸν καὶ δεικνύειν, ὅ,τι ποτέ ἐστι· τοῦτο γὰρ ἀμήχανον· ἀλλ᾽ ὅτι θείας ἐλλάμψεως οἱ ἅγιοι ἀξιοῦνται, διά τινων ὁράσεων ἱερῶν καὶ αὐτοῖς ἀναλόγων, ἃς δι᾽ ἀγγέλων γίνεσθαι λέγει.

Θεσμοθεσίαν) σημείωσαι ὅτι καὶ ὁ νόμος ἑτέρας θείας νομοθεσίας ὑποτύπωσίς ἐστι, τουτέστι τῆς κατὰ χριστὸν θείας ἐνανθρωπήσεως· ὅτι δὲ δι᾽ ἀγγέλων ἐδόθη ἡ πρώτη νομοθεσία, δηλοῖ καὶ ὁ ἅγιος στέφανος λέγων, οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Αὐτὴν) τὴν θεσμοθεσίαν δηλονότι.

Τὸ διὰ τῶν πρώτων) σημείωσαι, πῶς διὰ τῶν πρώτων, τουτέστι τῶν ἀναβεβηκότων τὰ δεύτερα, ἀντὶ τοῦ τὰ ὑποβεβηκότα πρὸς θεὸν ἀνάγονται καὶ περὶ τῶν ἀγγελικῶν διατάξεων.

Ὑπερούσιον) ὑπερούσιον ταξιαρχίαν, τὴν τῆς τάξεως αὐτῶν ἀρχὴν καὶ ποιητικὴν αἰτίαν ἔφη.

Γαβριὴλ) σημείωσαι, ὅτι τὰ περὶ τῆς ἐνανθρωπήσεως πρῶτοι μυοῦνται ἄγγελοι ὡς δηλοῖ τὰ κατὰ τὸν θεόπατον γαβριὴλ, μαθόντα τὰ περὶ τοῦ ἁγίου ἰωάννου· εὐαγγελιζόμενον δὲ καὶ τῇ παρθένῳ, ὅτι ἐκ πνεύματος ἁγίου συλλήψεται σαρκούμενον τὸν θεὸν λόγον.

Ἀνδρικῆς) ἀνδρικὴ θεουργία, ἡ χριστοῦ ἐνανθρώπησις, καθ᾽ ἣν θεὸς ὢν ἐν σαρκὶ τὰ θεῖα εἰργάζετο· σκόπει δέ, πῶς εἰπὼν ἐνταῦθα τὴν ἰησοῦ, ἀνδρικὴν θεουργίαν, καὶ διὰ μὲν τοῦ λέγειν ἀνδρικὴν, δηλῶν ὅτι τέλειος ἄνθρωπος γέγονε· διὰ δὲ τοῦ θεουργίαν, ὅτι θεός ἐστι καὶ ἄνθρωπος, ὁ αὐτὸς τὰς θεοσημίας ἐργαζόμενος, μετὰ βραχὺ λέγει, ὅτι ἀμεταβλήτως ἔμεινε γὰρ καὶ ὁ ἰωάν. κἀκεῖνο δὲ πάλιν ὅρα, πῶς φησὶν ἐν τῇ ἁγίᾳ θεοτόκῳ μαιεία γενέσθαι τῆς ἀρρήτου θεοπλαστίας τὸ



Ministerio de Educación, Cultura y Deporte

θεαρχικὸν μυστήριον. θεοπλαστίαν δὲ λέγει, δηλῶν ὅτι θεὸς ἐπλάσθη, καθὸ γέγονεν ἄνθρωπος, ὡς τὸ εἰρημένον, ὁ λόγος σὰρξ ἐγένετο. θεαρχικὸν δὲ, ὅτι τοῦ θεοῦ τοῦ αἰτίου καὶ ἀρχῆς ὄντος τῶν λεγομένων θεῶν, ἀγγέλων τε καὶ δικαίων ἀνθρώπων, τὸ μυστήριον τῆς ἐνανθρωπήσεως ἦν, ὃ θεὸν Ἰησοῦν προσωνόμασε.

Τὴν δὲ μαριάμ) σημείωσαι ταῦτα κατὰ νεστοριανῶν. οὐ πάντες δὲ ἄγγελοι ἐθαρρήθησαν τὸ μυστήριον τῆς οἰκονομίας· ἐπεὶ, ὅτε ἀνελαμβάνετο ὁ κύριος μετὰ τὸ πάθος, τινὲς ἦσαν οἱ λέγοντες, ὅτι, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης· ἡ γὰρ ἐρώτησις ἄγνοιαν ἐμφαίνει· σημείωσαι κατὰ νεστοριανῶν καὶ ἀκεφάλων, ὅτι τὸν Ἰησοῦν ὑπερούσιον αἰτίαν φησὶν, ἅτε ποιητὴν ὄντα πάντων· καὶ ὅτι ἀμεταβόλως λέγει αὐτὸν γεγενῆσθαι καθ᾽ ἡμᾶς· οὐχ ἡ αὐτὴ δὲ καὶ μία τούτου φύσις, εἰ καὶ ὁ αὐτὸς τὰ δύο, καὶ ὅτι αὐτὸς καὶ νομοθέτης καὶ ὑπονόμιον, καὶ ὅτι καὶ αὐτὸς ὡς ἄνθρωπος, δι᾽ ἀγγέλων διετάττετο, ἔν τε τῇ εἰς αἴγυπτον ἀναχωρήσει, καὶ ἐν τῇ ἐξ αὐτῆς ὑποστροφῇ, καὶ ὅτι, αὐτὸς ἐστὶν ὁ καὶ τῶν ἀγγέλων δημιουργός· ὥστε εἷς καὶ αὐτὸς χριστὸς ἐν δύο φύσεσι τὸ μέγα τῆς οἰκονομίας κατεπράξατο μυστήριον· εἴρηται γὰρ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ. ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. ἰδοὺ δύο μορφαί· ὅπερ γὰρ, φησὶν, ἐνταῦθα οὐκ ἀποπηδᾷ, τοῦτο ἐστὶ τὸ, οὐχ ἁρπαγμὸν ἡγήσατο, τουτέστιν οὐκ ἀπηξίωσεν ὡς ἄνθρωπος ὑπακοῦσαι καὶ ἀγγέλοις, εὐπειθῶς οὖν ὑποτάττεται ταῖς τοῦ θεοῦ καὶ πατρὸς δι᾽ ἀγγέλων ὑποτυπώσεσιν· αὐτὸς γὰρ οὕτως ἔταξε τὸ ἀνθρώπινον γένος διέπειν.

Ἀμεταβόλως) οὐ γὰρ ἐτράπη τὴν θείαν φύσιν.

Οὐκ ἀποπηδᾷ) τὰ γὰρ ὑπ᾽ αὐτοῦ ταχθέντα, ἤγουν προορισθέντα, αὐτὸς ἐπ᾽ ἐσχάτων ἀνέλαβε, καὶ εἰς ἑαυτὸν ἔδειξεν.

Ministerio de Educación, Cultura y Deporte

Καὶ δι' ἀγγέλων) γέγονε γὰρ ὑπὸ νόμον ὃς ἦν διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου.

Καὶ περὶ τοῦ ἀγγέλου) ὅτι τὸ τοῦ ἐνισχύσαντος ἀγγέλου τὸν κύριον κεφάλαιον, ὅπερ ἐν τῷ κατὰ λουκᾶν φέρεται, λέγει δὲ ὁ μέγας διονύσιος καὶ ὅτι ἀγράφως μᾶλλον ἐν μυστηρίῳ κρυφίως αὐτὸ παρεδόθη αὐτῷ καὶ τῷ ἁγίῳ τιμοθέῳ, ὑπὸ τοῦ ἀποστόλου παύλου· τὸ γὰρ αὐτοῦ κήρυγμα συνέγραψεν ὁ λουκᾶς. δηλοῦται δὲ τοῦτο, ὅτι ὡς ἐν μυστηρίῳ παρέλαβεν ἀπὸ τοῦ εἰπεῖν ταῖς ἱερατικαῖς ἡμῶν παραδόσεσιν ἐκπεφασμένα. ὅρα δὲ καὶ τὴν ἄλλην ἑρμηνείαν ἥτις φησί, τὸ γὰρ εἰρημένον παρὰ τῷ ἡσαΐᾳ τῆς μεγάλης βουλῆς ἄγγελον· ὀνομάζεσθαι τὸ γεννηθὲν παιδίον τῇ σαρκὶ αὐτοῦ πρέπειν φησί, καὶ διά τι ἐκλήθη ἄγγελος, ὅτι τὴν τοῦ πατρὸς βουλὴν ἀπήγγελεν ἡμῖν· σώσας γὰρ ἡμᾶς διὰ τοῦ οἰκείου πάθους, ἔδειξεν ὅτι καὶ ὁ πατὴρ ταύτης ἦν τῆς βουλῆς· οὔτε γὰρ ὡς ὑποβεβηκὼς τοῦ πατρὸς ἐκλήθη ἄγγελος, πρὸς αἱρετικοὺς τοῦτο. τὸ τοῦ ἐνισχύσαντος ἀγγέλου κεφάλαιον μὴ παρὰ τὴν ἑρμηνείαν δέξῃ τῆς ἁγίας γραφῆς· πρὸς γὰρ τὴν σάρκα ὀφείλει τοῦτο νοεῖσθαι· καὶ ἀλλαχοῦ γάρ φησι τὸ εὐαγγέλιον, μετὰ τοὺς πειρασμούς, ὅτι προσελθόντες ἄγγελοι διηκόνουν αὐτῷ, καὶ ὅτι ἐκοπίασεν ἐκ τῆς ὁδοιπορίας, καὶ ὅτι ἐπείνησε· ταῦτα γὰρ πάντα δείκνυσιν ὅτι τέλειον ἀνέλαβεν ἄνθρωπον μετὰ τῶν αὐτοῦ παθημάτων· ἀλλ' ἐρεῖ τις, ποῦ χρεία ἦν ἀγγέλου θεότητος παρούσης. λέγομεν οὖν ὅτι τὰ πλείω ὁ θεὸς δι' ἀγγέλων θαυματουργεῖ· καὶ τοῦτο λέγει πᾶσα ἡ θεία γραφή.

Ἐκφαντορικὴν) κατὰ τὸ πρὸς τὸν πατέρα ὑπ' αὐτοῦ λεχθέν, ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.



Ministerio de Educación, Cultura y Deporte

## ΕΙΣ ΤΟ ΚΕΦΑΛ. Ε.

ΤΑΣ οὐρανίας οὐσίας) τί δήποτε μιᾶς οὐσίας εἶναι πάντας τοὺς ἁγίους ἀγγέλους λεγούσης τῆς ἐκκλησίας, ὁ θεῖος Διονύσιος πολλὰς ὀνομάζει δυνάμεις; ὁ γοῦν μέγας Διονύσιος ὁ Ἀλεξανδρείας ἐπίσκοπος, ὁ ἀπὸ ῥητόρων, ἐν τοῖς σχολίοις οἷς πεποίηκεν εἰς τὸν μακάριον Διονύσιον τὸν αὐτοῦ συνώνυμον, οὕτω λέγει, ὅτι ἀγέννητον εἴωθε καλεῖν ἡ ἔξω σοφία, πᾶσαν ἀόρατον φύσιν, ὁμοίως δὲ οὐσίας τὰς ὑποστάσεις καὶ τούτου φησὶν, ὅτι κατὰ τοὺς ἔξω, εἴρηνται τῷ ἁγίῳ Διονυσίῳ αἱ τοιαῦται φωναὶ καταχρηστικῶς.

Ἐκφαντορίαν) τουτέστι τὴν ἔκφανσιν, ἤτοι διασάφησιν.

Ὀνομάζουσι) τὴν ἐσχάτην τῶν νοητῶν τάξιν κυρίως ἀγγέλους φησὶ προσαγορεύεσθαι· τὰς δὲ ὑπερβεβηκυίας, ἑτέρως, ὧν ἐνίας καὶ ὀνομάζει. ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ τῶν ἐννέα ταγμάτων μυστικῶς ἀπομνημονεύει. νῦν δὲ τελέως λέγει, ὅτι αἱ ἀνώτεραι τάξεις, ἐπίστανται μὲν ὅσα αἱ ὑποβεβηκυῖαι δι' ἐλλάμψεως μεμύηνται· γινώσκουσι δὲ καὶ ἕτερα ταῖς ὑποκειμέναις ἄγνωστα. εἰ δὲ καὶ οὕτως ἐστὶν, ὅμως γενικῷ ὀνόματι καὶ ἄγγελοι ἔσθ' ὅτε καλοῦνται πάντα τὰ νοητὰ τάγματα. φησὶ δὲ καὶ διά τι, ὡς ἐν τῷ ἑκατοστῷ δευτέρῳ ψαλμῷ, εὐλογεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ· καὶ ἐν τῷ ἑκατοστῷ τρίτῳ, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τὰ ἑξῆς. οὐκ ἀντιστρέφει δὲ ὁ λόγος· τὰ γὰρ ὑποβεβηκότα, οὐκ ὀνομάζεται τῷ τῶν ἀνωτέρων γνωρίσματι. καὶ ὅτι διὰ τῶν ὑπερβεβηκυιῶν δυνάμεων αἱ ὑποβεβηκυῖαι μυσταγωγοῦνται.

Ἀποπερατοῦσαν) τουτέστι τὴν ἐσχάτην τάξιν τῶν ἀγγελικῶν διατάξεων.

Ministerio de Educación, Cultura y Deporte

φαμὲν δὲ) ἐρωτήσειεν ἄν τις, αὗται αἱ τῶν οὐρανίων τάξεις, αἱ ὑπερβεβηκυῖαι, καὶ κατώτεραι, καὶ ἔτι ὑφειμέναι, οὕτως ἐγένοντο, ὥστε τὴν μὲν, ἀνωτέραν εἶναι· τὴν δὲ, κατωτέραν. καὶ λέγομεν, ὅτι καὶ τὰ νοητὰ πάντα αὐτεξούσια ἐδημιούργησεν ὁ θεός· εἰ γὰρ ὁ ἄνθρωπος αὐτεξούσιος ἐγένετο, ἐκ χοϊκοῦ φυράματος καὶ ψυχῆς ὑπάρχων, πόσῳ μᾶλλον αἱ νοηταὶ δυνάμεις, αἱ μηδὲν ἔχουσαι γεῶδες, ἢ βαρὺ, αὐτεξούσιοι ἐγένοντο· τοῦτο γὰρ καὶ ἡ θεία παρίστησι γραφὴ, λέγουσα τὸν διάβολον ἐξ ἀγγελικῆς ἑκουσίως ἐκπεσεῖν τάξεως. καὶ τοῦτο δὲ ὁ θεῖος ἀνὴρ περὶ δύο φύλλων περὶ ἀγγελικῶν δυνάμεων· ὅτι νοητῶς γὰρ ἐπὶ τὸ θεομίμητον ἑαυτὰς ἀποτυποῦσαι, καὶ πρὸς τὴν θεαρχικὴν ἐμφέρειαν ὑπερκοσμίως ὁρῶσαι καὶ μορφοῦν ἐφιέμεναι τὸ νοερὸν αὐτῶν εἶδος· ἐξ ὧν πάντων δείκνυται, ὡς αὐτοπροαίρετοι καὶ αὐτεξούσιοί εἰσιν αἱ νοηταὶ δυνάμεις. εἰκότως οὖν φησὶν, ὅτι ἑκάστη πρὸς τὴν ἀναλογίαν τῆς ἰδίας τοῦ ἀγαθοῦ ἐφέσεως, ἐλλάμπεται ταῖς θείαις κατανοήσεσι. διὰ τοῦτο καὶ τάξεις καλοῦνται, βαθμηδὸν, ὥσπερ τῆς ἐν αὐταῖς ἐφέσεως οὔσης. διὰ τοῦτο ἐνταῦθα, φησὶν, οὐκ ἔχει λόγον, τὴν τελευταίαν τάξιν σεραφὶμ ἢ θρόνους ὀνομάζειν. σημείωσαι δὲ, διὰ τί καλοῦνται πάντα τὰ τάγματα ἄγγελοι, ὅτι οἱ κυρίως ἄγγελοι ἀνάγουσι τοὺς ἱεροὺς ἀνθρώπους ἐπὶ τὰς ἡνωσμένας αὐτοῖς θείας αὐγάς.

Ἀλλ' ὥσπερ αὕτη) ἡ τῶν ἀγγέλων δηλαδὴ τάξις.

Τοῖς καθ' ἡμᾶς) τῶν ἐποπτικωτάτων μυστηρίων τούτων ἐμφορηθεὶς ὁ ἱερὸς διονύσιος, ἐκκαλύπτει λέγων, ὡς ἡ μὲν τελευταία τάξις, ἡ καλουμένη ἄγγελοι, τοῖς ἐν ἀνθρώποις ἱεράρχαις τῶν ἐκκλησιῶν παιδαγωγικῶς χειραγωγοῦσιν ἐπὶ τὴν πρὸς θεὸν ἀναγωγήν· τὴν δὲ κατωτέραν τάξιν αὐτὴν, τὴν ἡμῶν παιδαγωγὸν, καὶ τὰς βαθμηδὸν ὑπερκειμένας

Ministerio de Educación, Cultura y Deporte

αἱ αὐτώπεραι ὡς ὑποβεβηκυίας μυσταγωγοῦσι.

Τῆς ἀποκληρούσης) τουτέστι τῆς τελευταίας, τῆς τῶν ἀγγέλων φημί. σημείωσαι δὲ ὅτι δοξάζει κοινὰς εἶναι πάσας τὰς ὀνομασίας τῶν ἐννέα ταγμάτων, ἑκάστου τάγματος, διὰ τὸ κοινῶς ἐλλάμπεσθαι ἐκ τοῦ θεοειδοῦς εἰς τὴν ἐκ θεοῦ φωτοδοσίαν, εἰ καὶ μὴ ὁμοίως. ἔστι φησὶ κοινῶς ὀνομάσαι πάσας τὰς νοερὰς καὶ ἀσωμάτους τάξεις καὶ καθ᾽ ἕτερον τρόπον, τουτέστι κατὰ τὸ θεοειδὲς, ὅπερ ἐστὶ κατὰ τὸ τῷ θεῷ ἐοικέναι· καθ᾽ ὅσον ἐφικτὸν ἑκάστῃ αὐτῶν· ὥστε πάσας μὲν τὰς ὑπερκοσμίους τάξεις, θεοειδεῖς καλεῖσθαι, καὶ ἑτέραν δὲ κοινωνίαν ἔχειν πάσας αὐτὰς τὴν τῆς φωτεινοτάτης ἐλλάμψεως ἐκ θεοῦ δωρεὰν, κἂν πρὸς τὸ ἑκάστῃ ἐφικτὸν, ἢ ἐπ᾽ ἔλαττον, ἢ ἐπὶ πλεῖον ἡ ἔλλαμψις δίδωται. ἐν δὲ τῷ περὶ θείων ὀνομάτων λόγῳ φησὶν, ὅτι θεοὶ μόνοι λέγονται, οἱ παντὸς τάγματος ταξίαρχοι.

Ἰδιότητας) σημείωσαι πῶς ἰδιότητας λέγει τὰς ἑκάστης τάξεως ἀναλογίας.

## ΕΙΣ ΤΟ ΚΕΦΑΛ. ς.

Μόνῳ ἀκριβῶς) ὅτι μόνος ὁ θεὸς ὁ καὶ θεοποιῶν αὐτοὺς, οἶδεν ἀκριβῶς αὐτούς τε καὶ τὰς αὐτῶν λειτουργίας. καὶ αὐτοὶ δὲ ἴσασιν αὐτοὺς καὶ τὰ ἑαυτῶν· ἡμεῖς γὰρ οὐδὲν ἀκριβῶς τῶν κατ᾽ αὐτοὺς ἐπιστάμεθα, εἰ μὴ ὅσα ἐκ τῆς θείας ἐδιδάχθημεν γραφῆς.

Ἐννέα) σημείωσαι ὅτι ἐννέα εἰσὶ τάγματα θεῖα τῶν νοητῶν.

Ἱεροτελεστὴς) ἱεροτελεστὴν μὲν οἰκεῖον εἴωθε καλεῖν, ἢ τὸν θεσπέσιον ἀπόστολον παῦλον, ἢ τὸν ἅγιον ἱερόθεον, ὡς ἐν τῷ περὶ

Ministerio de Educación, Cultura y Deporte

θείων ὀνομάτων ἐλέχθη λόγῳ. τὴν δὲ οὐδένα ἕτερον ἡγοῦμαι λέγειν αὐτὸν, ἢ τὸν ἅγιον παῦλον· οὐδενὸς γὰρ ἦν ἄλλου ἢ αὐτοῦ τοῦ ἄχρι τρίτου οὐρανοῦ φθάσαντος, καὶ τὰ περὶ τούτων μυηθέντος.

Πρώτη τριαδικὴ τάξις.

θρόνοι. χερουβίμ. σεραφίμ.

Προσεχῶς) περὶ τοῦ θεῷ ἐγγίζοντος πρώτου τῶν ἱερῶν ταγμάτων.

Ἁγιωτάτοις) τὴν πρώτην τριαδικὴν ταύτην καὶ θεοειδῆ ταξιαρχίαν δεῖ τὸν νουνεχῶς καὶ ἀξίως θεοῦ κατοπτεύοντα καταλαβεῖν, ἀπό τε τοῦ ἰεζεκιὴλ, ὅς φησι, θρόνον πρῶτον, ἐφ' οὗ ὤφθη ὁ θεός. εἶτα εὐθὺς ἐχόμενα τὰ θεῖα χερουβίμ· παρὰ δὲ τῷ ἡσαΐᾳ τὰ ἁγιώτατα σεραφὶμ κύκλῳ ἱστάμενα τοῦ θεοῦ θεωροῦντα. τοῦτο δὲ δηλοῖ τὴν ὑπὲρ πάντας ἀνωτάτω παρὰ τὸν θεὸν αὐτῶν λῆξιν. σαφηνίζεται δὲ ταῦτα σχεδὸν παραπλησίως καὶ ἐν τῇ ἀποκαλύψει τοῦ ἁγίου ἰωάννου, τοῦ ἀποστόλου, εὐαγγελιστοῦ καὶ θεολόγου.

Ἀμέσως) ἀμέσως εἴρηται, ἐπειδὴ οὐκ ἔστιν ἄλλο τάγμα πρὸ αὐτῆς· σημείωσαι δὲ, ὅτι τοὺς θρόνους, ἤτοι τὰ πολυόμματα καὶ τὰ πολύπτερα χερουβὶμ καὶ σεραφὶμ λέγει ἀνωτέρας εἶναι πασῶν δυνάμεις καὶ τῆς μιᾶς τριαδικῆς ἱεραρχίας.

Ὁ κλεινὸς) τὸν ἅγιον παῦλον αἰνίττεται.

Ἐξουσιῶν) τὰς ἐφεξῆς δύο τριαδικὰς τῶν νοητῶν ἁγίας ταξιαρχίας κάτωθεν εἰς ἄνω καταλέγει· πρῶται γάρ εἰσιν αἱ κυριότητες· εἶτα ἑξῆς, αἱ δυνάμεις· εἶτα, αἱ ἐξουσίαι. αὐτὸς δὲ τὰς ἐξουσίας πρώτας τάξας, μέσας ἔλαβε τὰς κυριότητας. καὶ τῆς τρίτης λειτουργικῆς τριάδος, πρῶ-

Ministerio de Educación, Cultura y Deporte

ται αἱ ἀρχαί· εἶτα λοιπὸν, οἱ ἀρχάγγελοι· καὶ τὸ τελευταῖον, ἄγγελοι. νῦν οὖν οὐχ οὕτως αὐτῶν ἐμνημόνευσεν ἐν τῷ ἑξῆς κεφαλαίῳ, ἀλλὰ κάτωθεν εἰς ἄνω λαβὼν ὠνόμασεν· ὁ μὲν οὖν ἀπόστολος ἔν τε τῇ πρὸς ῥωμαίους καὶ ἐν τῇ πρὸς ἐφεσίους μέμνηται ἐνίων ἀγγελικῶν ταγμάτων. ταύτην δὲ τὴν τάξιν ὑφηγεῖται, δηλοῖ δὲ ὁ μέγας διονύσιος, ὅτι ἐν μυστηρίῳ ταῦτα παρέδωκε τοῖς ἁγίοις ὁ θεῖος ἀπόστολος.

## ΕΙΣ ΤΟ ΚΕΦΑΛ. ζ.

ΠΑλιν ἡ ἐπιγραφὴ κάτωθεν ἐπὶ τὰ ὑπέρτερα ἄνεισι· τὰ γὰρ τρίτα, σεραφίμ· τὰ δὲ δεύτερα, χερουβίμ· καὶ τὰ πρῶτα, θρόνοι. ἀντιστρόφως οὖν ἐπέγραψεν.

Ἐπωνυμία) σημείωσαι, ὅτι πᾶν ὄνομα τῶν ἱερῶν σημασίαν περιέχει τῆς τοῦ τάγματος ἰδικῆς ἐνεργείας, ὡς τῶν ἁγίων σεραφὶμ καὶ χερουβὶμ αἱ ἑρμηνεῖαι δηλοῦσιν. ἐπειδὴ οὐκ ἔστιν ἄλλο τάγμα παρ' αὐτό.

Θεοφανείας) εἰς γὰρ τοὺς πρώτους ἐργάζονται, ἐνεργούμεναι αἱ πρῶται θεοφάνειαι.

Ἐκφαντορικῶν) ἀντὶ τοῦ ἐμφανιστικῶν καὶ παραστατικῶν.

Θεοειδῶν) ἐπειδὴ θεοειδεῖς ἕξεις φησὶν ἐπὶ τῶν θείων νόων, οὐ χρὴ ὑπολαμβάνειν τὸν μέγαν διονύσιον τὰς ἀρετὰς ταύτας τὰς νοητὰς, ὡς συμβεβηκὸς, ἅπερ καὶ ἐφ' ἡμῶν αὐτῶν προσγίνεσθαι λέγει, ὡς ἄλλη ἐν ἄλλῳ ὑποκειμένῳ, οἱονεὶ ποιότητα προσγινομένην· τὸ γὰρ συμβεβηκὸς καὶ ὑποκείμενον ἐκεῖθεν ἀπελήλαται, ὅτι καὶ πᾶσα σύνθεσις καὶ τὸ τῆς ὕλης ἄμορφον, ἐκεῖθεν ἐξώρισται· εἰ γὰρ ἦν ἄλλο ἐν ἄλλῳ, οἷα συμβεβηκὸς ἐν ὑποκειμένῳ, οὐκ ἂν εἶχε καθ' ἑαυτὴν ἢ

Ministerio de Educación, Cultura y Deporte

οὐσία ἐκείνη, οὐδὲ θεοῦσθαι καθ' ἑαυτὴν ὡς ἐφικτὸν ἠδυνάτο, ἀλλὰ μόνην τάξιν τὴν ὡς ἄλλο ἐν ἄλλῳ φυλαττομένην. αἱ οὖν ἐν αὐτοῖς ἡρημέναι ἕξεις, αὐτοουσιωμέναι εἰσὶν, οὐ μὴν ὡς συμβεβηκὸς ἐν ὑποκειμένῳ, διὰ τὸ ἄυλον. ὅθεν ὁ μέγας διονύσιος κάτωθεν ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ, κεφαλαίῳ τετάρτῳ, οὐσιώδεις φησὶν εἶναι τὰς ἕξεις τὰς ἐν αὐτοῖς.

Ἕξεων) σημείωσαι, ὅτι αἱ θεῖαι δυνάμεις καθ' ἕξιν ἔχουσι τὸ θεοειδές. ἕξις δὲ ἐστὶ ποιότης ἔμμονος. ἐντεῦθεν οὖν δηλοῦται, ὅτι αὐτεξούσιοί εἰσιν ἕξει τὰς ἀρετὰς κτώμεναι. τοῦτο πλατύτερον παρίστησιν ἄμμων ὁ ἀδριανουπολίτης, ἐν τοῖς περὶ ἀναστάσεως αὐτῷ κατ' ὠριγένους γεγραμμένοις λόγοις.

Ὑψηλοτάτων) διὰ τί λέγονται θρόνοι.

Περιπεζίας) ἀντὶ τοῦ, τῆς πρὸς τὸ χθαμαλὸν βάσεως. σημείωσαι δὲ, τί ὁ σκόπος πάσης ἱεραρχίας.

Ὑφέσεως) ἀνωτάτην τινὰ φύσιν καὶ μετὰ θεὸν εὐθὺς ὑπ' αὐτοῦ τεταγμένην δηλοῖ, τοὺς θρόνους, οὐδὲν ἐπὶ τὰ ὑλικὰ προσέχοντας, ὡς σημαίνει τὸ μηδὲν αὐτοὺς ἔχειν περιπεζίας ὑφέσεως, ἤτοι ἐνδόσεως, καὶ τῆς πρὸς τὸ κάτω νεύσεως ἀλλὰ τὸ ἐπὶ θεὸν ἀναβατικὸν, ἀνωφερῶς προσέχειν. καλῶς δὲ ἐπήγαγεν ὑπερκοσμίως, ἀντὶ τοῦ ἀσωμάτως καὶ ἀΰλως καὶ νοητῶς, ἤτοι νοερῶς ἵνα γὰρ μὴ νομίσῃς τὸ ἀνάντες ὁδὸν εἶναι σωματικὴν, ἐπήγαγε τὸ ἀΰλως.

Θεοφόρον) σημείωσαι, ὅτι καὶ τὸ τῶν ἁγίων θρόνων τάγμα θεοφόρον εἶπεν, ὡς φέρον ἐπαναπαυόμενον νοητῶς τὸν θεόν. ὅρα οὖν ἐπειδὴ καὶ ὁ μακάριος βασίλειος ὁ καππαδόκης τὴν θεοφόρον εἶπε σάρκα, σκοπητέον πῶς εἴρηται. ἀλλ' ἡ μὲν σὰρξ αὐτοῦ τοῦ κυρίου καὶ οὐσίαν καὶ καθ' ὑπόστασιν ἥνωται αὐτῷ τῷ θεῷ λόγῳ· διὸ καὶ σαρκοφορεῖν αὐ-

Ministerio de Educación, Cultura y Deporte

τις λέγεται παρὰ τῶν πατέρων, καὶ σάρκα ἐνδύσασθαι. τί ἄτοπον οὖν εἰ καὶ ἡ σὰρξ αὐτοῦ λέγεται θεοφόρος, ὡς φέρουσα τὸν θεὸν λόγον καθ᾽ ἕνωσιν ἀδιάστατον, αὐτοῦ σὰρξ καὶ λεγομένη καὶ ὑπάρχουσα κυρίως καὶ κατὰ ἀλήθειαν. οὗτοι δὲ κατὰ χάριν ἔχοντες ἐν ἑαυτοῖς τὸν θεὸν ἀρρήτῳ τε λόγῳ καὶ ἀνεννοήτῳ τῇ διανοίᾳ θεοφόροι καὶ αὐτοὶ διὰ τοῦτο λέγονται, ὅτι πρώτως μετέχουσιν αἱ πρῶται δυνάμεις τοῦ θεοῦ, καὶ οὕτω μεταδιδόασι ταῖς ὑποδεεστέραις τὴν γινομένην εἰς αὐτὰς ἔλλαμψιν.

Ταῖς πρώταις) οὕτω τὴν καθ᾽ ὑπέρβασιν ἀνάγνωσιν νοητέον. ταῖς πρώταις οὐσίαις οἰκείαν οἰητέον εἶναι ἱεραρχίαν, τὴν ὁμοειδῆ αὐταῖς κατὰ πάντα· τὰ δὲ λοιπὰ, διὰ μέσου.

Ἀοράτου) σημείωσαι ὅτι πάσης ἀοράτου καὶ ὁρατοῦ δυνάμεως μείζους εἰσὶν αἱ πρῶται τρεῖς αὗται τάξεις.

Γεγονυῖας) τουτέστι κτίσεις.

Φαντασιῶν) ὅτι πάσης φαντασίας προσύλου ἀνεπίδεκτοι εἰσὶ καὶ ἀμιγεῖς πάσης ὑφέσεως. ὅτι οὐ μόνον αἱ θεῖαι δυνάμεις αὗται κηλίδων καὶ μολυσμῶν ἠλευθέρωνται, ἀλλὰ καὶ πάσης φαντασίας προσύλου ἀνεπίδεκτοί εἰσι καὶ ἀμιγεῖς πάσης ἐλαττώσεως, καὶ τὴν ἐπὶ τὸ χεῖρον μείωσιν οὐδόλως εἰδυῖαι· τοῦτο δὲ νόησον, οὐχ ὅτι κατὰ φύσιν ἄτρεπτοί εἰσιν, ἀλλ᾽ ὅτι αὐτοπροαίρετοι οὖσαι διὰ τῆς εἰς τὸ ἀγαθὸν ἄγαν ἐφέσεως, ἐπὶ τὸ θεῖον ῥέψασαι ἔμειναν οὕτως, ἕξιν ὥσπερ ἔχουσαι τὸ ἀμετακίνητον. μόνος γὰρ κατὰ φύσιν ἄτρεπτος ὁ θεός. αὗται δὲ εἰ οὕτως ἐδημιουργήθησαν, οὐκ ἂν ἐξέπεσεν ὁ διάβολος. ἀλλὰ καὶ αὗται πᾶσαι μιᾶς καὶ ἴσης τάξεως· τὸ γὰρ ἐκ φύσεως ἀγαθὸν ὑπόβασιν οὐκ ἔχει.

Ταυτοκινήτου) τὸ ταυτοκίνητον φησὶν ὁ ἅγιος ὅτι εἶναι τὴν κίνησιν αὐτῶν, ὡς ἀπαράλλακτον καὶ ἀμετάβολον, ὡσαύτως

Ministerio de Educación, Cultura y Deporte

δὲ ἔχουσαν. κινήσεις δέ εἰσιν ἐπ' αὐτῶν αἱ ἄπαυστοι περὶ τὰς νοήσεις ἐνέργειαι· νόες γάρ εἰσιν ἀσίγητοι· καὶ σημείωσαι τὸ κατὰ τὸ φιλοθέως ἄτρεπτον, καὶ ἀνάγνωθι τὸ τέταρτον κεφάλαιον τοῦ περὶ θείων ὀνομάτων λόγου, καὶ τὸ ὄγδοον κεφάλαιον τοῦ παρόντος λόγου.

Θεωρητικάς) σημείωσαι πῶς λέγονται θεωρητικαὶ αἱ ἅγιαι τάξεις αὗται· καὶ ὅτι οὐ διὰ συμβόλων ἢ θεωρημάτων τῆς γραφῆς τὴν θεογνωσίαν κτῶνται, ὡς ἡμεῖς.

Νοερῶν θεωρούς) θεωροὶ λέγονται οἱ τῶν μυστηρίων ἐπόπται. ταῦτα δὲ τοῖς ἁγίοις διὰ τῶν συμβολικῶς λεγομένων περὶ θεοῦ αἰσθητῶν ἐκκαλύπτονται, ὅπερ ἐπὶ τῶν ἄνω δυνάμεων οὐκ ἔστιν ἐννοεῖν.

Θεωρίας) σημείωσαι τὴν εἰρημένην τριφαῆ θεωρίαν, ἀντὶ τοῦ τρισυπόστατον μίαν θεότητα.

Ἰησοῦ) Ἰησοῦ κοινωνίαν, τὴν μετοχὴν τῆς δόξης καὶ τῆς ἀρρήτου λαμπρότητος τοῦ σώματος τοῦ Χριστοῦ λέγει· μετὰ σαρκὸς γὰρ συνεδρεύει τῷ πατρί.

Ἐν εἰκόσιν) τὸ δὲ εἰρημένον ἐν εἰκόσιν ἀποτυποῦσι τὴν ὁμοίωσιν, δέον εἰπεῖν ἀποτυπούσαις, μηδεὶς ὑπολάβοι σόλοικον, ὡς ἀγνοήσαντος τοῦ μεγάλου Διονυσίου. ἀλλ' ἀκριβῶς ἴσω, ὅτι καὶ τοῦτο, ὡς τῷ ὄντι Ἀθηναῖος καὶ λίαν ἀττικὸς οὕτω φησίν· ἀττικῶν γὰρ ἐστὶ τὸ μετοχὰς ἀρσενικὰς θηλυκοῖς συντάττειν, ὡς καὶ Ὅμηρος ποιεῖ τὴν Ἶριν ἐκ Διὸς λέγουσαν πρὸς τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν.

Οὐκ ἔτ' ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ.
Ἂψ ἐς Ὄλυμπον ἵκεσθον. ἔδει γὰρ ἀντὶ τοῦ πληγέντε ἀρσενικοῦ ὄντος δυϊκοῦ, εἰπεῖν πληγείσα, δυϊκὸν καὶ θηλυκόν. καὶ τοῦτό φασι καὶ κωμικοὶ θηλυκὸν ἀντ' οὐδετέρου ὡς ἀρσενικὸν κατὰ θηλυκοῦ, καὶ Πλάτων καὶ Εὐριπίδης ἐν Βάκχαις,

Ministerio de Educación, Cultura y Deporte

Διανδύων δρομάσι βλεφάροις. τὸ βλέφαρον γὰρ δρομὰς ὅτι ἄν τις εἴποι· καὶ ἐν ὀρέσῃ, μανιάσι λιασήμασι.

Θεουργικὴν) σημείωσαι, ὅτι ἡ πρὸς τὸν κύριον Ἰησοῦν ὁμοίωσις θεουργική ἐστι, τουτέστιν ἐργάζεται θεοὺς τοὺς ὁμοιουμένους· καὶ πῶς ἀμέσως καὶ δίχα συμβόλων αἱ τάξεις αὗται ὁμοιοῦνται χριστῷ, παρ' αὐτοῦ τοῦτο λαβοῦσαι.

Πρωτουργῷ) σημείωσαι, ὅτι καὶ πρωτόκτιστοι εἰσὶν αἱ δυνάμεις αὗται, καὶ τὰς ἀρετὰς τοῦ κυρίου Ἰησοῦ χριστοῦ ὡς δυνάμεις αὗται ἔχουσι.

Τετελεσμένας δὲ) σημείωσαι, πῶς λέγονται τετελεσμέναι αἱ θεῖαι δυνάμεις αὗται.

Ἀναλυτικὴν) τὴν τῶν ποικιλιῶν ἐπισήμων φησί, τὴν ἑρμηνευτικὴν καὶ σαφηνιστικὴν ἐξήγησιν, τῆς περιπεπλεγμένης ἱερᾶς παραδόσεως, ἧς δέονται καὶ αἱ ὑφειμέναι τάξεις, ὡς ἐφεξῆς φησί. πολλῷ δὲ πλέον ἄνθρωποι. δίχα γὰρ ἐξηγήσεων ἀναλυουσῶν τὴν πολυποίκιλον σοφίαν τῶν ἁγίων θεωρημάτων, οὐ δυνατὸν αὐτὰ νοῆσαι, οὔτε ἡμᾶς, οὔτε τὰς ὑποβεβηκότας, τὰς πρώτας τε εἰς τάξεις. ὅθεν φησίν, ὡς τῶν μὲν ὑποβεβηκυιῶν τάξεων ἑκάστη ἡ πρώτη ἱεραρχεῖ μόνως, καὶ οὐκ ἄλλη δύναμις· τῆς δὲ τῶν ἀνωτάτω τούτων διακόσμων ἱεραρχίας ὁ θεὸς ἱεραρχεῖ μόνος, καὶ οὐκ ἄλλη δύναμις.

Ἱεραρχούμεναι) τουτέστι μυσταγωγούμεναι.

Τοῦτο γοῦν) ἀποδείξεις γραφικαὶ τῶν εἰρημένων.

Ἐκδιδάσκεσθαι) σημείωσαι τὸ ἐκδιδάσκεσθαι· δηλοῖ γὰρ μὴ κατὰ φύσιν εἶναι αὐτὰς τοιαύτας.

Τὰς δὲ πασῶν ὑψηλοτέρας) ἐπειδὴ γὰρ πασῶν ἀνώτεραί εἰσι, καὶ οὐδὲν ἔχουσι τὸ ὑπέρτερον, ὅσον εἰς ἑτέρας δυνάμεις, εἰκότως ὑπ' αὐτοῦ τοῦ θεοῦ μόνου προσάγονται ὡς

ἀνώτεραι

αὐώτεραι μυοῦνται τὴν θείαν γνῶσιν.

Εἰς οὐρανοὺς) σημείωσαι κατὰ βασιλειανῶν ἤτοι νεστοριανῶν, ὅτι ὁ ἀναληφθεὶς καθ' ὃ ἄνθρωπος ἰησοῦς χριστὸς, αὐτὸς ἐστὶν ὁ κύριος τῶν νοητῶν πάντων, καὶ βασιλεὺς τῆς δόξης, ὡς μυούμενοι μανθάνουσι παρὰ τῶν λεγόντων, ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ πυνθανόμενοι, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης· καὶ αὖτις ἀκούοντες, κύριος τῶν δυνάμεων, καὶ τὰ ἑξῆς. κατὰ δὲ ἀκεφάλων καὶ εὐτυχιανιστῶν, ὅτι καὶ κύριος δυνάμεων, ἀλλ' οὐ σὰρξ καὶ σαφὴς ἄνθρωπος, ὡς καὶ πρὸς τὸ ξένον ἐκπλήττεσθαι τὰς ἑξῆς ἀρχάς.

Θεουργίας) καλῶς θεουργίαν ἐκάλεσε τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν· θεοῦ γὰρ ἦν ὡς ἀληθῶς ἔργα πάντα, τὰ κατὰ οἰκονομίαν τοῦ κυρίου· ὁ τόκος ὁ ἅγιος, καὶ ἰάσεις, τὰ ἐπὶ τῷ πάθει σημεῖα, καὶ ἡ ἀνάστασις.

Ἐγὼ γάρ φησι) τὸ δὲ, ἐγὼ γὰρ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου, ἠσαΐου εἰσί. καὶ ὅρα πῶς ταῦτα νενόηκεν.

Ἄγαμαι δέ) τὸ ῥητὸν οὕτω συνθετέον, θαυμάζω πῶς αἱ πρῶται ὡς μέσαι τῶν θεαρχικῶν ἐλλάμψεων εὐλαβῶς ἐφίενται.

Μεσοπετεῖς) μεσοπετεῖς ἔφη, ὡς μὴ πρὸς τὸ ἄκρον τοῦ ὕψους ἀνιπταμένας, ἀλλὰ τοῦ μέσου ἐφικνουμένας· τὸ γὰρ διαπορεῖν, σημαίνει τὸ λέγειν, τίς οὗτος ὁ παραγινόμενος ἐξ ἐδώμ.

Ἐρωτῶσι) ὅρα μετὰ πόσου φόβου καὶ εὐλαβείας αἱ πασῶν ἀνώταται τάξεις, ὡς μέσαι, καὶ οὐχὶ πρῶται, ἐρωτῶσιν ἀλλήλας, πρῶτον τὰ παρὰ τῷ ἠσαΐᾳ, τίς οὗτος ὁ παραγινόμενος ἐξ ἐδώμ. ἐρύθημα ἱματίων αὐτοῦ ἐκ βόσορ· καὶ τότε ὥσπερ ἐπιτρεπόμεναι παρὰ θεοῦ, πρὸς αὐτὸν λέγουσι, διὰ τί σοῦ ἐρυθρὰ τὰ ἱμάτια.

Παναγεστάτης καθάρσεως) σημείωσαι πῶς φησὶ καθαί-



Ministerio de Educación, Cultura y Deporte

ρεσθαι, καὶ φωτίζεσθαι καὶ τελεσιουργεῖσθαι τὰς θείας τάξεις.

Τῆς καθάρσεως) σημείωσαι τίς ἡ κάθαρσις ἐπὶ τῶν νόων, καὶ τίς ἡ ἄγνοια.

Ἀπλέτου φωτὸς) ἄπλετον, τὸ μέγα καὶ πολύ.

Τελεσιουργεῖται) σημείωσαι πῶς καθαίρονται, καὶ φωτίζονται, καὶ τελεσιουργοῦνται αἱ θεῖαι τάξεις αὗται.

Καθ' ἕξιν) καθ' ἕξιν ἐπιστήμη ἐστὶν ἡ ἔμμονος καὶ ἀναπόβλητος τῆς ἐκλαμφθείσης γνώσεως κατάληψις.

Ἡ κύκλῳ) ἐπειδὴ καὶ ἑστηκυίας, καὶ κύκλῳ θεοῦ, περιχορευούσας ἀμέσως τὰς πρώτας ταύτας ταξιαρχίας φησὶ σαφηνιστέον, πῶς καὶ ἑστᾶσι καὶ κινοῦνται, καθάπερ ἐν χορείᾳ κύκλῳ τοῦ θεοῦ. καὶ πῶς μὲν ἐξ Ἡσαΐου τὴν ἀφορμὴν εἴληφεν, ὃς λέγει, καὶ σεραφὶμ εἱστήκει κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ καὶ τὰ ἑξῆς. ἐπάγει δέ, καὶ ταῖς δυσὶν ἐπέταντο. πῶς γὰρ ἑστῶτα περιεπέταντο κύκλῳ. καὶ νοητέον οὕτως, πᾶς νοῦς τοῦ πάντων αἰτίου θεοῦ ἐκλάμψας, ἐπειδὴ ἀπὸ τοῦ δημιουργήσαντος ἐξέλαμψε, λέγεται περὶ αὐτόν, ὡς περὶ κέντρον κινεῖσθαι, τῆς κινήσεως οὐ τοπικῆς τινὸς οὔσης, ἀλλὰ νοερᾶς καὶ ζώσης. ἔστι δὲ νοῦ κύκλῳ κίνησις τοιαύτη, πᾶν τὸ νοοῦν ἢ νοῦς ὤν, νοεῖ, ἢ ὡς μετέχον νοῦ. ὁ μὲν νοῦς ὤν, πρώτως νοεῖ· τὸ δὲ μετέχον νοῦ, δευτέρως νοεῖ. κατὰ τοῦτο μὲν οὖν, καθ' ὃ νοῦς ὢν νοεῖ, κινεῖσθαι λέγοιτο ἄν. κυκλικὴ δὲ ἐπινοεῖται ἡ κίνησις αὕτη καθ' ὃ ἀνακάμπτων καὶ περὶ αὐτὸν γινόμενος, οὕτως ἑαυτὸν νοήσει καὶ τὸ πρὸ αὐτοῦ, ἐξ οὗ ἐξέλαμψεν. ὡς οὖν ἐκ θεοῦ βουληθέντος προβληθεὶς, περὶ αὐτόν, ἤτοι τοῦ περὶ τὴν θεοῦ ἔφεσιν καὶ ἀγάπην, ὡς περὶ κέντρον ἐστί· οὐ γὰρ ἑνοῦνται τὰ δεύτερα τοῖς πρὸ αὐτῶν, ἀλλὰ χορείᾳ τινὶ τὸ γινόμενον ἔοικε· τὰ γὰρ γινωσκόμενα εἶναι ἐν τῷ οἰκείῳ ἐφιέμενα, τὸ γινώσκοντα περιαθρεῖ. τὸ οὖν τῇ νοήσει πρὸς τὰ πρὸ αὐτοῦ ἐπεστραμμένον, κυκλικῶς

Ministerio de Educación, Cultura y Deporte

κινήσεως ἔννοιαν εἰσάγει. ἐπειδὴ οὖν πανταχοῦ ἐστιν ὁ θεός, αἱ πανταχοῦ αὐτῷ συνακολουθοῦσαι τῷ θέλειν αὐτὸν νοεῖν ἀεὶ, ἐπὶ τούτῳ ἀγάλλονται, καὶ περιχορεύουσιν, ὥσπερ τῇ εὐφροσύνῃ. λέγεται οὖν νοῦς ἐν ἑαυτῷ εἶναι, καὶ πρὸς ἑαυτὸν σπεύδειν. ὁ οὖν ἐν ἑαυτῷ ἐστί, καὶ δηλοῖ ἀθανασίαν, στάσιν ἔχει· κατὰ γὰρ τὸ εἶναι ὅ ἐστιν ἀθανάτως εἶναι, ἑστάναι νοεῖται· κατὰ δὲ τὸ πρὸς ἑαυτὸν σπεύδειν, κινεῖται μὴ βουλόμενος διαχεῖσθαί πως εἰς τὰς ἔξωθεν αὐτοῦ καὶ προσύλους νοήσεις· κατὰ μὲν οὖν τὸ ταυτοκίνητον οὐχ ἕστηκεν, ἀλλὰ κινεῖται· κατὰ δὲ τὴν οὐσίαν ἀεὶ ὡσαύτως ἔχουσαν στάσιν, ἀλλ' οὐ κίνησιν ἔχει. ἔστι τοίνυν καὶ κατὰ φύσιν ἑκάστῳ τῶν νόων ὁρμή, ἡ πρὸς θεὸν ἔφεσις καὶ ἡ περὶ αὐτόν, ὡς περὶ κέντρον κυκλικὴ χορεία. ὡς ἡ τοῦ κύκλου περὶ τὸ σημεῖον ἤτοι κέντρον, ἀφ' οὗ συνέστη· καὶ γὰρ καὶ κατὰ φυσικὴν ἀνάγκην ἕκαστον τῶν ὄντων τὴν περὶ τὸν θεὸν χορεύει χορείαν, τῷ εἶναι ἐφιέμενον τοῦ εἶναι. οὕτως οὖν περὶ τὸν πάντων βασιλέα πάντα ἐστί, καὶ ἐκείνου ἕνεκα πάντα· καὶ ἐκεῖνο ἁπάντων καλῶν αἴτιον. ὁ δὲ εἶπεν ἀμέσως τὰ πρῶτα περὶ θεὸν χορεύειν, ὡς μὴ ἔχοντά τι πρὸ αὐτοῦ δηλοῖ, ὅτι τὰ δεύτερα καὶ τὰ τρίτα, τουτέστι τὰ αἰσθητά, διὰ μέσων τῶν πρὸ αὐτῶν περὶ τὸν θεὸν ὡς εἴρηται, ἀναλόγως χορεύει.

Τὰ νοητὰ) εἴδη μέν εἰσι καὶ ἰδιότητες ὑπάρξεων διακεκριμένων· ἐν δὲ τῇ ἀσωματίᾳ καὶ τὸ μὴ τόπου δεῖσθαι τὰ ἄϋλα, ἵνα χωρισθῶσιν, ὡς τὰ σώματα πάντα· ὅπου γὰρ σῶμα καὶ τόπος ὁ μέλλων χωρεῖν, ἀμάχως τὰ σώματα.

Ὡς φωνὴ) ταῦτα τοῦ Ἰεζεκιήλ.

Ἐκ τοῦ τόπου αὐτοῦ) πῶς χρὴ νοῆσαι τόπον ἐπὶ θεοῦ, τῆς γραφῆς ἁπανταχοῦ λεγούσης ἀπερίοριστον εἶναι τὸ θεῖον, καὶ τὸ, οὐρανός, θρόνος αὐτοῦ· ἡ δὲ γῆ, ὑποπόδιον τῶν ποδῶν αὐτοῦ· καὶ πάλιν, ἔστησε τὰς νάπας ζυγῷ, καὶ τὴν γῆν δρα-



Ministerio de Educación, Cultura y Deporte

κι'· καὶ αὖθις, ἐὰν πορευθῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ· ἐὰν δὲ καταβῶ εἰς τὸν ᾅδην, πάρει· ποῖον οὖν ὁ ἰεζεκιὴλ ἐπενόησε τῷ θεῷ τόπον. λέγομεν ὅτι τὰ δοκοῦντα ἡμῖν ἄπειρα, ὁ θεὸς τοῖς ἐξ ὅλης αὐτὸν ἐπιζητοῦσι κινήσεως φωτίζει· λέγει γὰρ ἡ θεία γραφὴ, ἐὰν τὰς ἐντολάς μου φυλάττῃς, ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. ὥστε οὖν καὶ αἱ νοηταὶ δυνάμεις, καὶ αἱ τῶν ἁγίων ψυχαὶ, καὶ πάντων τῶν φυλασσόντων τὰς ἐντολὰς, τόπος κληθεῖεν ἂν εἰκότως τοῦ θεοῦ καὶ ἀνάπαυσις· καὶ ἀλλαχοῦ γάρ φησιν, ἐπαναπέπαυται τὸ πνεῦμά μου ἐπ' αὐτοῖς.

Ἐν τοῖς περὶ τῶν θείων ὕμνων) σημείωσαι ὅτι καὶ ἄλλο σύνταγμα αὐτῷ περὶ θείων ὕμνων πεπόνηται.

Οἱ θεῖοι τόποι) τίς ὁ τοῦ θεοῦ τόπος.

Τόποι τῆς θεαρχικῆς) τὸ εἰρημένον, ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου, δηλοῖ μὴ λέγεσθαι περὶ αἰσθητοῦ τινὸς, ἀλλὰ περὶ τῶν θείων τούτων νόων. ἢ καὶ οὕτως, ἠβουλήθη ὁ θεὸς σημᾶναι, ὅτι ἀπερίγραπτον τὸ θεῖον· καὶ ἄλλως, ὅτι ἐν αὐτοῖς τοῖς ἀκούουσιν οὐκ ἦν τῷ θεῷ τόπος καταπαύσεως, διὰ τὴν ἀπιστίαν αὐτῶν, ὥς φησιν ἐν εὐαγγελίοις ὁ κύριος· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνει.

Μονὰς ἐστὶ) οὐ μόνον, φησὶν, ὁ τρισάγιος ὕμνος δηλοῖ, καὶ ἡ ἐκ τοῦ τόπου αὐτοῦ τὸν θεὸν δοξολογοῦσα φωνὴ, τὸ μεταδεδόσθαι καὶ ταῖς ὑφειμέναις τάξεσι γινώσκειν καὶ ὑμνεῖν τὸν θεὸν, ἀλλὰ καὶ ἕτερόν τι σημαίνει πρὸς τούτοις· τοῦτο δὲ δηλοῖ τὸ ῥητὸν τὸ λέγον, καὶ μίαν καὶ ἑνάδα καὶ μονάδα τρισυπόστατον λέγομεν εἶ) τὸν θεὸν, καὶ προνοεῖν ἁπάντων, ἀπὸ τῶν πρώτων καὶ μέχρι τῶν ἐσχάτων τῆς γῆς περιδεδραμμένον ἁπάντων ἀσχέτως, τουτέστιν οὐ σωματικῇ κατέχοντα, ἀλλὰ θεϊκῇ προνοίᾳ

Ministerio de Educación, Cultura y Deporte

ὑπερουσίως. ὅτι δὲ ἐστὶν ἑνὰς καὶ μονὰς, ὁ εὐάγριος ὁ αὐό-σιος ἐν τῇ δευτέρᾳ ἑκατοντάδι, κεφαλαίῳ τρίτῳ φησὶ τοῦτο. αὐτὸς ἐστὶ μονὰς, ἐπειδὴ τὸ θεῖον ἁπλοῦν καὶ ἀδιαίρετόν ἐστι· τούτου χάριν μονάς· καὶ μονὰς γὰρ ἀριθμητικῶς εἰπεῖν, ἁπλῆ ἡ ἀσύνθετός ἐστιν· ἑνὰς δὲ διὰ τοῦτο, ἐπειδὴ ὁ θεὸς ἑαυτὴν ἥνωται ἡ ἁγία τριὰς φυσικῶς, ὁ ἑνοῖ πάντας τοὺς αὐτῇ πλησιάζοντας κατὰ τὸ εἰρημένον ἐν τῷ εὐαγγελίῳ, ἵνα ὦσιν αὐτοὶ ἓν, ὥσπερ καὶ ἡμεῖς ἓν ἐσμέν.

Αοχέτῳ) ἄσχετον συνοχὴν λέγει τὴν ἐξῃρημένην πάντη καὶ ἀσυναφῆ πρὸς τὰ συνεχόμενα πρόνοιαν τοῦ θεοῦ καὶ περικράτησιν.

## ΕΙΣ ΤΟ ΚΕΦΑΛ. η.

ΔΥνατὰ) ἰσχυρότατα.

Επωνυμίας) ὅτι ἡ ἐπωνυμία αὐτῶν σημαίνει τίς ἡ ἰδιότης αὐτῶν.

μέση τελεαδικὴ τάξις.

κυριότητες. δυνάμεις. ἐξουσίαι.

Αδουλώτων) ὅτι πᾶσα νοητὴ δύναμις ἀμειλίκτως πρὸς τὸ χεῖρον ἔχει.

Ως ἀμείλικτον κυριότητα) ἐνταῦθα σφάλματι τῶν ἑλληνικῶν φιλοσόφων εὐσεβῶς ἐπισκώπτει· οἵτινες ἰδικὰς τρεῖς δυνάμεις τινὰς ἀμειλίκτους προσηγόρευσαν, παρελθούσας εἰς ὕπαρξιν ἐκ τινῶν παρ' αὐτῶν ἑτέρων τριῶν δυνάμεων· οὐ μὴν ἐκ θεοῦ φῶτα δημιουργηθείσας ἰδικῶς. ὁ φασὶν εἶναι τοὺς ἀμειλίκτους τούτους, ὑποπεζίους τῶν προβαλλομένων αὐτοὺς νοητῶν δυνάμεων, ἀνατέλλοντας καὶ ὥσπερ



Ministerio de Educación, Cultura y Deporte

ἀντιβαίνοντας, καὶ ἐφεκτικοὺς τῶν περὶ αὐτῶν καὶ ἑαυτῶν, τοῦ μὴ πεσεῖν εἰς ὕλην, καὶ ἀσθενεστέρους κατὰ τοῦτο τῶν περιβαλλομένων ἑαυτοῖς, καθ' ὃ δέονται τοῦ κατέχειν εἰς τὸ ἀπλωτὸν ἑαυτούς. ταῦτα μὲν οὖν ὡς ἐν ἐπιτομῇ τὰ ἐκείνων. ὁ δὲ μέγας Διονύσιος πρώτως τὰ ἐναντία πάντα αὐταῖς φησιν· ἐκ θεοῦ γὰρ αὐτὰς δημιουργικῶς ὑποστῆναι φησίν· οὐ καὶ τὴν ἐμφέρειαν ἔχουσιν εἰς κυριότητα, ὥσπερ καὶ ἡμεῖς οἱ καθ' ὁμοίωσιν κτισθέντες. αὐτοῖς δὲ τὸ ἀμείλικτον κατὰ πάσης ὑφέσεως τοῦ λόγου τῆς κυριότητος ἔχειν λέγει, κόπτοντας ὥσπερ καὶ διατέμνοντας, καὶ οὐκ ἐῶντας κρατεῖν τὴν πρὸς τὰ αἰσθητὰ ἐπιθυμίαν, οὐ μὴν τοὺς περὶ αὐτῶν ἀναστέλλοντας· τὰ δὲ αἰσθητὰ καὶ σωματικὰ δουλοπρέπειαν φησὶ καὶ ἀνελευθερίαν καὶ εἰκαίαν δόξαν. δουλοποιίας δέ, ἀντὶ τοῦ δουλοπρεπείας, ἐπεὶ μὴ συγχωροῦσι τὰ ὄντως ὄντα ἐννοεῖν, ἀλλὰ κατάγουσιν ἐκ τῆς ἀκλινοῦς ἑδραιότητος ἐπὶ τὴν τῶν ματαιοτήτων ὑποκατάκλισιν. ἀνομοιότητα δὲ αὖθις καλεῖ τὰ ὑλικά, ὡς μηδέποτε μένοντα ἐπὶ ταυτότητος, ἀλλ' ἀεὶ μεταβάλλοντα.

Κυριαρχίας) κυριαρχίαν, τὴν θεότητα ἔφη, ὅτι πάσης κυριότητος ἀρχὴ καὶ αἰτία καθέστηκεν.

Οὐκ ἀπολείπουσαι) σημείωσαι πῶς πανταχοῦ φησὶ τὰς ὑπερβεβηκυίας δυνάμεις μεταδιδόναι τῶν οἰκείων ταῖς μετ' αὐτὰς καὶ τὰς δυνάμεις δυναμοῦν τὰς ὑποκειμένας. ἴσμεν δὲ ὅτι καὶ τὸν Δανιὴλ γέγραπται ἄγγελος ἐνισχύων, καὶ ἄλλοις καὶ τὸ δὴ πάντων μεῖζον, καὶ αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἅτε καὶ ἄνθρωπον, ὡς ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ κεῖται.

Εὐταξίαν) πρὸς τῷ ἀνωτέρω κειμένῳ καὶ ταῦτα συνταπτέον· κατὰ κοινοῦ γὰρ τὸ οἶμαι δηλοῦν.

Ἀφομοιουμένης) ὅτι καὶ τῆς ἐξουσίας ὅσον αὐταῖς θεμι-

τὸν, ὡς ἀγγέλοις οὖσιν αἱ νοηταὶ δυνάμεις τοῖς μετ' αὐτοὺς μεταδιδόασι.

Καθαίρεται γὰρ) πῶς καὶ διὰ τίνος καθαίρονται, καὶ φωτίζονται, καὶ τελεσιουργοῦνται αἱ μέσαι τάξεις· καὶ ὅτι ἔχει ἡ γραφὴ ὡς ἄλλος ἄλλῳ ἄγγελος διαπορθμεύει τὰ θεῖα σύμβολα.

Καὶ διὰ μέσης) ὅτι αἱ διὰ μέσων τελειώσεις ἀμυδρότεραι τῶν προφανῶς ὑπὸ θεοῦ ἐνεργουμένων, αἵτινες εἰσὶ πρῶται.

Τὴν δι' ἄλλου λεγομένην) κατὰ τὰ ἐν τῷ ζαχαρίᾳ, καὶ δανιὴλ, καὶ ἰεζεκιὴλ, τοῖς προφήταις κείμενα.

Αμυδρουμένης) ἀμυδρουμένης ἔφη, οὐ παρὰ τὴν οἰκείαν αὐτῆς αἰτίαν, ἀλλὰ παρὰ τὸ ὑφειμένον τῶν δεχομένων· τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν, δευτέρωσιν τελειώσεως, τουτέστι τὸ ἀμυδρότερον τελειοῦσθαι τὰ δεύτερα.

Οἱ δεινοί) σημείωσαι ὅτι ἱερεῖς ταῦτα παραδεδώκασι τῷ μεγάλῳ διονυσίῳ· αὐτοφανεῖς δὲ ἐκάλεσε, τὰς πρώτας θείας δυνάμεις, ἐπειδὴ ἀφ' ἑαυτῶν τὰς θείας δέχονται ἐλλάμψεις· αἱ γὰρ λοιπαὶ δυνάμεις, οὐ δι' ἑαυτῶν τὰ θεῖα δέχονται δῶρα τῆς γνώσεως, ἀλλὰ διὰ τῶν ὑπερκειμένων.

Ιεραρχικῆς) σημείωσαι ὅτι ἱεραρχικὴ παράδοσίς ἐστι, τὸ περὶ τῆς τάξεως τῶν νόων εἰδέναι.

Ελλαμψεων) ἀπόδειξις τοῦ ῥηθέντος, ὅτι τὰ δεύτερα παρὰ τῶν πρώτων μυοῦνται, ἀπὸ ζαχαρίου τοῦ προφήτου.

Απιθάσοις) ἀνημέροις.

Εκδεδωκυῖα) περὶ τῶν παραδοθέντων τῷ βαβυλωνίῳ.

Τῇ πανσοφίᾳ) ὅρα ὅτι ὁ θεὸς πάντα μηχανᾶται πρὸς τὸ ἐπιστρέψαι τοὺς πλανωμένους.

Επιεικῶς ἐπανῆγεν) τὸ ἐπιεικῶς, ἀντὶ τοῦ φιλανθρώπως, ἢ πάνυ καὶ μεγάλως νόησον.



Ministerio de Educación, Cultura y Deporte

Κοινὸν γὰρ) ὅτι κοινῷ ὀνόματι πᾶσαι αἱ δυνάμεις αἱ νοηταὶ ἄγγελοι λέγονται.

Ὑφειμένων) ὑποβεβηκότων, δευτερευόντων.

Προπορευόμενον) προπορευόμενον τάχα τοῦ προφήτου· τάχα δὲ, περὶ τοῦ τὸν μείζονα ἄγγελον ἐλθεῖν ἔσω αὐτόν.

Εἶτα πρὸς αὐτοῦ τὴν θείαν) τοῦτο θέλει δεῖξαι, ὅτι καὶ ἐν τοῖς ἀγγελικοῖς τάγμασιν οἱ πρῶτοι τοῖς δευτέροις διαγγέλλουσι τὴν τοῦ θεοῦ βουλήν. κατακάρπως δὲ, ἀντὶ τοῦ πάνυ, ἐκ τοῦ ἰεζεκιήλ.

Ἀποκρίνεσθαι) καλῶς εἶπεν ὁ κύριος ἐν τῷ προφήτῃ ἰεζεκιήλ, ὥστε χωρισθῆναι τῶν δικαίων τοὺς ἁμαρτωλούς· τοῦτο γὰρ καὶ ἐν τοῖς εὐαγγελίοις φαίνεται πεποιηκὼς, ὅτε τὰ πρόβατα ἐκ τῶν ἐρίφων διεμέρισεν· ἰδοὺ συνᾴδει καὶ ἐν τούτῳ ἡ παλαιὰ διαθήκη τῇ νέᾳ.

Ὡς τὸν ποδήρη) περὶ τοῦ τὸν ποδήρη ἐνδεδυκότος χιτῶνα. σημείωσαι δὲ ὅτι τῷ μὲν ἀγγέλῳ τῷ τὸ μὲν σημεῖον ἐπιθεῖναι κελευσθέντι, ποδήρης ἦν χιτὼν, καὶ ζώνη περὶ τὴν ὀσφύν, σχῆμα πρέπον ἱερεῖ· τοῖς δὲ ἀγγέλοις ἄλλοις, πέλεκυς ἐν ταῖς χερσὶν, ὅπερ δηλοῖ τιμωρητικήν τινα δύναμιν· ὡς ἐκ τούτου νοεῖν ἡμᾶς, ὅτι πρὸς τὸ μέλλον ἀποτελεῖσθαι καὶ τὸ τῶν ἀγγέλων εἶδος σχηματίζεται, ὅπερ ἐννοῆσαι ὀφείλομεν περὶ τῶν σεραφὶμ καὶ χερουβὶμ, καὶ τῶν ἄλλων δυνάμεων, ὅτι πρὸς τὴν οἰκείαν τάξιν καὶ τὸ σχῆμα ἔχουσιν· οἱ γὰρ τὸν τρισάγιον ὕμνον λέγοντες, πολυπρόσωποι σχηματίζονται, δηλοῦντος τοῦ λόγου, ὅτι ἀσίγητος ἐστὶ καὶ πολὺς ὁ αὐτῶν ὕμνος· οὕτω καὶ περὶ τῶν ἑξῆς νόησον.

Τὸ σημεῖον εἰς τὰ μέτωπα) σημείωσαι, ὅτι τὴν θείαν προτύπωσιν ἐξ ἐκείνου προεμήνυσε, τὸ τοὺς πιστοὺς κατὰ τὸ μέτωπον τὴν ζωοποιὸν ἐπιτιθέναι σφραγῖδα, καὶ περισάζε-

Ministerio de Educación, Cultura y Deporte

θαι ἐκ τοῦ ὀλοθρευτοῦ. ἀλλὰ τότε μὲν ἄγγελοι ἐν σχήματι ἱερέων τοῦτο ποιεῖν ἐκελεύσθησαν τοῖς αἰσθητοῖς· ἡ γὰρ ζώνη καὶ ὁ ποδήρης χιτὼν τὸ ἱεροπρεπὲς τῶν ἱερέων δηλοῖ σχῆμα. νῦν δὲ καὶ ἡμεῖς ἑαυτοῖς οἱ πιστοὶ τὴν τοῦ σταυροῦ σφραγῖδα κατὰ τὸ μέτωπον ἐντυποῦντες, διαφύγωμεν τὸν ἐχθρόν· ἰδοὺ καὶ ἄλλη ὁμοίωσις παλαιᾶς πρὸς τὴν νέαν. σημείωσαι δὲ ὅτι αὗται εἰσὶν αἱ τρεῖς τριάδες καὶ τάξεις τῶν νοητῶν δυνάμεων· πρώτη τριάς, θρόνοι, εἶτα χερουβίμ, εἶτα σεραφίμ. δευτέρα τριάς, κυριότητες, δυνάμεις, ἐξουσίαι· αὗται καὶ μέσαι λέγονται. τρίτη τριάς, ἀρχαί, ἀρχάγγελοι, ἄγγελοι. κοινῷ δὲ ὀνόματι πάντες ἄγγελοι.

Εὐταξίας) περὶ εὐταξίας τῶν δευτέρων πρὸς τοὺς ἀνωτέρους.

Τὸν θειότατον γαβριὴλ) σημείωσαι ὅτι καὶ ὁ γαβριὴλ οὐκ ἔστι τῶν ἀνωτέρων δυνάμεων, ἀλλὰ τῶν ὑφειμένων.

Ἱεραρχίας) σημείωσαι, ὅτι μίμημα τῆς ἄνω μυστικῆς ἱεραρχίας, τὰ ἐν τῇ ἐκκλησίᾳ γινόμενα σήμερον· καὶ γὰρ οἱ ἱερεῖς σφραγῖδα ἐπιτιθέασι τοῦ ζωοποιοῦ σταυροῦ τοῖς προσιοῦσι τῷ μυστηρίῳ, διὰ τὸ χωρισθῆναι αὐτοὺς τῶν ἀπίστων, καὶ ἵνα τὸν ἐχθρὸν διαφύγωσιν. ἄλλως τε καὶ τάξις φυλάττεται κατὰ τὴν ἁγίαν ἐκκλησίαν· ὃ γὰρ ποιεῖν ἐπιτέτραπται ὁ ὑποδιάκονος, οὐ ποιοῦσιν οἱ ὑποδεέστεροι· καὶ ὃ ποιεῖ ὁ πρεσβύτερος, οὐ ποιεῖ ὁ διάκονος· καὶ ἁπλῶς εἰπεῖν, ἕκαστος ἔχει τὴν πρέπουσαν αὐτῷ λειτουργίαν· κοινῷ δὲ ὀνόματι πάντες κληρικοὶ καὶ λειτουργοὶ καλοῦνται, ὡς καὶ οἱ ἄγγελοι. ἐντεῦθεν χρὴ νοεῖν, πῶς εἴρηται τῷ θείῳ στεφάνῳ, οἵ τινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Ministerio de Educación, Cultura y Deporte

ΚΕΦΑΛ. θ.

Ὑπερούσιον αὐτὴν ταξιαρχίας) αὐτῆς τῆς ἀρχοντικοῦ ἀρχῆς ἀναφαίνει τὴν ὑπερούσιον ταξιαρχίαν, αὐτὴ ἡ τῶν ἀρχῶν τάξις.

Ἀρχαγγέλων) περὶ τοῦ ἀρχαγγελικοῦ κόσμου, καὶ τί δηλοῖ.

Ἱεραρχία) σημείωσαι τὸ καθολικὸν, ὅτι πᾶσα ἱεραρχία ἔχει πρώτας, καὶ μέσας, καὶ τελευταίας δυνάμεις, τουτέστιν αἱ τρεῖς τριαδικαὶ τάξεις.

Ἁγιωτάταις) γρ. καὶ ἱερωτάταις. πῶς καὶ οἱ θεῖοι ἀρχάγγελοι ταῖς περὶ αὐτῶν τε μετ᾽ αὐτοὺς κοινωνοῦσι.

Κατὰ τὸ τελευταῖον) ὅτι ἐσχάτη τάξις ἀγγέλων, καὶ περικόσμιος.

ἡ τελευταία τριαδικὴ τάξις,

ἀρχαί, ἀρχάγγελοι, ἄγγελοι.

Καὶ μᾶλλον πρὸς) ὅτι ἡ τελευταία τάξις τῶν οὐρανίων δυνάμεων μᾶλλον ἀξία ἐστὶν ἄγγελοι προσαγορεύεσθαι, ὡς πλησιάζουσα ἀνθρώποις, δι᾽ ἧς καὶ τὰ θεῖα μυοῦνται ἄνθρωποι.

Τὴν μὲν γὰρ ὑπερτάτην) ὅτι ἡ πρώτη τριὰς τῆς δευτέρας ἱεραρχεῖ, καὶ ἡ δευτέρα τῆς τρίτης· ἡ δὲ τρίτη, τῶν ἐν ἀνθρώποις ἱερέων, καὶ ἐφορῶσι τὰ παρ᾽ αὐτῶν τελούμενα.

Κρυφιοειδέστερον) πῶς, αἱ μὲν, κρυφιώτεραι· αἱ δὲ, ἐμφανέστεραι ἱεραρχίαι.

Ταῖς ἀνθρωπείαις ἱεραρχίαις) τίνες ἡμῶν ἱεραρχικῶς ἐφεστήκασι· σημείωσαι τὴν ἀπόδειξιν ἐκ τοῦ Δανιήλ, τουτέστιν ἐσχάτην τάξιν ἐπιστατεῖν τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας.

Ministerio de Educación, Cultura y Deporte

Καὶ μίαν καὶ ἡ) κατὰ κοινοῦ τὸ ἵνα ᾖ κατὰ τάξιν, ὡς εἶναι τὴν σύνταξιν, καὶ μίαν ἵνα κατὰ τάξιν ᾖ καὶ ἡ παρὰ θεοῦ, καὶ τὰ ἑξῆς.

Εἰ δέ τις φαίη) πῶς ἀγγέλων ἀγαθῶν ἐφεστώτων τοῖς ἔθνεσι, μόνος ὁ ἰσραὴλ ἐγίνωσκε τὸν θεόν· ἕκαστον γὰρ ἔθνος ἄγγελον ἔχει ἀποκεκληρωμένον αὐτῷ, ὡς ἰουδαῖοι τὸν μιχαήλ, ὃν καὶ τῆς ἐσχάτης τάξεως τῶν ἁγίων ἀγγέλων φησίν.

Ὅτι μὴ παῖς τῶν ἀγγέλων) οὐ παρὰ τὴν τῶν ἐπιστατούντων ἀγγέλων αἰτίαν φησὶ τὸ τοιοῦτο, ἀλλὰ παρὰ τὴν οἰκείαν αὐτεξούσιον πρὸς τὰ μὴ δέοντα ῥοπήν.

Τῇ φιλαυτίᾳ) σημείωσαι ὅτι ἕκαστος ἑαυτῷ αἴτιος καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. τὸ δὲ φιλαυτία καὶ αὐθάδεια ἐκ παραλλήλου, τὸ αὐτάρεσκον δηλοῖ.

Τοῦτο δὲ μαρτυρεῖται) οὐχ ὅτι ὁ θεὸς τὸν ἰσραὴλ μόνον ἐξελέξατο, ἀλλ' ὅτι ὁ ἰσραὴλ μόνος ἐβουλήθη ἕπεσθαι θεῷ· οὕτω γὰρ ἡ ἑρμηνεία τῆς λέξεως σημαίνει, νοῦς ὁρῶν θεόν· οὕτω νοεῖν ὀφειλόμενα τὰ ἐν τῇ ᾠδῇ μωσέως εἰρημένα, ἐγενήθη μερὶς κυρίου σχοίνισμα ἰακώβ, ὅπερ δηλοῖ τὸν ἰσραήλ. οὐχ ὁ θεὸς γὰρ τὸν ἰσραὴλ μόνον ἀγαπᾷ, ὡς καὶ ὁ ἀπόστολος πολλαχοῦ ἐδήλωσεν εἰπών, μὴ οὐκ ἔστιν ὁ θεὸς καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν, εἴπερ εἷς ὁ θεός. ἀλλ' ὁ ἰσραὴλ πρῶτος ἐπορεύθη ὄπισθεν θεοῦ, ἐπεὶ ὕστερον ἀποστὰς καὶ αὐτὸς ἀπεδιώχθη· τὸ γὰρ αὐτεξούσιον ἔχοντες οἱ ἄνθρωποι, ὅτε θέλουσι, ποιοῦσι τὸν θεὸν μεθ' ἑαυτῶν.

Πεπονθέναι) ὅτι καὶ ὁ ἰσραὴλ αὐτὸς ἀπέστη.

Ζωὴν) ὅτι αὐτεξούσιος ὁ ἄνθρωπος.

Ὁρῶν) ὅπερ ἐνταῦθα φησὶν ὁ πατήρ, τοῦτο καὶ ἐπὶ τοῦ ἡλιακοῦ φωτὸς γινόμενον ἔστιν ἰδεῖν, ἐπὶ μὲν τῶν διαφανῶν ὑλῶν, τὴν οἰκείαν διάδοσιν ποιουμένου· ἐπὶ δὲ τῶν παχυτέρων, οὐχ ὁμοίως, ἀλλ' ἢ πάντη ἀδιαδότως ἢ ἀμυδρῶς. ὅπερ οὖν ἐν-

Ministerio de Educación, Cultura y Deporte

ταῦθα τὸ τῆς ὕλης διάφορον ποιεῖ, τοῦτο ἐπὶ τῆς θείας ἐλλάμψεως ἡ ἀνισότης τῆς αὐτεξουσίου ἐργάζεται ῥοπῆς.

Ἀνομοιότης) τουτέστι, τῶν τοῦ νοῦ ὀφθαλμῶν ἡ παραδοχή.

Ἢ παντελῶς ἀμέθεκτον ποιεῖ) ὅρα πῶς φησιν ἡμᾶς αὐτοὺς αἰτίους εἶναι τοῦ δέξασθαι τὴν ἔλλαμψιν τὴν θείαν, ἢ ὀλίγον, ἢ πολὺ αὐτῆς δέχεσθαι, ἢ παντελῶς μηδὲν αὐτῆς εἰσδέξασθαι, ὅταν πρὸς αὐτὴν ἀντίτυποι γινώμεθα, οἱονεὶ σκληροὶ ἤτοι λίθινοι· φησὶν οὖν ἐν εὐαγγελίοις αὐτὸς ὁ κύριος, δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ ἀβραάμ· ὅπερ γὰρ ἡμῖν σκληρὸν καὶ ἀδύνατον, τοῦτο τῷ θεῷ δυνατόν.

Ἡμεῖς ἂν ἐνδυσαίμεθα) σημείωσαι μάλιστα ἐντεῦθεν ἐπιστομίζεσθαι τὴν ἄκαιρον τινῶν καὶ ἀδιάκριτον ἀπαιδευσίαν, οἳ τολμῶσι φάσκειν, τὰ θεῖα ταῦτα συγγράμματα ἀπολιναρίου εἶναι, μὴ ἐκ τῶν προσώπων ὧν μνημονεύει καταστοχαζόμενοι τῆς ἀρχαιότητος τοῦ ἀνδρὸς, ἀλλὰ ψευδεπίγραφον λέγοντες τὴν διονυσίου προσηγορίαν· μηδὲ ὅτι νῦν ἐξ εἰδωλολατρῶν εἶπεν αὐτὸν ἐπιστρέψαι· καίτοι ἀπολινάριος οὐκ ἐκ τοιούτων ἦν.

Ἐπὶ τὸ πᾶσιν ἑτοίμως) ὅτι ὁ θεὸς φύσει ὢν ἀγαθὸς, ἕτοιμον ἑαυτὸν τοῖς πᾶσι παρέχει εἰς τὸ μεταλαμβάνειν τῆς ἁγιότητος αὐτοῦ καὶ φωτισθῆναι τὴν ψυχὴν, λοιπὸν τὸ ἐφ' ἡμῖν ζητεῖται, τὸ, πῶς ἐρῶμεν μετασχεῖν τῆς γνώσεως αὐτοῦ, ἵνα δειχθῇ τὸ αὐτεξούσιον· οὐ γὰρ αἴτιος τῶν κακῶν ὁ θεὸς, ὅπερ ἐστὶν ὁ ἐξ αὐτοῦ χωρισμός. ἡ δὲ σύνταξις αὕτη, ἐπεὶ ὅτι γε καὶ τῶν ἑτέρων ἐθνῶν οὐκ ἔκφυλοί τινες ἐπεστάτουν θεοὶ, μία δὲ πάντων ἀρχή· καὶ οὕτως τἆλλα, διὰ μέσου· καὶ ὅτι καὶ τῶν ἄλλων ἐθνῶν μία ἀρχὴ τοῦ θεοῦ ἦρχε, καὶ τότε διὰ τῶν ἰδίων ἀγγέλων ἱεραρχούντων.

Μελχισεδέκ) σημείωσαι τὰ περὶ τοῦ μελχισεδὲκ, ὡς ἱε-

Ministerio de Educación, Cultura y Deporte

μαρχοῦ ὄντος, καὶ τῇ δι' ἀγγέλων ὁδηγίᾳ τὸν ὄντως ὄντα θεὸν ἐπεγνωκότος. ἐπομβρίους δὲ εἶπε, διὰ τὸ αὐθαίρετον, καὶ οὐ κατηναγκασμένον.

Τῷ φαραὼ) σημείωσαι ὅτι δι' ἀγγέλων φησὶ τὰς καθ' ὕπνους γίνεσθαι ὁράσεις τῷ φαραὼ, καὶ τῷ ναβουχοδονόσορ, καὶ τὰς τούτων ἐκφαντορίας, ἤγουν ἑρμηνείας.

Θεράποντες) ὁ μὲν ἰωσὴφ, τῶν αἰγυπτίων· ὁ δὲ δανιὴλ, τῶν βαβυλωνίων, ἀγγέλων τῶν ἐπιστατούντων τοῖς ἔθνεσι τούτοις, βουλῇ θεοῦ ἀποκαλυπτόντων τὰ ὁράματα.

Ἀποκληρωτικῶς) σημείωσαι τὴν ἑρμηνείαν τῶν ῥητῶν τῆς μωσέως ᾠδῆς, ὅτι διεμέριζεν ὁ ὕψιστος ἔθνη, οὓς διέσπειρεν υἱοὺς ἀδάμ· ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγενήθη μερὶς κυρίου, λαὸς αὐτοῦ ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ ἰσραήλ· οὐ γὰρ δεῖ, φησὶν, οἴεσθαι μερίσασθαι πρὸς ἑτέρους θεοὺς ἢ ἀγγέλους τὰ ἔθνη· οὐ γὰρ ἀποκληρωτικῶς ἔλαχε, τῷ θεῷ μὲν ἰσραὴλ, τοῖς δὲ ἄλλοις ἀγγέλοις ἰδίως, ὡς μὴ διακονεῖν αὐτοὺς εἰς ἄλλο τι τῷ θεῷ· οἷον φέρε εἰπεῖν, τόδε τὸ ἔθνος τῷδε τῷ ἀγγέλῳ ἔλαχε, καὶ οὐ μέλει τῷ θεῷ τοῦ ἔθνους αὐτοῦ· ἢ οὐ σχολάζει ἑτέρῳ τινὶ πρὸς θεὸν, ὅτου ἔθνους ἄγγελος, ἀλλ' οὐδ' ὁμοτίμως ἢ ἀντιθέτως ἔλαβεν ὁ θεὸς τόδε τὸ ἔθνος, καὶ ἕκαστος τῶν ἀγγέλων ἴδιον ἔθνος, ὡς ἐν τῷ ἠσαΐᾳ εἴρηται, ὅτι ὁ διάβολος τὰ πρὸς βορρᾶν ὄρη, τουτέστι τὰ ἔθνη, εἶπεν ἐν ἑαυτῷ ἔχειν, καὶ ἀντισπουδάζειν τῷ θεῷ, καὶ εἶναι ὅμοιος τῷ ὑψίστῳ· πάντα γὰρ δοῦλα τοῦ θεοῦ, καὶ πάντων αὐτὸς ἄρχει· ἀλλὰ τοὺς γινώσκοντας αὐτὸν προετίμα· καὶ διὰ τοῦτο καὶ αὐτὸς λέγεται αὐτῶν ἀρχὴν καὶ ἔχοιεν ἄγγελον ἐφεστῶτα, ὡς ὁ ἰσραὴλ τὸν μιχαήλ. καὶ πῶς πάντων ὁ θεὸς ἄρχων κατ' ἐξαίρετον τοῦ ἰσραὴλ λέγεται θεὸς, καὶ ὁ ἰσραὴλ αὐτοῦ· καὶ λέγομεν, ὅτι ὁ θεὸς πάντων ἐστὶ θεός· τῶν δὲ πλησια-

Ministerio de Educación, Cultura y Deporte

ζόντων αὐτῷ, καὶ αὐτὸν μόνον προσκυνούντων λέγεται θεὸς δικαίως· οἱ δὲ λοιποὶ εἴδωλα σέβοντες, ἑτέρους ποιοῦσιν ἑαυτῶν θεούς.

Ἐγενήθη μερὶς κυρίου) καλῶς ἑρμηνεύει τὸ, ἐγένετο μερὶς κυρίου ἰσραήλ. ἐχρῆν οὖν, εἴπερ ὁ ἰσραὴλ μόνος ἐπεγίνωσκε θεὸν, αὐτὸν μόνον ὑπὸ τοῦ κυρίου ἐπισκοπεῖσθαι, καὶ τῶν ἀγγέλων αὐτοῦ. ἀλλὰ καὶ ἐν τούτῳ δείκνυται τὸ ἀμέτρητον καὶ ἀνεξιχνίαστον ἔλεος τοῦ θεοῦ, ὅτι καὶ τοῖς δοκοῦσι μὴ εἶναι τῆς μερίδος αὐτοῦ, ἴδιον ἄγγελον περιεβάλετο φύλακα τοῦ ἔθνους· ἀνατέλλει γὰρ τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους· καὶ πάλιν, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ἀλλ᾽ ἐρεῖς, καὶ πῶς οἱ ἔχοντες ἀγγέλους παρὰ τοῦ θεοῦ δεδομένους εἰς τὸ ἐπιστατεῖν καὶ ἡγεῖσθαι αὐτῶν, ἀπέστησαν ἀπὸ θεοῦ ζῶντος, καὶ προσκυνῆσαι εἰδώλοις· λέγομεν, ὅτι πᾶσα ἀνάγκη ἐκ τῶν εἰς θεὸν ὁρώντων ἐλήλαται καὶ ἀντεισήχθη τὸ αὐτοπροαίρετον. εἴ τις οὖν αἱρεῖται σὺν θεῷ εἶναι, καὶ φρουρεῖται ὑπὸ τοῦ ἀγγέλου, καὶ τάττεται· κύριος γὰρ, φησὶ, γινώσκει ὁδὸν δικαίων· καὶ πάλιν, νεώτερος ἤμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον· εἴ τις δὲ τὴν ἐναντίαν αἱρεῖται, οὐκ ἀναγκάζεται ὑπὸ τοῦ ἀγγέλου τόδε τι ποιεῖν· οὕτως γὰρ ὁ βίος καὶ κτηνώδης μᾶλλον, καὶ οὐκ αὐτοπροαίρετος ἀμέλει καὶ περὶ τοῦ ἰσραὴλ φησὶν, ὅτι ἥμαρτε καὶ ἐμοσχοποίησεν· ἐπέγνωσαν γὰρ φησὶ, θεοῦ ἀπώσω, καὶ ὀπίσω τῆς καρδίας σου ἐπορεύθης, τουτέστι τὸ ἴδιον θέλημα προετίμησας.

Τὸν μιχαήλ) ὅτι καὶ ὁ ἰσραὴλ, εἰ καὶ μερὶς κυρίου ἐγένετο, ἀλλ᾽ οὖν καὶ αὐτοὶ ἰδικὸν ἄγγελον εἶχον τὸν μιχαήλ.

Ἐθελουσίως) τοῦτο φησὶ διὰ τὸ αὐτεξούσιον καὶ ἀβίαστον.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. Ι.

Τελεταρχικῆς) τελεταρχικὴν, τὴν ἀρχηγὸν καὶ αἰτίαν τῆς αὐτῶν τελειώσεως.

Κρυφιωτέρα μὲν) σημείωσαι ὅτι ἐνταῦθα σαφῶς δηλοῖ, διὰ τίνα αἰτίαν αἱ τάξεις τῶν οὐρανίων δυνάμεων οὕτως εἰσὶν, ὥστε, τὴν μὲν, ὑπερτέραν εἶναι· τὴν δὲ, μέσην· τὴν δὲ, τελευταίαν· λέγει γὰρ διὰ τὴν ἀνωτέραν τάξιν, ἥτις ἐστὶ, θρόνοι, σεραφὶμ, καὶ χερουβὶμ, ὅτι ὑπ' αὐτῆς τῆς θείας γνώσεως ἐλλαμπόμενα, διὰ τὸ ἀμέσως ἐπ' αὐτὴν ἐπανατείνεσθαι, καὶ μὴ ἔχειν τὸ προλαμβάνον, οὕτως ὑπ' αὐτῆς τῆς τελεταρχίας τῆς θείας καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται· εἰ γὰρ οὕτως ἐδημιουργήθη, ὥστε πρώτη εἶναι, οὔτε καθάρσεως, οὔτε φωτισμοῦ ἐδέετο, οὕτως πλασθεῖσα, ὥστε καὶ ἀξία εἶναι τῆς πρώτης τάξεως. ἄλλως τε, ὅρα τί λέγει μετὰ μικρὸν ὁ θεῖος οὗτος ἀνήρ, ὡς κρυφιωτέρα μᾶλλον ἐστὶν, ὅτι νοητοτέρα, καὶ μᾶλλον ἀπλωτική· ἐκ τούτων γὰρ ἐστὶ πλέον λαβεῖν τὸ αὐτοπροαίρετον αὐτῶν· εἰ γὰρ μὴ πλέον τῶν ὑποδεεστέρων ἥπλου ἑαυτὴν, καὶ διενοεῖτο, οὐκ ἂν ἐπλησίαζε θεῷ· ἐγγίσασα δὲ θεῷ ἑκουσίως, κρεῖττον καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται, τουτέστιν ἐνεργεῖ τὰ τέλεια, ἀντὶ τοῦ τὰ περὶ θεόν. καὶ τοῦτο οἶμαι τὴν γραφὴν αἰνίττεσθαι, προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. οὕτω καὶ περὶ τῶν ἐφεξῆς δυνάμεων νόησον, ὅτι ἑκάστη κατὰ τὴν οἰκείαν ἀναλογίαν ὁρᾷ τὸν θεόν. τοῦτο σαφέστερον λέγει καὶ ἐν τῷ τέλει τοῦ κεφαλαίου τούτου.

Ἐκφαντορικοί) ὅτι πάντες οἱ ἄγγελοι τὰ παρὰ τῶν πρὸ αὐτῶν εἰς αὐτοὺς φερόμενα φῶτα, τοῖς ὑποδεεστέροις ἐκ-

Ministerio de Educación, Cultura y Deporte

φαίνουσι. κατὰ κοινοῦ ληπτέον τὸ ἐκφαντορικοί· ἐκ θεοῦ δὲ κεκινημένων φησὶ περὶ τῆς πρώτης τῶν σεραφὶμ ταξιαρχίας.

Σεραφίμ) διὰ τί περὶ τῶν σεραφὶμ ὁ θεῖος ὕμνος φησὶ κεκραγέναι ἕτερον πρὸς τὸν ἕτερον· διὰ τὸ τοὺς πρώτους ἀγγέλλειν τοῖς δευτέροις τὰ θεῖα μυστήρια.

Οὐκ ἀπεικότως) ἐκ γὰρ τῶν ἁπλουστέρων μυήσεων, ὅπερ γάλακτος ποτισμὸν ἐκάλεσεν ὁ ἀπόστολος, πρὸς τὰ μέσα, καὶ ἐκ τούτων πρὸς τὰ μείζονα, ἤγουν τὴν τῶν τελείων τροφὴν ἀγίων, τὴν τελευταίαν ἀναφαίνει τάξιν καὶ δύναμιν. ἔστι δὲ καὶ ἑτέρως τὰ κατὰ τὸν τόπον νοῆσαι· καὶ πρώτην μὲν εἰπεῖν, τὴν πρὸς τὸ ὑπερκείμενον, ἀνάτασιν· μέσην δέ, τὴν περὶ αὐτὸν ἀναστροφὴν καὶ συνέλιξιν· τελευταίαν δέ, τὴν τὸ ὑποδεέστερον ἀνάγουσαν, ὃ καὶ μᾶλλον ἐπὶ τῶν ἀγγέλων νοητέον.

Καὶ πρώτας καὶ μέσας) ὅτι ἑκάστου ἡμῶν ὁ νοῦς πρώτας καὶ μέσας καὶ τελευταίας τάξεις ἔχει εἰς τὸ νοεῖν περὶ θεοῦ τὰς τρεῖς τάξεις ταύτας· νοητέον οὕτως, ὅτι πᾶς νοῦς ἔχει οὐσίαν, καθ' ἣν πρῶτόν ἐστιν· εἶτα καὶ δύναμιν, καθ' ἣν διαρκεῖ· τελευταῖον δέ, ἐνέργειαν, καθ' ἣν τὰ οἰκεῖα πράττων εὐσεβεῖ· ταῦτα καὶ ἐν τῷ ἑξῆς κεφαλαίῳ σαφηνίζει· ὅθεν ἐντεῦθεν σαφῶς καὶ ἀναντιρρήτως ἔστι λαβεῖν, ὅτι ἀληθῆ πρὸ μικροῦ παρεχαράξαμεν· ἰδοὺ γὰρ πῶς φησίν, ἕκαστος οὐράνιος καὶ ἀνθρώπινος νοῦς, πρώτας καὶ μέσας, καὶ τελευταίας ἔχει ἀναγωγάς, καθ' ἃς ἕκαστος ἐν μετουσίᾳ γίνεται τῶν θείων καὶ ἱεραρχικῶν ἐλλάμψεων· πρῶτον μέν, ὅτι ἴσην τάξιν εἶπε τῶν ἀνθρώπων, καὶ τῶν ἄνω δυνάμεων· καὶ οὐδένα τῶν ἀνθρώπων ἴσμεν οὔτε προφήτην, οὔτε δίκαιον μηδὲν θέντα τῆς ἰδίας προφάσεως εἰς τὸ πλησιάσαι θεῷ· ὅρα γὰρ τί φησιν ὁ ἕως τρίτου οὐρανοῦ φθάσας, ὅτι ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδό-

κιμος

Ministerio de Educación, Cultura y Deporte

ζιμος ἡγῶμαι. ἔπειτα σαφῶς ὧδέ φησι τὸ αὐτεξούσιον καὶ τῶν ἀγγέλων, καὶ τὴν τῆς ἰδίας αὐτῶν ὁρμῆς ἔφεσιν. ἵνα δὲ μηδεὶς τὴν λίαν ἐλεγκτικὴν φιλονεικήσῃ, ὡς ἐν ἐπιλόγῳ φησίν, ὅτι οὐδὲν ἀπροσδεὲς καὶ αὐτοτελές, ὅ,τ' ἐστιν ἀφ' ἑαυτοῦ τέλειον, εἰ μὴ μόνος ὁ θεός· ὥστε ἄγγελοι καὶ ἄνθρωποι προκοπῆς καὶ τελειώσεως δέονται.

## ΚΕΦΑΛ. ια.

ΟΥ γὰρ ἐστὶν εἰπεῖν ὡς ἐπὶ τῶν ἀγγέλων) αἱ γὰρ δυνάμεις τῆς δευτέρας εἰσὶ καὶ μέσης τριάδος μετὰ τὰς κυριότητας τεταγμέναι· ὥστε οὐχ ὡς τελευταίων αὐτῶν ὄντων, πᾶσαι αἱ τάξεις ἐκλήθησαν δυνάμεις, ὡς ἐπὶ τῶν ἀγγέλων.

Τῶν ἐσχάτων) ὅτι τὰ τῶν ἐσχάτων, ἔχουσι τὰ ὑπερκείμενα· τὰ δὲ τῶν ὑπερκειμένων, οὐκ ἔχει τὰ ἔσχατα. οὕτω καὶ ἀνωτέρω εἴρηται, ἐπειδή, τὰ μὲν πρῶτα, ὁλικῶς ἔχει τὴν ἔλλαμψιν· τὰ δὲ τελευταῖα, μερικῶς, ὡς ἐφεξῆς φησίν. οὕτως καὶ ἐν τῇ ἐκκλησίᾳ ἐστὶν εὑρεῖν· ὁ γὰρ ἱερεὺς δύναται ποιεῖν ὅλα τὰ τῶν ὑποδεεστέρων, οἷον διακόνων καὶ τῶν ἐφεξῆς· ὁ δὲ διάκονος, τὰ τῶν ἱερέων οὐκ ἐπιτέτραπται ποιεῖν. ὅτι γὰρ ἡ καθ' ἡμᾶς ἱεραρχία μιμεῖται τὴν οὐρανίαν τάξιν, εἴπομεν ἄνω. καλῶς δὲ προσέθηκε τὸ ὁλικῶς· μερικῶς γὰρ μετέχουσι. τὴν σύνταξιν δὲ ἀπὸ τοῦ, οὐ γὰρ ἐστὶν εἰπεῖν, ἕως ὧδε, δεῖ συνάψαι, καὶ ἀρχὴν ποιήσασθαι τῆς ἀπορίας.

Φαμὲν δὲ) πῶς πάντες λέγονται δυνάμεις· τελευταία γὰρ τάξις ἡ τῶν ἀρχῶν, καὶ ἀρχαγγέλων, καὶ ἀγγέλων ἐστί· καὶ ὅμως καὶ αὐτοὶ δυνάμεις ἐστὶν ὅτε ὀνομάζονται.



Ministerio de Educación, Cultura y Deporte

Εἰς οὐσίαν καὶ δύναμιν) ὡς ἐν ὑποδείγματι ῥητέον, οὐσίαν μὲν εἰπεῖν, τὴν πυρὸς φύσιν· δύναμιν δὲ, ταύτης τὸ φωτιστικόν· ἐνέργειαν δὲ, τὸ τῆς δυνάμεως ἀποτέλεσμα, ἤγουν τὸ φωτίζειν καὶ καίειν.

Η οὐρανίας δυνάμεις ἀποκαλοῦμεν) ὁμώνυμόν ἐστιν ὄνομα, αἱ δυνάμεις· λέγεται γὰρ οὕτως καὶ τὸ ἰδικὸν τάγμα, τουτέστι τὸ δεύτερον τῆς μέσης τριαδικῆς διακοσμήσεως, καὶ κοινῶς πάντα τὰ τάγματα, ὡς δύναμίν ἔχοντά τινα.

Ταῖς ὑφειμέναις) κατὰ κοινοῦ τὸ, ἡμᾶς οἰητέον. σημείωσαι πῶς, ἀνωτέρω μὲν φησὶν, ὅτι εἰς τρία διαιροῦνται αἱ ἀγγελικαὶ τάξεις, εἰς οὐσίαν, καὶ δύναμιν, καὶ ἐνέργειαν· ἐνταῦθα δὲ λέγει τὸν λόγον, δι᾽ ὃν δυνάμεις πᾶσαι καλοῦνται.

Γελοίως ἔχουσι καὶ τὰς) δοκεῖ πως ἐνταῦθα λέγειν, ὅτι κατ᾽ ἀξίαν αἱ ἀγγελικαὶ διακοσμήσεις δημιουργικῶς ἐτάχθησαν· οὐ σαφῶς δὲ τοῦτο παρίστησιν· ἄνω γὰρ ἐν τῷ περὶ τούτου κεφαλαίῳ, φανερῶς τὴν αὐτῶν ἔφεσιν καὶ νόησιν λέγει, αἰτίας αὐτὰς εἶναι τῆς ὑπερτέρας αὐτῶν τάξεως, ἀμέλει ὅτι καὶ καθαίρεσθαι, καὶ φωτίζεσθαι, καὶ τελειοῦσθαι εἶπεν αὐτάς. ἔστιν οὖν ἐπιχειρήσαντα εἰπεῖν εὐσεβῶς, ὅτι ὁ θεὸς προειδὼς αὐτῶν τὴν τῆς ἐφέσεως κίνησιν, καὶ τὰς αὐτῶν τάξεις ἀξίας αὐτῶν παρήγαγεν, ἐξ ὧν οὐκ ἂν εἴποι τις αὐτὰς δύνασθαι ἐκπεσεῖν, διὰ τὸ ἕξιν τινὰ κτήσασθαι πρὸς τὸ ἀγαθὸν, διὰ τῆς ἄγαν θελήσεως· τοὺς δὲ ἀγγέλους, τουτέστι τοὺς τελευταίους διακόσμους ἐνδέχεσθαι ἴσως καὶ ἐπὶ τὸ χεῖρον τραπῆναι· εἴποι αὐτοὺς γὰρ περικοσμίους, ἐξ ὧν οἶμαι καὶ τὸν διάβολον ποτὲ εἶναι περὶ τοῦ μὴ ἐκπεσεῖν. καὶ εἴ τις τούτων τελειότερον οἶδεν, αὐτῷ μαθεῖν. σημείωσαι δὲ, πῶς κατὰ τάξιν αἱ ἀγγελικαὶ διακοσμήσεις δημιουργικῶς παρήχθησαν.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ιβ.

ΖΗτεῖται) πῶς οἱ καθ᾽ ἡμᾶς ἱερεῖς, ἄγγελοι λέγονται.

Φαμὲν γὰρ ὅτι τῆς ὁλικῆς) σημείωσαι ὅτι εἰ καὶ τῆς τῶν ἀνωτέρω δυνάμεων ἀποδέουσιν ὁλότητος οἱ ἔσχατοι, ἀλλ᾽ οὖν μερικῆς μετέχουσι σοφίας τε καὶ γνώσεως καὶ αὐτοί.

Αἱ δὲ τῶν ὑπ᾽ αὐτοῖς) τίς ἡ ὁλικὴ σοφία καὶ μέθεξις, καὶ τίς ἡ μερική. τὸ δέ, κατὰ δύναμιν οἰκείαν, τὴν προαιρετικὴν δύναμιν νοητέον ἐνταῦθα.

Ὥρισται) σημείωσαι ὅτι τὸ ὥρισται οὐ δηλοῖ εἱμαρμένην τινὰ καὶ ἀπαράβατον ἀνάγκην, ὡς εἰώθασι πολλοὶ λέγειν· ἀλλὰ τὸ ὥρισται, ἀντὶ τοῦ διατέτακται κατὰ ὡρισμένην τινὰ ἀναλογίαν δυνάμεως, τὸ νοοῦ τυχόν, ὑπὲρ ἣν νοῆσαι οὐ χρή.

Εὑρήσεις) πῶς καὶ θεοὶ λέγονται, οἵ τε ἄγγελοι κοινῷ ὀνόματι, καὶ οἱ φιλόθεοι ἄνθρωποι, κατὰ τό, ἐγὼ εἶπα, θεοί ἐστε.

Ἐξῃρημένης) πῶς, καὶ τίσι καὶ κατὰ τί, τῶν θείων ὀνομάτων ἠξίωται.

## ΚΕΦΑΛ. ιγ.

Ο Σεραφείμ) σημείωσαι ὁ σεραφείμ, ἀρσενικὴ κλίσις.

Καὶ γὰρ ἀπορήσειέ τις) ἐπειδὴ ἐναντιοφανὲς εἶναι δοκεῖ τοῖς λεχθεῖσιν· ἔφη γὰρ περὶ τούτων, ὅτι τὰ κατώτερα ὑπὸ τῶν ὑπερκειμένων αὐτά, οὐ μὴν ἐκ τῶν ἀνωτάτων μυοῦνται, οἷον ἡ τρίτη τάξις ἐκ τῆς μέσης, καὶ ἡ



Ministerio de Educación, Cultura y Deporte

μέσῃ ἐκ τῆς ὅλων ἀνωτέρας· ἐζητήθη δὲ ταῦτα καὶ διαφόρως ἐπελύθη.

Εἰρημένων ἁμαρτιῶν) ὅτι οὐκ ἔστι μυηθῆναι τὰ θεῖα, εἰ μὴ γένηται πρότερον ἁμαρτιῶν ἄφεσις· ὁ γὰρ σεραφεὶμ, ἐμπρηστὴς, ἤτοι θερμαίνων ἑρμηνεύεται.

Ἕτερος δὲ οὐ σφόδρα) σημείωσαι ὅτι τὸ οὐ σφόδρα, οὐ πάντως πρὸς σύγκρισιν τοῦ μετρίου εἴρηται· δεῖ οὐχ οὕτως εἴρηται τὸ οὐ σφόδρα ἄτοπον, ὥστε νομίσαι ἡμᾶς, ὅτι, ἄτοπον μέν ἐστι πάντως, μετρίως δὲ ἄτοπον· ἀλλὰ καὶ ἀντὶ τοῦ θετικοῦ κεῖται, τουτέστιν, οὐ δοκεῖ μοι ἄτοπον εἶναι ἀβλαβῶς ἀποφαινόμενος ἔθει φιλοσόφῳ, ἀλλὰ καὶ ἀντὶ τοῦ οὐδαμῶς κεῖται, ὥσει ἔλεγεν, οὐδαμῶς ἄτοπον.

Διαπλάσας) σημείωσαι, ὅτι τὰς θείας τῶν προφητῶν ὁράσεις, τοὺς ἐφεστῶτας ἀγγέλους φησὶ διαπλάττοντας εἰς φαντασίαν ἄγειν τῶν δοκούντων ὁρᾶσθαι· αἰνίγματα γὰρ καὶ σύμβολα, οὐ μὴν γυμνὰ πράγματα καὶ οὐσίας ἑώρων.

Ἐπὶ θεὸν) ὁρᾷς ὅτι οἱ μυοῦντες ἄγγελοι τὰς ἀποκαλύψεις, τοὺς προφήτας οὕτως ἐποίουν, ἀνάγοντες αὐτοὺς πρωτοτύπως μὲν ἐπὶ θεὸν τὸν πάντων κυρίως αἴτιον· δευτέρως δὲ, ἐπὶ τοὺς μετὰ θεὸν πρώτους νόας θέσει καὶ θεοειδῶς ἄρχοντας τῆς ἐπὶ θεὸν ἱεραρχίας. ταῦτα ἐφεξῆς διδάσκει.

Καὶ διὰ πάντων) σημείωσαι, ὅτι ἐπὶ πάντας ἡ τοῦ θεοῦ πρόνοια διήκει κρυφίως, καὶ ὅτι ὁ κατώτερος ἄγγελος ὁμωνύμως σεραφεὶμ ὀνομάζεται.

Ἀναλόγως) ἤγουν κατὰ τὸ μέτρον τῆς τῶν δεχομένων δυνάμεως, καὶ τὰς ἐλλάμψεις ἐκτείνει.

Κατὰ τὴν ἑκάστης) πῶς αἱ θεῖαι ἐλλάμψεις, εἰς ἐνίους μὲν φανότεραι, εἰς ἐνίους δὲ ἀμυδρότεραι διαδίδονται, ἐκ παραδείγματος σαφηνίζει.

Ministerio de Educación, Cultura y Deporte

Ἡλιακῆς) τὸ ὑπόδειγμα τοῦτο τοῖς ἀνωτέρω παρετέθη· περὶ τὴν δὲ ὕλην φησὶ, τὴν ὕελον καὶ τὰς ὁμοίας· ὥσπερ καὶ παχυτέραν, οἷον οἴκους, καὶ σπήλαια, καὶ τὰ παραπλήσια ἄλλως, περὶ τὴν ὕλην τὴν λεπτὴν καὶ ἠερώδη καὶ καθαράν.

Πάλιν ἡ πυρὸς θερμότης) καλῶς ἀπεικάζει τῷ θεῷ τὸ πῦρ· λέγει γὰρ ἡ γραφή, ὁ δὲ θεὸς πῦρ καταναλίσκον ἐστί· καὶ ὅτι τὸ μὲν αὐτοῦ, θερμαίνει τὸ δὲ, κατακαίει· οὕτω καὶ ὁ θεὸς, τοὺς προσιόντας αὐτῷ φωτίζει, τοὺς δὲ ἀπιστοῦντας κατακαίει τοὺς μὴ ἐν πίστει προσιόντας καὶ προσεγγίζοντας αὐτῷ.

Πρὸς δὲ τὰς ἀντιτυπίας) οἷον ἀδάμαντα, καὶ ὕδωρ.

Φυσικῆς) φυσικὰ λέγει τὰ αἰσθητὰ καὶ ὁρατά. ἰστέον δὲ, ὅτι ἐν τοῖς νοητοῖς αἱ ἀρεταὶ οὐκ εἰσὶ κατὰ συμβεβηκὸς, ὡς παρ' ἡμῖν, ἀλλ' ὁ θεὸς μὲν ἐστὶ ζῶσα ἀρετὴ, καὶ αὐτοτελὴς, καὶ ἀπροσδεὴς, ὅτι ὑπερουσίως οὐσίωται, καὶ μεταδοτικῶς ἐκφοιτᾷ εἰς τὰ ἀπ' αὐτῆς, ὡς αἰτίας οὔσης ὑπάρξαντα νοητά. πηγὴ μὲν οὖν τῆς ἀρετῆς ζωούσης καὶ θεούσης κατὰ τὸ ἐφικτὸν τοῖς μετέχοντας, ὁ θεός· ἀλλ' ὅμως εἰς πρόοδον προνοητικῶς ἐκφοιτᾷ εἰς τὰ οὐσιωθέντα ὑπ' αὐτοῦ νοητά· καὶ ἀκρότης καὶ τελειότης κατὰ τοῦτο εἶναι τῶν νόων οὐκ ἀποβάλλει. οὐ κατὰ συμβεβηκὸς οὖν οἱ νόες, ὡς ἡμεῖς, ἔχουσι τὴν ἀρετὴν, τὴν φρόνησιν ἐξ ἀσκήσεως οἷον, ἢ μαθήσεως, ἢ τὴν δικαιοσύνην, ἢ τὴν σωφροσύνην δι' ἐγκρατείας, ἢ τὴν ἀνδρίαν ἐξ εὐθεσίας σώματος καὶ νεύρων· οὐ γὰρ ὡς ἄλλο ἐν ἄλλῳ, ἐν τούτοις ἡ ἀρετὴ, ἀλλὰ τὸ τὰ οἰκεῖα ἐνεργεῖν καὶ ἀπαύστως ἀνατετάσθαι πρὸς θεὸν καὶ εἰς ἑαυτούς. τοῦτο ἐν αὐτοῖς θεομίμητον ἀρετή· τάξιν δὲ ὅμως τὴν ὡς ἄλλου ἐν ἄλλῳ διαφυλάττει, ὡς τὸ, ζῇ ἐν ἐμοὶ ἡ ψυχή σου, ἀντὶ τοῦ, ἡ τῆς διδασκαλίας μετάδοσις. τὸ δὲ συμβεβηκὸς ἐν ὑποκειμένῳ, ὅπερ οὐκ ἔστιν ἐκεῖ· ἀσώματα γὰρ καὶ ἄϋλα ἐκεῖνα, καὶ τὰ εἴδη αὐτῶν ζωαί.



Ministerio de Educación, Cultura y Deporte

οὐχ ὡς ἐν ὕλῃ. καὶ ταῦτα μὲν ὁ παραχαράξας ἐνόησεν. ἔχει δὲ κατὰ νοῦν τὰς ἐμὰς σημειώσεις τὰς περὶ τελῶν φύλλων· καὶ ἐνταῦθα γὰρ τὸ ἐφιέμεναι τῇ ἐμῇ νοήσει συνεργεῖ· καὶ οἱ πατέρες δὲ οὕτως ἐνόησαν, καὶ αὐτὸς δὲ δοκεῖ τὸ αὐτοπροαίρετον.

Ταξιαρχία) τουτέστιν ὁ θεός.

Ἐστὶν οὖν ἅπασι) σημείωσαι ὅτι φωτὸς οὐσία, ὁ θεός, καὶ τὸ φύσει ἀρετὴ, καὶ θέσει ἀρετή.

Ἡγοῦνται) σημείωσαι ὅτι μετὰ θεὸν ἀρχὴ πάσης ἀρετῆς οἱ ἀνώτατοι νόες, δι' ὧν πρώτων ἔχομεν τὴν τοῦ θεοῦ ἔλλαμψιν.

Ἐμπύριον ἰδιότητα) σημείωσαι ὅτι κατὰ ἰδιότητα ἐμπύριοι οἱ ἀνώτατοι νόες.

Θρονισμοὶ) καλῶς ἑρμηνεύει, τί εἰσὶ θρόνοι τῶν οὐρανίων τὸ ἀνεωγμένην τὴν περὶ θεοῦ νόησιν ἔχειν, θρονισμὸν δέ φησιν ἰδιότητα, τὴν ἀποκληρωτικῶς ἀποφανθεῖσαν τῶν ἁγίων θρόνων ἀρχήν.

Ὑφειμένων) περὶ τῶν ὑποβεβηκυιῶν τάξεων, ὅπως διὰ τῶν πρώτων μετέχουσι τῶν θείων.

Τὰς εἰρημένας) ἦλθεν εἰς ἐξήγησιν τοῦ προκειμένου.

Ἔλεγχον οὖν) περὶ τοῦ εἰπόντος φησὶν, ὅτι οὐχ ὁ σεραφεὶμ ἐτύγχανεν ὁ ὀφθεὶς τῷ ἠσαΐᾳ, ἀλλά τις τῶν κατωτέρων ἀγγέλων· ταύτῃ γὰρ τῇ δόξῃ ἐπαγωνίζεται, ἣν περὶ ὀλίγου ἀναφαίνει τῇ ἀρχῇ τοῦ κεφαλαίου, ἔνθα φησὶν, ἕτερος δὲ οὐ σφόδρα ἄτοπον, καὶ τὰ ἑξῆς.

Ὡς ἐν συμβόλοις) ἐπειδὴ ἑξαπτέρυγα ὁ ἑώρα τὰ σεραφίμ.

Καὶ περὶ θεὸν ἱδρυμένας) ἔχει γὰρ τὸ λόγιον, ὅτι εἱστήκει κύκλῳ αὐτοῦ.

Ἐμάνθανεν οὖν) ὅρα τί ἐμάνθανεν ὁ ἠσαΐας, ὃν καλεῖ

Ministerio de Educación, Cultura y Deporte

θεολόγον, ὅτι ἄγνωστον τὸ θεῖον καὶ ταῖς ἀνωτάτω δυνάμεσι, καὶ ὅτι οὐδὲν τῶν ὄντων ἐμφερὲς αὐτῷ. ὄντα δὲ εἴπομεν ἐν τῷ περὶ τούτου βιβλίῳ, τὰ νοητὰ καὶ αἰσθητά· ταῦτα δὲ μυεῖται ὁ προφήτης, μετὰ τὸ καθαρθῆναι τῶν ἰδίων ἁμαρτιῶν, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν.

Σεραφὶμ ἐμυεῖτο) τί ἐμυεῖτο διὰ τὰ σεραφίμ.

Επωνυμίας) ἑρμηνεία σεραφίμ.

Πτερῶν) τί δηλοῖ τὰ πτερά.

Τὴν ἐπὶ τὸ θεῖον ἐν προσώπαις) εἶπεν αὐτὸς γὰρ, ἐν τῷ τέλει τοῦ δεκάτου κεφαλαίου, ὅτι πᾶς καὶ ἀνθρώπειος νοῦς, καὶ πρώτας, καὶ μέσας, καὶ τελευταίας ἔχει τάξεις· εἰκότως οὖν ἓξ πτέρυγας εἶπεν ἔχειν τὴν δύναμιν, ἵνα ταῖς μὲν δυσὶ καλύπτῃ τὰ πρόσωπα· ταῖς δὲ μέσαις, τοὺς πόδας· ταῖς δὲ λοιπαῖς, τὸ θεῖον περιπετῆται, ὅπερ εἶπεν αὐτὸς τὴν ὑπερτάτην ἀνάτασιν. σημείωσαι δὲ, τί τὸ πολύπουν καὶ τὸ πολυπρόσωπον τῶν σεραφὶμ, καὶ διὰ τί σκέπονται ἔνια.

Εξαπλῆς) σημείωσαι, πῶς ἀνάγει τὰς ἓξ πτέρυγας τῶν ἁγίων σεραφίμ.

Ορωμένων) τουτέστι τῶν ὑπὸ τοῦ προφήτου θεωρουμένων.

Τῶν ὑψηλοτέρων) διὰ τοῦ καλύπτειν τὰ πρόσωπα· τῶν δὲ βαθυτέρων, διὰ τοῦ καλύπτειν τοὺς πόδας· διὰ δὲ τῶν μέσων, τὴν συμμετρίαν.

Καὶ πολυτίμητον ὑμνῳδίαν) τὸ ἅγιος, ἅγιος, ἅγιος. σημαίνει δὲ, ὅτι καὶ ἄγγελος κατ' ἀναλογίαν τῆς ἰδίας δυνάμεως δέχεται τὴν θείαν ἔλλαμψιν, καὶ αὐτὸς μεταδίδωσι τοῖς προφήταις, ὅσον χωροῦσιν, οὐχ ὅσα γινώσκει αὐτός.

Οτι κάθαρσίς ἐστι) τί ἐστι κάθαρσις, καὶ πῶς εἰς τὰ νοητὰ γίνεται παρὰ τοῦ θεοῦ.

Αὐτὴ δὲ) ἡ κάθαρσις δηλαδὴ, ἢ ἡ μετουσία.



Ministerio de Educación, Cultura y Deporte

Εξηρημένας) οὐ γὰρ οἷα ἐστὶν ἐπὶ τῶν ἀνθρώπων ἡ κάθαρσις, τοιαύτη ἐστὶ καὶ ἐπὶ τῶν ἀσωμάτων.

Ταῖς περὶ αὐτὴν) περὶ αὐτὴν τὴν θεαρχίαν δηλονότι, τουτέστι περὶ τὸν θεόν.

Εκφαίνει) ἡ κάθαρσις δηλονότι.

Επὶ δὲ τῶν δευτέρων) σκοπεῖν δεῖ, ὅτι διαφέρειν φησὶν οὐ μετρίως, ἐν ᾧ θεοειδεῖ πᾶσαν ἀσώματον δύναμιν· πολὺ μὲν γὰρ ἔχειν τὸ θεοειδὲς τοὺς ἀνωτάτω νόας· ὑφειμένον δὲ λοιπὸν, καθ' ὅσον καὶ ἡ τάξις ἀπαιτεῖ τοὺς λοιποὺς νόας, μέχρι τῶν ἐσχάτων· πλέον δὲ καὶ τῶν ἐσχάτων τὰς ἡμετέρας ψυχάς· ἐπεὶ καὶ πάντων τῶν νόων πολὺ λείπεται ἡ καθ' ἡμᾶς ψυχή. καὶ ἡ θεία τοίνυν ἔλλαμψις συνηγμένη πως μᾶλλον καὶ συνεσταλμένη θεωρεῖται πρὸς τὴν οἷον εἰς μῆκος ἀπόστασιν τῆς εἰς θεὸν πλησιάσεως, συνάγουσα οἱονεὶ αὐτὴ ἡ θεία ἔλλαμψις τὴν οἰκείαν φανέρωσιν πρὸς τὸ ἑνιαῖον καὶ ἁπλοῦν αὐτῆς ἄγνωστον· ἄγνωστος γὰρ ἐστὶν ὁ θεὸς, οὐ διὰ ποικιλίαν συλλογισμῶν ἀγνοουμένην ἡμῖν, ἀλλὰ κατὰ ἑνιαίαν τινὰ πρὸς τὰ καθ' ἡμᾶς, καθ' ἓν καὶ καθάπαξ ἀκατάληπτον ἀθανασίαν.

Εμπυρείως) σημείωσαι, ὅτι ἐμπύριος ἰδιότης τῶν σεραφίμ ἐστὶ, καὶ πῶς ἀγγέλου καθαίροντος, τὰ σεραφὶμ εἴρηται καθαίρειν, καὶ πρὸ τούτων ὁ θεός.

Η ἱερέων) σημείωσαι, ὅτι οἱ ἱερεῖς ἀποβεβήκασι τὸν ἱεράρχην· καὶ ὅτι ἄλλο φωτίζειν, καὶ ἄλλο καθαίρειν· καὶ ὅτι ἄλλο λειτουργὸς, καὶ ἄλλο ἱερεύς. καὶ τῶν ἱερέων καθαιρόντων ἢ φωτιζόντων, ὁ ἱεράρχης λέγεται ποιεῖν.

Διατηρῶν ἀτρέπτους) ὅτι ὁ θεὸς ὁ καὶ πάντων ὁμοίως τῶν νοητῶν δημιουργὸς, αὐτὸς καὶ τὰς πρώτας οὐ-

Ministerio de Educación, Cultura y Deporte

σίας συνέχει καὶ διατηρεῖ πρὸς ἀτρεψίαν καὶ ἀμεταπτωσίαν. ἀτρέπτους δὲ νοεῖν δεῖ, κατ' ἐκεῖνο καθ' ὃ εἰσίν, οἷον εἰς τὸ ἀθάνατον, εἰς τὴν ζωὴν, καθ' ἣν οὐσίωνται, εἰς τὸ εἶναι φῶς· ἐν τούτοις γὰρ καὶ ἀμεταβόλους οὐσιωδῶς, καὶ εἰς τὸ μὴ τρέπεσθαι εἰς ἐκφύλους ἐπιθυμίας, ἅτε καὶ αὐτεξουσίους, ὁ θεὸς συνέχει αὐτοὺς καὶ διατηρεῖ· τὸ μὲν γὰρ πρὸς αὐτὸν ἀνατείνεσθαι, τῆς αὐτῶν ἐστὶ νοερᾶς προαιρέσεως· τὸ δὲ εἰσαεὶ περὶ τοῦτο διαρκεῖν, τῆς ἀπληψίας ἐστὶ τοῦ θεοῦ· πάντα γὰρ δεῖται θεοῦ βοηθείας.

Ο ταῦτά με διδάσκων) σημείωσαι, ὅτι ταῦτα παρ' ἑτέρου ἔμαθεν ὁ μέγας διονύσιος.

Ιεράρχης) σημείωσαι, ὅτι μετὰ θεὸν ἡγεμόνες καὶ οἱ ἀνωτάτω διάκοσμοι.

Θεοειδῶς ἐμυήθην) ἡ τοῦ ἀγγέλου ἠθοποιία, ὡσανεὶ ὁ καθαίρων ἄγγελος τὸν ἡσαΐαν, ταῦτα αὐτῷ ἔλεγε περὶ τῶν σεραφίμ.

Η παρ' ἑαυτοῦ) τὴν καθ' ὑπέρβασιν τοῦ ῥητοῦ σύνταξιν μετὰ πλεῖστα ἀποδιδομένην οὕτω συντακτέον, τῆς σῆς δ' ἂν εἴη νοερᾶς ἐπιστήμης, ἢ τὴν αἰτίαν ταύτην δέξασθαι, ἢ παρ' ἑαυτοῦ εὑρεῖν, ἢ παρ' ἑτέρου μαθεῖν, καὶ ἀνακαλύψαι μᾶλλον ἑαυτῷ· εἴπερ δὲ οἷόν τε ἐστὶ ἐμοὶ ὡσαύτως ἀνακαλύψαι περὶ ἀγγέλων ἐραστὴν θεωρίαν. τὸ ὑμνῆσαι δὲ, ἀντὶ τοῦ προσιμνῆσαι.

Προξενούντων) σκόπει ὅτι θεοῦ διδόντος ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, ἄγγελοι προξενοῦσι, δῆλον ὡς ὑπὲρ ἡμῶν πρεσβεύοντες.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ιη.

Χιλίας) ταῦτα ἐν τῷ Δανιὴλ εἴρηται.

Τὴν ἀσθενῆ καὶ συνεσταλμένην) ἀσθενῆ, συμμετρίαν ἐκάλεσε, τὸν τῶν ἀνθρώπων ἀριθμὸν πρὸς τὸν τῶν ἀγγέλων· εἴρηται γὰρ καὶ ἑτέρῳ τινὶ, διδύμῳ δηλονότι τῷ τυφλῷ, τὰ μὲν ἐνενήκοντα ἐννέα πρόβατα εἶναι τοὺς ἀγγέλους· τὸ δὲ ἓν τὸ ἀπολωλὸς, ἡμᾶς τοὺς ἀνθρώπους.

Γνωστικῶς) σημείωσαι ὅτι καὶ αὐτοὺς τοὺς ἀγγέλους φησὶ γνωστικῶς, οὐ μαθηματικῶς εἰδέναι τοὺς ἀριθμοὺς, οἱονεὶ τὸ, πόσος τῶν οὐρανίων οὐσιῶν ὑπάρχει ὁ ἀριθμὸς, ἐκ θεοῦ καὶ τοῦτο φωτισθέντας.

## ΚΕΦΑΛ. ιε.

Ἀγγελοπρεποῦς) ὡς ὀθόνη, ὡς ἄνθραξ.

Ἀνακαθάρσεις) ἀνακαθάρσεις φησὶ τὰς ἐξηγητικὰς ἑρμηνείας, δι' ὧν καθαίρονται τῶν ἐν τοῖς λεγομένοις δοκούντων ἀτόπων τὰ σύμβολα.

Εἰ μὴ γὰρ) ἄνω γὰρ εἶπεν, ὅτι αἱ ἀνώτεραι δυνάμεις ἱεραρχοῦσι τὰς μετ' αὐτὰς, καὶ αἱ μέσαι τὰς ὑστέρας, καὶ αἱ ὕστεραι αὐτῶν, τοὺς ἐν ἀνθρώποις ἱεράρχας· οὔτε γὰρ εἶπεν, ὅτι ἡ αὐτὴ τάξις καὶ ἄρχει τῶν μετ' αὐτὴν, καὶ ἄρχεται ὑπ' αὐτῆς· ἀλλ' οὕτως εἶπεν, ὅτι ἡ πρώτη τάξις, ἄρχει μὲν τῶν μετ' αὐτὴν, ἄρχεται δὲ ὑπὸ τῆς πρὸ αὐτῆς. οὕτω καὶ εἰς τὰς ἑξῆς νοητέον.

Εἰ μὴ γὰρ ἱεραρχεῖται) ὅ φησι τοῦτό ἐστιν, ὅτι εἰ τὰς πρώ-

Ministerio de Educación, Cultura y Deporte

τὰς τάξεις ἐλέγομεν ἱεραρχεῖν τῶν τελευταίων, εἶτα πάλιν αὐταὶ τὰς τελευταίας ἱεραρχεῖν τῶν πρώτων τάξεων, ὑφ' ὧν καὶ ἱεραρχοῦνται, ἄτοπον πρᾶγμα ἦν.

Οὐκ ἀπεικότως) οὐκ ἄτοπον φησὶ, τὰς ἐν τοῖς λογίοις τῆς γραφῆς εἰκόνας πάσαις ταῖς ἐπουρανίαις δυνάμεσι περιτεθεῖναι, ὡς πάσας, φέρε εἰπεῖν, εἶναι ὑψηλὰς, καὶ σοφὰς, καὶ γνωστικὰς, εἰ καὶ μὴ ὁμοίως· ἀλλὰ, τὰς μὲν, ὑπερκειμένως· τὰς δὲ, ὑφειμένως.

Καὶ τὸ πρὸς τὸ ἄναντες) ἀνώτερον καὶ ὑπερκείμενον.

Αρκτέον καὶ ζητητέον) διὰ τί ἐν τοῖς ἀγγελικοῖς τύποις τὸ ἐμπύριον μάλιστα παραλαμβάνεται, καὶ διὰ τί τὰ περὶ τὰ οὐράνια πυρώδη ὡς ἐπὶ πλεῖστον φησὶν ἡ γραφή· καὶ ὅτι οἱ σεραφὶμ ἐμπρησταὶ λέγονται.

Εμπρηστὰς ὄντας) ἑρμηνεία σεραφίμ.

Οἱ γὰρ ἱεροὶ) διὰ τὸ, καὶ ὁ θεὸς εἰς πῦρ ἐθεωρήθη.

Τὸ γὰρ αἰσθητὸν πῦρ) φυσιολογία θαυμαστὴ περὶ πυρός. τὸ πῦρ ὁρῶμεν τῷ παντὶ κατεσπαρμένον, ἀμιγῶς δὲ, τουτέστιν οὐκ ἀναφυρόμενον τοῖς ἐν οἷς ὑπάρχει. διὰ πάντων δὲ φοιτᾷ, τουτέστιν οὐ καθάπερ τὸ ὕδωρ περιφανῆ τὴν πρὸς τὴν γῆν ποιεῖται μίξιν· οὕτω καὶ τὸ πῦρ, καταφλέγον τὸ πᾶν καὶ ἀναλίσκον. ἐξῄρηται δὲ, ἤγουν ὑπέρκειται πάντων κατ' ἐξαίρετον, στοιχείων δηλαδὴ κατὰ τὸ δραστήριον· ἄγνωστον δὲ αὐτὸ καὶ κρύφιον καλεῖ, ὡς ὑπάρχον μὲν ἐν ὕλαις τισὶν, οὐ φαινόμενον δὲ δίχα περιτείψεως, ἢ ἄνευ ὕλης δεκτικῆς τῆς ἐνεργείας αὐτοῦ, δεικνύμενον ὂν κατὰ τοῦτο ἄσχετον ὂν ἀθεώρητον· ὁμοίως καὶ τὰς λοιπὰς τοῦ πυρὸς ἰδιότητας θεωρητέον, ἃς τινὰς οὗτος ὁ πατὴρ κατ' εὐσεβῆ ἀναγωγήν τε καὶ ἔννοιαν ἔλαβεν ἐπὶ θεοῦ τε καὶ ἀγγελικῶν φύσεων. σημείωσαι δὲ διὰ τί κύριος ὁ θεὸς ὡς πῦρ ἐθεωρήθη πολλάκις, καὶ κατὰ τί ἡ ὁμοιω-

Ministerio de Educación, Cultura y Deporte

σεως τοῦ πυρὸς πρὸς τὸν θεόν.

Ἀκράτητον, ἀμιγές, διακριτικὸν) σημείωσαι ἔκφρασιν αἰσθητοῦ πυρός, ἤτοι ἔπαινον· διακρίνει γὰρ καὶ τὰς ὕλας, οἷον μόλιβδον ἀπὸ ἀργύρου, καὶ τὰς κολλήσεις διαλύει. ἀναλλοίωτον δέ, καθὸ δυνατόν, μένοντος τοῦ ὑποκειμένου, τουτέστιν αὐτῆς τῆς οὐσίας τοῦ πυρός, μεταβάλλειν αὐτὸ ἐν τοῖς πάθεσιν. οἷον γενέσθαι αὐτὸ στρογγύλον, ἢ κωνοειδές, ὅπερ ἐν τοῖς γηΐνοις ἐστὶν εὑρεῖν, ἢ παθεῖν τὰ τοῦ ἀέρος, οἷον φθαρῆναι διὰ τῶν ἀναθυμιάσεων, ἢ παχυνθῆναι, ἢ καὶ ὡς τὸ ὕδωρ μεταβολὰς δέξασθαι.

Ὑφέσεως) οὐδέποτε γὰρ χωρεῖ ἐπὶ τὰ κάτω.

Ταυτοκίνητον) ὡσαύτως κινούμενον.

Ἀπροσδεὲς) ὅτι ἀπροσδεὲς ἑτέρου τὸ πῦρ, καίτοι δέεται τινὸς ὑποκειμένου εἰς τὸ διαφθῆναι· ἀλλ' οὐ τοῦτο λέγει, ἀλλ' ὅτι τὸ πῦρ οὐ μίγνυται ἑτέρῳ στοιχείῳ, οὐδὲ κιρνᾶται, ὡς τὸ ὕδωρ τῇ γῇ· διὸ καὶ ἐν στοιχείοις μονοούσιον αὐτὸ ἔνιοι κεκλήκασιν.

Ἀνθρωπομόρφους) διὰ τί καὶ ἀνθρωπόμορφοι διαπλάττονται οἱ ἄγγελοι.

Καὶ τὸ κατ' αἴσθησιν) σημείωσαι τὴν διαφορὰν τοῦ αἰσθητοῦ τῶν ἀλόγων ζώων, πρὸς τὸ αἰσθητικὸν τῶν λογικῶν, ἤγουν λέγει· τὰ μὲν γὰρ ἄλογα, τὸ πᾶν αἴσθησίς εἰσι, δι' ἧς καὶ συνίστανται ἀνόητα ὄντα· ἐν δὲ ἡμῖν, βραχὺ τὸ αἰσθητικόν· οὐ γὰρ δι' αὐτοῦ συνιστάμεθα, ἀλλὰ διὰ τοῦ νοεροῦ· ὅθεν καὶ μετὰ θάνατον ἔτι ἐσμέν, ψυχὴ νοερὰ ὄντες· ἐπὶ δὲ τῶν ἀγγέλων οὐδὲ τὸ βραχύτατόν ἐστι τῶν αἰσθήσεων, ἀλλὰ τύποις παχὺς τὰ καθ' ἡμᾶς. ἐλάχιστον δὲ τὸν ἄνθρωπον κατ' αἴσθησιν φησίν, οὐχ ὡς τῶν ἄλλων ζώων πλείονας αἰσθήσεις ἐχόντων, ἀλλὰ δραστικωτέρας, καὶ ὀξυτέρας. αἴνιγμα δὲ τοῦτο λαμβάνει, τὸ, τοῖς

Ministerio de Educación, Cultura y Deporte

ἀγγέλοις, μὴ κεχρῆσθαι μὲν τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις· ὑπερέχειν δὲ κατὰ πολὺ τῷ περιόντι τῆς νοερᾶς δυνάμεως, ὥσπερ καὶ ἄνθρωπος τῇ τοῦ νοῦ ὑπεροχῇ καὶ τῷ λογισμῷ, τῆς ἀλόγου φύσεως κρατεῖ.

Τὰς μὲν ὀπτικάς) τί οἱ ὀφθαλμοὶ τῶν νοητῶν δηλοῦσι, καὶ τί τὰ ὀσφραντά, τουτέστιν αἱ ῥῖνες· καὶ τί τὰ ὦτα, καὶ τί ἡ γεῦσις, καὶ τί ἡ ἁφὴ, ἣν ἁπτικὴν φησί· καὶ τί τὰ βλέφαρα, καὶ αἱ ὀφρύες· καὶ τί ἡ ἥβη, καὶ τί οἱ ὀδόντες, καὶ τί οἱ ὦμοι, καὶ οἱ βραχίονες, οὓς ὠλένας φησί· καὶ τί τὸ στῆθος, καὶ τί τὸ νῶτον, καὶ οἱ πόδες· καὶ τί τὸ ἐλαφρὸν τῶν πτερῶν, καὶ τὰ ἑξῆς.

Τὰς δὲ τῶν ὁρατικῶν) ἐν τούτοις φυσιολογεῖται τὸ ἰδίωμα τοῦ σωματικοῦ ὀφθαλμοῦ· κατ' ἀναγωγὴν δὲ ταῦτα μεταβαίνει, ὥσπερ καὶ τὰ τῶν λοιπῶν ἀνθρωπίνων μελῶν, εἰς θεωρίαν τῶν ἐν ἀγγέλοις φυσικῶν δυνάμεων.

Καὶ ζοφίμων ὀχετῶν) ὀχετὸν νόησον, τὴν τῆς σοφίας ἀνυπέρβλητον χύσιν, κατὰ τὸ εἰρημένον, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ τὰ ἑξῆς. διαβαίνει γὰρ ἡ θεία γνῶσις ἀπὸ τοῦ θεοῦ διὰ τῶν νοητῶν δυνάμεων ἐπὶ τοὺς θείους ἀνθρώπους.

Ἑνοειδῆ) κατὰ περίληψιν νοήσεως.

Προνοητικῇ δυνάμει) πᾶσα, φησί, νοητὴ δύναμις τὴν γινομένην εἰς αὐτὴν θείαν γνῶσιν πληθύνει, τουτέστι σαφηνίζει πρὸς τὸ νοηθῆναι ὑφ' ἡμῶν διερμηνεύουσα τὰ ὁραθέντα, ὡς παρὰ τῷ Δανιὴλ εὑρήσεις, ὅτε διερμήνευεν αὐτῷ ὁ ἄγγελος τὸ ἐνύπνιον ὅπερ εἶδε.

Τὴν δ' αὖ καρδίαν) παρείληπται παρ' ἡμῖν ἡ καρδία, ὡς κέντρον πρώτως τὴν ζωὴν δεδεγμένον, ἐπειδὴ κατὰ τὸ θεῖον βασίλειον πρώτη κυΐζεται ἡ καρδία· εἶτα ὡς ἀπὸ κέντρου πᾶν τὸ σῶμα πλαστουργεῖται, ὥστε πανταχοῦ ταύτην τὴν

Ministerio de Educación, Cultura y Deporte

ζωὴν διαπέμπειν εἰς τὸ σῶμα· εἴτε γὰρ ἡ σύμφυτος θερμότης ζωοποιεῖ τὸ σῶμα, εἴτε τὸ πνεῦμα, εἴτε τὸ αἷμα, πάντων τούτων πηγὴ ἡ καρδία. διὸ καί τισιν ἔδοξε πᾶν τὸ ζωτικὸν ἀθρόον καὶ οἷον ἐνταῦθα προφανῶς μάλιστα ἱδρύσθαι· καίτοι πανταχοῦ τοῦ σώματος ὄν, καὶ οὐ κατεχόμενον τόπῳ, οὔτε περιγεγραμμένον ἐν τόπῳ, οὔτε συνεχόμενον ὑπὸ τοῦ σώματος. οὕτως οὖν δὲ ἐπὶ τῶν ἀοράτων τάξεων, εἴτε ἐν τῷ παντί, εἴτε κατ' εἶδος διακονικῶς προνοουσῶν· οἱονεὶ γὰρ ἐν μέσῳ δὲ καρδίας τόπῳ νοητέον αὐτάς, καὶ ὡς κέντρον πηγαίας ζωῆς ἱδρύσθαι, καίτοι ἀκρατεῖς οὔσας, καὶ οὐ περιγεγραμμένας τόπῳ, ἢ μέρει σωματικῶς, ὧν συνέχουσι προνοεῖν θεόθεν ταχθεῖσαι.

Καὶ τὸ φρουρητικὸν) τὸ ῥητὸν οὕτως σύνθες, τὸ φρουρητικὸν τῆς ζωοποιοῦ διαδόσεως· εἶτα, ὡς ἐπὶ τῆς ὑποκειμένης καρδίας.

Διὸ καὶ ὑποπτέροις) διὰ τί ἐπτερωμένοι οἱ πόδες τῶν ἀγγέλων· ἵνα δείξῃ τὸ αὐτοκίνητον, καὶ τὸ πρὸς τὸ θεῖον ἀναλαπτικόν, καὶ πρὸς τὰ ἐπίγεια ἀκοινώνητον, ὅσον εἰς τὸ ἐμπαθῶς ἐν αὐτοῖς εἶναι, ἐπεὶ ὤφθησαν δὲ ἐπὶ γῆς ἄγγελοι.

Πτερῶν ἐλαφρεία) τί ἐλαφρὰ πτερωτά.

Καὶ καθαροῦ) τῆς τῶν ἐκτὸς περιθήκης οἷον ὑφῶν καὶ ἀμφίων, οἷς τὰ καθ' ἡμᾶς συγκρατεῖται.

Πολυποίκιλος σοφία) ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ· τοῦτο τὸ ῥητὸν ἀποστολικόν ἐστι· καὶ διὰ τί πολυποίκιλον αὐτὴν εἶπεν ὁ θεῖος ἀνήρ· καίτοι τὸ ποικίλον ἐπὶ κακούργου δεχόμεθα, ἄλλως τε καὶ ἐνταῦθα ὁ μέγας Διονύσιος ἁπλῆν καὶ πολυποίκιλον αὐτὴν εἶπεν· δοκεῖ δὲ τὰ δύο ἐναντία. λέγομεν οὖν, ὅτι τὸ ἁπλῆν σοφία διὰ τοῦτο εἶπεν, ἵνα δηλώσῃ τὸ ἀσύνθετον τοῦ θεοῦ, καὶ τὸ μηδεμιᾶς διπλόης ἐπιδεχόμενον· οὔτε

Ministerio de Educación, Cultura y Deporte

γὰρ ἐκ μαθήσεως σοφὸς ὁ θεός, ἀλλ' αὐτόχρημα σοφία ἐστί· τὸ δὲ πολυποίκιλον, διότι εἰς πολλὰ γνώσεως εἴδη μεταπίπτουσι, διὰ τὴν τῶν ἐλλαμπομένων ἀσθένειαν· ἀρχιερεὺς γάρ ἐστι μέγας, συμπάσχων ταῖς ἡμῶν ἀσθενείαις. ἢ καὶ οὕτως, ὅτι ἡ μὲν λέγεται σοφία θεοῦ περὶ τῆς οἰκονομίας, ὅτι πάντα ὡς θεὸς ἐδημιούργησε, καὶ ἐν τοῖς τότε δικαίοις, τὴν ἰδίαν ἀπεκαλύπτως ἐπιδεικνύμενος δύναμιν, ὡς ἐπὶ μωσέως, καὶ ἀβραάμ, καὶ τῶν ἑξῆς. ὅτι δὲ τὸ τῆς οἰκονομίας μυστήριον κατειργάζετο, ἡ πολυποίκιλος εἰκότως κληθῇ· ἄνθρωπος γὰρ γενόμενος, καὶ ὑπὸ νόμον χρηματίσας, καὶ παθών, καὶ ἐν νεκροῖς εὑρεθείς, οὕτω διὰ σαρκός, καὶ τῆς ἐνούσης αὐτῇ ἀσθενείας ἐθριάμβευσε πάντα ἐχθρόν, καὶ τὸν ᾅδην ἐνίκησε, τοῖς ἐκεῖ φρουρουμένοις ἀνάστασιν δωρησάμενος. τοῦτό ἐστι τὸ ποικίλον τῆς αὐτοῦ σοφίας, ὅτι δι' ἀσθενείας περιεγένετο τῶν δοκούντων ἰσχυρῶν.

Καθόλου) καὶ ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ κεφαλαίῳ ζ. πλατέως ἐσαφηνίσθη, τί νοητόν, καὶ τί νοερόν· νῦν δὲ αὐτὸς ὁ μέγας διονύσιος σαφηνίζει· νοητὸν μὲν γὰρ ἐκεῖνο τυγχάνει τὸ νοούμενον, ὅπερ εἰκότως καὶ ἐλλάμπειν τὸ φῶς λέγεται· νοερὸν δέ, αὐτὸ τὸ νοοῦν ὑπάρχον ἐλλαμπόμενον. καὶ συντόμως εἰπεῖν, αἱ ὑπερβεβηκυῖαι οὐσίαι νοηταί, αἱ δὲ ὑφειμέναι νοεραί, καὶ ὑποβέβηκε τὸ νοοῦν τὸ νοούμενον. νοητῶς μὲν ἐλλάμπον, ἡ θεία φύσις· νοερῶς δὲ ἐλλαμπόμενον, ἡ ἀγγελική.

Ιερατικὴν) σημείωσαι ὅτι τὸ ἱερατικὸν ἔνδυμα ἐν ἰεζεκιὴλ καὶ δανιήλ.

Συναγωγὸν αὐτῶν ἕξιν) εἴπομεν ἀνωτέρω, τί ἐστιν ἕξις ἐπὶ ἀσωμάτων, καὶ ἀνάγνωθι ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ. τὸ συνημμένον δὲ καὶ ἀσκέδαστον τῶν νοήσεων, διὰ τούτων δη-

Ministerio de Educación, Cultura y Deporte

λεῖ ὁ πατὴρ περὶ τὰς θείας ἐλλάμψεις, καὶ τὴν οἰκείαν ἐν τῇ τοῦ ἀγαθοῦ θεοῦ μονῇ ταὐτότητα συνεχλουμένην διὰ παντός.

Ἀνομοίων) ὑλικῶν δηλονότι.

Γεωμετρικὰ) περὶ σκευῶν γεωμετρικῶν ἐν Ἰεζεκιὴλ καὶ Ζαχαρίᾳ.

Ἐπανορθωτικὴν) ὡς τὸ ξίφος ἐν Βασιλείαις· καὶ τὸ δρέπανον ἐν Ζαχαρίᾳ τῷ προφήτῃ.

Ἀνέμοις) τοῦ κειμένου παρὰ τῷ Δαβὶδ οἶμαι αὐτὸν μνημονεύειν, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ἴσως τὴν ἀνάληψιν τοῦ χριστοῦ δηλοῦντος· ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς ὁ πατὴρ, νεφέλης αὐτοὺς περιπλάττεσθαι ἰδέαν φησὶν, διὰ τὸ εἰρῆσθαι, νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Ἀχρόνως) ἀχρόνως εἰκότως ἔφη· ἐπὶ γὰρ τῶν αἰσθητῶν κυρίως, ἐν χρόνῳ καὶ βραδύτερα τὰ γινόμενα· ἐπὶ δὲ τῶν ἀσωμάτων καὶ νοητῶν, ἀχρόνως καὶ αἰωνίως καὶ ἀμελλητὶ τελεσιουργεῖται. οὐ δεῖ οὖν χρόνον ἐπὶ τῶν νοητῶν ὀνομάζειν.

Ποίησιν) ἀντὶ τοῦ πνεῦσιν ἢ πῆσιν.

Καὶ τὴν ἄνωθεν) τὸ δὲ ἄνωθεν ἐπὶ τὰ κάτω, ὡς ἐπὶ τῆς Ἰακὼβ κλίμακος.

Ἀερίου) σημείωσαι ὅτι ἀέριον πνεῦμα τὸν ἄνεμον λέγει.

Ἀνεμιαίαν) ἑτέρα θεωρία τῆς ἀνέμων ἐπωνυμίας.

Συμβολικὴ θεολογία) σημείωσαι καὶ ἕτερον αὐτοῦ σύγγραμμα μὴ φερόμενον. τετράστοιχον δὲ ἀνακάθαρσιν τὴν τῶν τεσσάρων στοιχείων ἀναγωγικὴν ἀλληγορίαν φησί· τὰ σύμβολα δὲ, ὡς ἔοικε μᾶλλον τῶν τεσσάρων στοιχείων ἐκεῖ διὰ θεωρίας ἀνέπτυξε. σημείωσαι δὲ, πῶς ἑρμηνεύει τὸ, πνεῦμα ὅπου θέλει πνεῖ, διὰ τῶν ἐπιφερομένων· φησὶ γὰρ, οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

Ὑπερκοσμίως ἀποπεπληρωμένους) ὥσπερ γὰρ ἡ νεφέλη

περι-

Ministerio de Educación, Cultura y Deporte

προσκαλεῖται τὸ τῆς θαλάσσης ὕδωρ, καὶ ἐκχεῖ αὐτὸ ἐπὶ τὸ πρόσωπον τῆς γῆς, κατὰ τὸ εἰρημένον, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· οὕτω δὲ οἱ νόες δεχόμενοι τὴν οἰκείαν γνῶσιν, νεφελῶν δίκην ἐπὶ τοὺς ὑποδεεστέροις ἁπλοῦσιν.

Ἀνεκπομπεύτως) ἀνεκπομπεύτως φησὶν, ἤγουν συγκεκραμένως· ἀναπόβλητον γὰρ ἐν νεφέλῃ τὸ φῶς.

Ὀμβροποιΐαν) ἑτέρως θεωρεῖ, ὅτι νεφέλαι σημαίνουσι· παρακαπῶν δὲ, ὅτι φησὶ σημαίνειν ἤλεκτρον, καὶ χαλκὸν, καὶ τὰ ποιὰ χρώματα δὲ μορφὰς θείων ἐπὶ ἀγγέλων.

Ἐκδόχιον) ἐκδόχιον κόλπον, τὴν τοὺς ὑετοὺς ὑποδεχομένην ὠνόμασε γῆν, δι' αὐτῶν τοὺς οἰκείους τίκτουσαν καρπούς.

Ἀλλ' ἐπειδὴ ταῦτα) περὶ τῶν θηρομόρφων τύπων.

Ἰχνῶν) σημείωσαι τὸ φυσικὸν τοῦ λέοντος ἐντεῦθεν· φασὶ γὰρ ὅτι τοὺς θηρεύοντας λανθάνειν βουλόμενος, περιπατῶν, τῇ οὐρᾷ ἐξαφανίζει τὰ ἑαυτοῦ ἴχνη ἵνα μὴ γνωσθῶσιν. ὅθεν καὶ περὶ θεοῦ εἴρηται, ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. ὥσπερ γὰρ ὁδὸς ἐν ὕδασιν οὐ σώζεται, οὔτε ἴχνη λέοντος· οὕτως οὔτε θεοῦ πορεῖαι.

Εὐμήχανον) ὀξυωπέστατον γὰρ ζῶον ὁ ἀετός· λόγος γὰρ τοὺς ἀετοὺς τῶν τικτομένων τὰ γνήσια ἐκ τῶν νόθων οὕτω διακρίνειν· ἐὰν ἀτενίσωσιν ἀσκαρδαμυκτὶ πρὸς τὸν ἥλιον, γνήσιά εἰσιν· εἰ δὲ μὴ, ὡς νόθα ἀποβάλλονται τῆς καλιᾶς· οὕτως οὖν δὲ ὁ μὴ δυνάμενος καθαρῶς τῷ ἡλίῳ τῆς δικαιοσύνης ἀτενίσαι, νόθος τῆς αὐτοῦ γνώσεως εὑρίσκεται.

Καὶ λευκῶν μὲν) σημείωσαι ὅτι ἵπποι λευκοί, κυανοί, ἐρυθροί, σύμμικτοι. ἀνόμοιον δὲ ὁμοιότητα αὐτῶν τελέως ἐσαφηνίσαμεν, ἐν δευτέρῳ κεφαλαίῳ τούτου τοῦ βιβλίου.



Ministerio de Educación, Cultura y Deporte

Τὴν κατ' εὐθεῖαν) τὸ τὴν, πρὸς τὸ δύναμιν, ἁρμοστέον· τὰ δὲ λοιπὰ, διὰ μέσου.

Κατ' ἄλλην) ἑτέρα θεωρία εἰς τοὺς ἐσχάτους.

Γὲλ, γὲλ) σημείωσαι τί σημαίνει τὸ γὲλ γὲλ παρὰ τῷ προφήτῃ ἰεζεκιήλ.

Χαρᾶς) πῶς λέγονται χαίρειν τὰ οὐράνια καὶ αὐτὸ τὸ θεῖον.

Εμπαθοῦς) ἐμπαθῆ ἡδονὴν, τὴν ἀνθρωπίνην φησὶν, ὡς τῇ περὶ τὸ σῶμα εὐαλλοιώτῳ ἐμπαθείᾳ συνισταμένην.

Ραστώνην) τὸ τῆς ῥαστώνης ὄνομα, τίθεται μὲν ἐπὶ τῶν πονεῖν μὴ βουλομένων· ἀνὰ διαφόρως ζῆν ἑλομένων· σημαίνει δὲ ἡ λέξις τὸ εὔχερες καὶ οὐκ ἐπίπονον· ἐνταῦθα μέντοι τὸ μακάριον καὶ ἀπαθὲς καὶ ἀόχλητον ὑποφαίνει. ἄλλως. ῥαστώνην φησὶ τὴν εὐκολίαν καὶ εὐμάρειαν ψυχικὴν ἐν ἀναπαύσει μετ' ἀπαθείας. ἀναλόγως οὖν καὶ ἐπὶ ἀγγέλων νοητέον.

Εὐπάθειαι) εὐπάθειαι ὡς ἐκ τῶν καθ' ἡμᾶς λαβὼν ἔφη· δηλοῖ δὲ τὸ εὖ ἔχειν διὰ παντὸς, καὶ τὴν ἀπήμονα κατάστασιν.

Ανδρες ἱεροὶ) ταῦτα οὐχ οἷόν τε νοεῖν ὡς εἰσὶ, πλὴν εἰ μὴ τοὺς ἀξιωθέντας τοιαύτης τελειότητος, ὁποίους ἄρα καὶ εἶναι προσήκει ἄνδρας, καθάπερ ὁ ἅγιος οὗτος φησὶν ἱερεὺς, ὥστε καὶ θείων ἐλλάμψεων ἀξιωθῆναι περὶ τὴν τῶν ὅλων γνῶσιν. καὶ περὶ τὴν πρὸς τὸν θεὸν καθαρὰν ἀνάτασιν· ἐκ γὰρ τῶν τοιούτων ἐλλάμψεων θεούμενος, λοιπὸν ὁ νοῦς ἐν ἕξει γίνεται τῆς ἀγγελικῆς ἡδονῆς, καὶ τῆς ἐν ἐκείνοις ἀοχλησίας, καθ' ἣν ῥαστωνευόμενος λοιπὸν ὁ νοῦς, ὡς ἐν ῥᾴονι λήξει γενόμενος, ἐπὶ τῇ σωτηρίᾳ τῶν σωζομένων ἀπαθῶν, καθ' ὅσον δυνατὸν θεὸν μιμεῖται, τὸν θέλοντα πάντας ἀνθρώπους σωθῆναι, ἀπολαύσας τῶν τοῦ θεοῦ θεουργῶν ἐπιφοιτήσεων, τουτέστι τῶν θεοὺς ἐργαζομένων καὶ ἀποτελουσῶν.

Ministerio de Educación, Cultura y Deporte

Ὅτι τῶν ἰδίων τῶν ὑπερκόσμιον) ὅτι δεῖ τὸν ἀγνοοῦντα μὴ ἐρυθριᾶν ἐν οἷς ἠγνόησεν, ἀλλ' ὁμολογεῖν τὴν ἄγνοιαν, καὶ μὴ ὡς ἔτυχεν ἀποκρίνεσθαι περὶ ὧν ἠγνόησεν. ἰστέον δὲ ὅτι τὰ γνωρίσματα ἃ πρὶν εἶχον ἔτι ἕλληνες ὄντες οἱ ἅγιοι, οὗτοι καὶ μετὰ τὸ ἐπιστρέψαι πρὸς χριστὸν, ἀνερυθριάστως ἐπέγραφον ἑαυτοῖς· ἰδοὺ γὰρ καὶ οὗτος ἀρεοπαγίτην καλεῖ ἑαυτόν· καὶ ὁ θεῖος ἰουστῖνος ἐν τῷ πρὸς ἕλληνας λόγῳ, ἰουστίνου ἐπέγραψε φιλοσόφου.

# ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΕραρχίας, σχόλια.

## ΕΙΣ ΚΕΦΑΛ. α.

Θεουργικῆς) θεουργικῆς φησὶ, τῆς ἐκ θεοῦ ἐνεργουμένης, ἤγουν δοθείσης ἀνθρώποις, καὶ ὅτι θεοὺς ἀπεργάζεται καὶ ἀποτελεῖ ἡ ἐν χριστιανοῖς ἱεραρχία.

Παραδόσεων) ὅτι τὴν ἱεραρχικὴν ἐπιστήμην ἐκ παραδόσεως παρέλαβον.

Οὐκ ἐξορχήσῃ) τουτέστιν οὐ παιγνιωδῶς καὶ ἀνευλαβῶς ποιήσεις πᾶσι τοῖς ἀνιέροις καταφανῆ, γέλωτος ἀφορμὴν ποιούμενος, τὰ θεῖα καὶ μυστικά.

Ἱεροῖς δὲ μόνοις) ὅτι οὐ δεῖ τὰ ἅγια τοῖς βεβήλοις ἐκφαί-



Ministerio de Educación, Cultura y Deporte

τειν, οὐδὲ τοὺς μαργαρίτας τοῖς χοίροις ῥίπτειν.

Ο θεαρχικώτατος νοῦς) σημειωτέον κατὰ νεστοριανῶν, ὅτι νοῦς καὶ ἐπὶ θεοῦ λέγεται. ἁγιαστείας δὲ, ἤτοι καθαρότητος εἰς ἁγιωσύνην.

Κατὰ δύναμιν) τῶν νοερῶν αὐτῶν οὐσιῶν καὶ νοητῶν κατὰ τὴν δύναμιν· οὐ γὰρ κατὰ τὴν αὐτοῦ δύναμιν ἰσότης· ἀπειροδύναμος γὰρ, ἅτε καὶ θεός.

Συμπτύσσει) ἡ ἑρμηνεία τούτων ἐστὶν ἐν τῷ περὶ θείων ὀνομάτων πέμπτῳ κεφαλαίῳ.

Πολλὰς ἑτερότητας) πολλὰς ἑτερότητας οἶμαι λέγεσθαι, τὰς πολυειδεῖς τῶν σαρκικῶν ἐπιθυμιῶν μερίμνας, ἃς ἀπαγορεύει ὁ κύριος· ἑνοειδὴ δὲ καὶ θείαν ζωὴν, τὸ ζητεῖν ἐν πρώτοις τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅπερ ὁ κύριος ἐσήμανεν, εἰπὼν ἐν τῇ εὐχῇ, ἵνα ὦσιν ἕν. τὸ δὲ οὕτω πεποιῶσθαι τὴν ψυχὴν, ἕξιν ἱερὰν ἀπεκάλεσεν, ἥ τις καὶ μάλιστα τοῖς ἱερωμένοις πρεπώδης.

Καὶ τῆς τῶν θεαμάτων γνώσεως) τουτέστι, τῶν περὶ θεοῦ λόγων καὶ διδαγμάτων τὴν ἐπιστημονικὴν κατανόησιν· οὐ γὰρ ἄχρι ψιλῆς τῆς τῶν λογίων ἀκοῆς ἢ ἐκφωνήσεως τὰ τῶν ἱερῶν μυήσεων, ἀλλὰ τῇ παρακολουθήσει τῆς διανοίας, καὶ τῇ συνέσει τῶν ὑμνουμένων· οὕτω γὰρ καὶ οἱ κατὰ θεὸν πρῶτοι ἀφιεροῦνται αὐτῷ, καὶ εἶτα οὕτως ἑτέροις τὸ τοιοῦτον προξενοῦσι, τελειοῦνται, καὶ πάλιν τελειοῦσιν.

Αγγέλων ἐστὶ) ὅτι τὰς ἐννέα τάξεις καὶ νῦν λέγει, ἃς προωνόμασεν ἐν τῷ περὶ τῆς θείας ἱεραρχίας λόγῳ.

Καὶ πᾶσα ἡ νῦν ὑμνουμένη) τίς ἡ δύναμις πάσης ἱεραρχίας.

Αὐτόν τε τὸν ἱεραρ.) τουτέστι τὸν ἐπίσκοπον.

Καὶ τοῖς ὑποβεβηκόσι) περὶ προκοπῶν.

Ministerio de Educación, Cultura y Deporte

Ὑποβεβηκότας, ἔπειται) πρεσβυτέροις, διακόνοις, καὶ τοῖς λοιποῖς.

Ἀλλ' αἱ μὲν) σύγκρισις τῆς οὐρανίας καὶ τῆς αἰσθητῆς ἱεραρχίας.

Αἰσθητῶν συμβόλων) αἰσθητὰ σύμβολά εἰσι, τὰ ἑξῆς δηλούμενα μυστήρια, τουτέστι τὸ βάπτισμα ἤτοι φώτισμα· ἡ σύναξις, ἤγουν τὸ τῆς κοινωνίας μυστήριον, καὶ τὰ λοιπά.

Ἓν μέν ἐστιν) ὁ θεὸς δηλονότι.

Οὐχ ἑνιαίως) ἀντὶ τοῦ ἑνοειδῶς, καὶ καθ' ἕνα καὶ τὸν αὐτὸν τρόπον.

Νοητῶν τε) σημειωτέον, ὅτι τὸ σύνταγμα ὃ αὐτῷ ἐπονήθη περὶ νοητῶν καὶ αἰσθητῶν, παρ' ἡμῖν οὐχ εὕρηται.

Διεξοδικώτερον) ἀντὶ τοῦ πλατύτερον.

Ἔστι μὲν ἱεραρχία) ἱεραρχία ἐστὶ, φησὶ, καθὼς ἡ σεπτὴ ἡμῶν παράδοσις παρίστησι, τὰ καθολικῶς θεωρούμενα ἢ λεγόμενα περὶ τῶν προκειμένων, ἤγουν ὑποκειμένων ἱερῶν πραγμάτων ἤτοι δὲ καὶ πραττόμενα· συγκεφαλαίωσιν γὰρ τὴν τοῦ ὅλου περίληψιν λέγει, ὥσπερ καὶ ἀνακεφαλαίωσιν λέγομεν, τὸ ἐπαναλαβεῖν ἐν ὀλίγοις τὰ προλεχθέντα.

Καθολικωτάτη τῶν) καθολικά ἐστι, τὰ περιεκτικώτερα. φησὶν οὖν ὅτι τυχὸν ἁπάσης τάξεως ἱεραρχίας λεγομένης, ἱεραρχία ἐστὶ, ἁπάσης ἱεραρχίας ἡ ἀρχικωτέρα καὶ κοινοτέρα συγκεφαλαίωσις, οἷον τῆς πρεσβυτέρων ἱεραρχίας, τουτέστι τάξεως, ἱεραρχία, ὁ ἐπίσκοπος, ὀφείλων γινώσκειν καθαίρειν, φωτίζειν, τελειοῦν· τῆς διακόνων ἱεραρχίας ἱεραρχία, ὁ ἀρχιδιάκονος, ὃς ὀφείλει γινώσκειν τὰς λειτουργικὰς ἐνεργείας· καὶ οὕτω καθεξῆς τὰ λοιπὰ συντάγματα.

Συγκεφαλαίωσις ἡ καθ' ἡμᾶς) ἱερῶν συγκεφαλαίωσις, ἡ γνῶσις παντὸς ἱερατικοῦ τάγματος.



Ministerio de Educación, Cultura y Deporte

Ταύτης ἀρχὴ) ἥτις ἡ ἀρχὴ τῆς ἱεραρχίας, καὶ περὶ τριάδος.

Ἐπιστητὸν) σημείωσαι, ὅτι ἡ ἁγία τριὰς, ἐπιστητὸν ἔχει τὸ τῆς οἰκείας ὑπάρξεως γνώριμον, ὡς νῦν φαμὲν τὴν ἰδίαν οὐσίαν, μόνη αὕτη ἐπίσταται.

Ἡ λογικὴ) σημείωσαι, ὅτι ἄγγελοι καὶ ἄνθρωποι, λογικαί εἰσιν οὐσίαι.

Ἡ δὲ οὐχ ἑτέρως) σωτηρία δηλονότι.

Ἡ δὲ θέωσις) ἥ ἐστιν ἡ θέωσις.

Ἱεραρχίας) ἤ τὸ πέρας πάσης ἱεραρχίας, καὶ ὁποῖα δεῖ μετιέναι τὸν ἱεράρχην. σημείωσαι δὲ ὅτι τὸ τέλος, ἤγουν τὸν σκοπὸν ἁπάσης ἱεραρχίας εἶναι λέγει τῆς ἀγγελικῆς καὶ τῆς ἐν ἀνθρώποις, τὴν πρὸς θεὸν καὶ τὰ θεῖα ἀγάπησιν, καὶ τὰ ἑξῆς κατειλεγμένα· τὸ δὲ ἑνιαίως ἱερουργουμένην δηλοῖ, τὸ ὁλοσχερῶς καὶ μονοτρόπως πρὸς τὴν τοιαύτην λαβείαν ὁρᾶν.

Ὑπερκοσμίοις) σημείωσαι πῶς κινεῖ ὁ θεὸς τὰς νοητὰς δυνάμεις, καὶ πῶς ἡμεῖς ἐλλαμπόμεθα.

Οὐ γὰρ ἔξωθεν) ἄνθρωποι μὲν ἔξωθεν, τουτέστιν, ἀπὸ τῆς κατὰ τὴν κτίσιν θεωρείας, καὶ λόγων διδασκαλικῶν καὶ ἑτέρων τοιούτων, τὴν ἀληθῆ γνῶσιν λαμβάνουσιν· ἄγγελοι δὲ, αὐτὴν ἔνδοθεν τὴν νοερὰν αὐτῶν ἐλλάμπονται δύναμιν, καὶ τὴν θείαν ἐνσημαίνονται βούλησιν, ἤγουν τυποῦνται πρὸς τὸ θεομίμητόν τε, καὶ τῶν ὄντων ᾗ ὄντα ἐστὶ γνωστικόν.

Νοητῶς δὲ) κατανοητέον, πῶς ἔσωθεν, ἀλλ᾽ οὐ θύραθεν αἱ ἐλλάμψεις τοῦ θεοῦ, τοὺς θείους νόας κινοῦσιν· ἔφη γὰρ τὸν θεὸν νοητῶς αὐτοῖς ἐλλάμπειν· ἐπειδὴ γὰρ, νοερὸν μὲν ἐστὶ τὸ νοοῦν, νοητὸν δὲ τὸ νοούμενον· τροφὴ δὲ καὶ [illegible] σύστασις τοῦ νοοῦντος, τὸ νοούμενον, εἰκότως ὁ θεὸς ἅτε νοῶν ὄντων τῶν ἀσωμάτων, αὐτὸς νοητὸς καὶ νοούμενος αὐτοῖς, καθ᾽ ὅσον ἐφι-

Ministerio de Educación, Cultura y Deporte

κινοῦνται, γινόμενος ἔσωθεν, αὐτοῖς ἐλλάμπει, τοῦ νοοῦντος καὶ τρεφομένου.

Διαιρετῶν συμβόλων) σύμβολα διαιρετὰ ἐνταῦθα, τὰς τῆς γραφῆς πολυειδεῖς διδασκαλίας φησί, μάλιστα μὲν διὰ συμβολικῶν λόγων τὴν περὶ τῆς θείας φύσεως καὶ τῶν νοερῶν οὐσιῶν θεωρίαν εἰσηγουμένας· ἔσθ' ὅτε δὲ καὶ τῆς πράξεως οὔσας διορθωτικάς· ὡς τὰ νομικὰ παραγγέλματα, εἰς ἠθικὴν ἀλληγορίαν ἀναγόμενα· πολλῷ δὲ πλέον αἱ τῶν μυστηρίων τελεταί, ἐν συμβόλοις θεωροῦνται καὶ τύποις.

Οὐσία γάρ) σημείωσαι τίς ἡ οὐσία τῆς καθ' ἡμᾶς ἱεραρχίας, ἐστὶ τινὰ τὰ θεῖα λόγια.

Ἱεροτελεστῶν) ἱεροτελεστὰς μέν, τοὺς ἀποστόλους λέγει, οὓς ἐστὶ καθηγεμόνας εἴρηκε· θεολογικὰς δὲ δέλτους, τὰ βιβλία τῆς παλαιᾶς καὶ τῆς νέας· αὐλοτέραν δὲ μύησιν, τὴν ἐκ πνεύματος γενομένην τοῖς ἀποστόλοις γνῶσιν τῶν τῆς γραφῆς νοημάτων, ἃ καὶ σωματικὸν ἀπεκάλεσε λόγον, ἐξ ἧς μυήσεως ἐστὶ τὰ τῆς καινῆς συνέστη διδάγματα· γείτονα δὲ τῆς οὐρανίας ἱεραρχίας, τὴν τῷ ἡγεμονικῷ ἐγγινομένην τοῦ πνεύματος ἔλλαμψιν ἔφη.

Ἐκ νοὸς εἰς νοῦν) ὅρα τὰ διὰ μέσου λόγου, καὶ ὅτι διὰ λόγου ἀγράφου τὰ μυστικὰ παρεδόθη κατὰ κοινοῦ δὲ ληπτέον τὸ παραδεδωκότων. ἱεροῖς δὲ ἔφη συμβόλοις, διὰ τὰ ἑξῆς τιθέμενα μυστήρια, ἅ τινα καὶ θεωρίας ἀναγωγικῆς ἄξια.

Αἰσθηταῖς εἰκόσι) περὶ εἰκόνων.

Τὸ συνεπτυγμένον) ἰδοὺ σαφῶς τὸ ἐπτυγμένον.

Ἀγράφοις μυήσεσι) σημείωσαι ὅτι ἐστὶ ἀγράφοις μυήσεσι τὰ θεῖα ἡμῖν παραδέδονται.

Συμβολική τις) ὅτι συμβολικὴ ἐστὶ ἐξ αἰσθητῶν ἡ κατὰ



Ministerio de Educación, Cultura y Deporte

ἀνθρώποις ἱεραρχία· τουτέστιν οὐ γυμνῶς αὐτοῖς τοῖς θείοις ἐντυγχάνομεν πράγμασιν, ἀλλὰ διὰ συμβόλων τελούμεθα, διὰ τοῦ ποτηρίου τῆς εὐλογίας, ὥς φησιν ὁ ἀπόστολος, καὶ τοῦ ἄρτου ὃν κλῶμεν, καὶ τῶν λοιπῶν.

Ἀνακεκαλυμμένοι) τουτέστι γνώριμοι, καὶ ὧν τινῶν πραγμάτων καὶ μυστηρίων εἰσὶν ἐνδεικτικοί.

Οὐ μεταδώσεις ἑτέρῳ) ὅτι ἀσφαλῶς δεῖ λαλεῖν τὰ μυστικά.

## ΚΕΦΑΛ. β.

Ταύτης δὲ) τῆς πρὸς θεὸν ἀφομοιώσεώς τι καὶ ἑνώσεως δηλονότι.

Τίς οὖν ἐστὶν ἀρχή) ἀρχή, φησί, καὶ ὁδοποίησις τῆς πρὸς θεὸν οἰκειώσεως καὶ τῆς ἐπουρανίου κληρονομίας, τὸ θεῖον ὑπάρχει βάπτισμα· καὶ γὰρ ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ ἴδῃ τὴν βασιλείαν τοῦ θεοῦ, ὅθεν μορφοῦται ὁ ἔσω ἄνθρωπος πρὸς κρείττονα ἕξιν καὶ σωτήριον, καὶ τὴν κατὰ θεὸν λόγων τε καὶ πραγμάτων τὴν ἐπιτήδευσιν.

Η πρὸς τὴν τῶν ἄλλων) τρία τινά φησι δεῖσθαι πρὸς τὴν ἀρχὴν τῶν ἐντολῶν· τὴν ὑποδοχὴν τῶν θείων λογίων, τὴν κατήχησιν τῆς θείας πίστεως, καὶ τὴν ἀναγέννησιν τὴν διὰ τοῦ θείου βαπτίσματος. καλῶς οὖν ἀπέδειξεν ὅτι ἡ προτιμοτάτη καὶ ἐξαίρετος κίνησις τοῦ νοῦ, ἡ περὶ θεὸν ἀγάπη ἐστὶ· καὶ ὅτι διὰ ἀρχή τις ἐστὶ τῆς πρὸς θεὸν ἀγάπης, ἡ θεία ἡμῶν δημιουργία, τουτέστιν, ἡ διὰ τοῦ βαπτίσματος ἀναγέννησις, καθ᾽ ἣν θείως εἶναι ἀρχόμεθα· ἡ μὲν γὰρ ἐκ σπέρματος ἡμῶν δημιουργία, καθ᾽ ἣν ἐκ θεοῦ δημιουργοῦντος ἦν, ἀλλ᾽ οὖν φυσι-

Ministerio de Educación, Cultura y Deporte

κή ἐστιν· ἡ δὲ ἐκ βαπτίσματος, θεία· οὐ γὰρ ἐξ αἱμάτων ἐστὶν, οὐδὲ ἐκ θελήματος ἀνδρός. ὥσπερ οὖν ἐν τῇ φυσικῇ γεννήσει δεῖ πρότερον ὑπάρξαι εἰς τὸ εἶναι, καὶ τότε ἐνεργῆσαι τὰ κατάλληλα, καὶ παθεῖν· οἷον, ἀνθρώποις μὲν τὰ οἰκεῖα, ἄλογα δὲ ὁμοίως τὰ πρόσφορα· οὕτω καὶ ἐν τῇ διὰ τοῦ βαπτίσματος ἀναγεννήσει, δεῖ πρότερον θεῷ ὑπάρξαι, καὶ τότε ἐνεργῆσαι τὴν ἀγάπην αὐτοῦ, καὶ τὰ λοιπὰ πρὸς εὐζωΐαν.

Ὡς γὰρ ὁ κλεινὸς) τὸν μακάριον ἱερόθεον λέγει, ὡς πολλάκις ἐδήλωσεν ἐν τοῖς πρόσθεν λόγοις.

Προαίρεσιν κίνησις) τίς ἡ ἐξαίρετός ἐστι κίνησις τοῦ νοῦ.

Η τοῦ εἶναι θεῖως) τουτέστιν, ἡ διὰ τοῦ βαπτίσματος ἀναγέννησις.

Α̕ῤῥητοτάτη) τουτέστι τὸ διὰ βαπτίσματος ἀναπλασθῆναι καὶ ἀναγεννηθῆναι, ὡς δηλοῖ ἐφεξῆς.

Υπάρξαι δεῖ) ὅτι ἀκολουθεῖ τῇ κατὰ φύσιν ὑπάρξει, τὸ κατ᾽ αὐτὴν ἐνεργεῖν.

Θεογενεσίας) τουτέστι τοῦ βαπτίσματος.

Ηλιοτεύκτοις) ταῖς αὐγαῖς ἃς ὁ ἥλιος τεύχει· δηλοῖ δὲ τὰς ἀκτῖνας.

Τὸν μὲν ὀζίαν) σημείωσαι τὰ κατὰ τὸν ὀζίαν, καὶ τὸν κορὲ, καὶ τὸν ναδάβ.

Εὐαγγέλια) ἵνα εὐαγγέλια ἀληθῶς.

Φιλανθρωπίαν) σημείωσαι περὶ τῆς οἰκονομίας.

Α̕φομοιῶσαι) διὰ τῆς πίστεως δηλονότι, ὡς ἐφεξῆς.

Ο τούτων ἀγαπήσας) τὸν νεωστὶ πιστεύσαντα καὶ θέλοντα φωτισθῆναι φησί· μεμυημένον δὲ, τουτέστι χριστιανὸν καὶ τελείως πιστόν.

Αὐτὸς δὲ ὁλικῶς) περὶ τοῦ νυνὶ λεγομένου ἀναδόχου τῶν νεοφωτίστων.

Ministerio de Educación, Cultura y Deporte

Επακολουθήσειν) κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ, κατὰ πάντα ἀκουσόμεθα τῆς φωνῆς κυρίου.

Αναδέξασθαι) τὸν αἰτηθέντα ἀναδέξασθαι, ὅθεν καὶ ἀνάδοχος λέγεται.

Ιεραρχίας ἐπώνυμον) ἱεράρχην δηλαδή.

Τοῖν ἀνδροῖν) ὅτι οὕτως δεῖ συνθεῖναι τὴν ῥῆσιν· τοῖν ἀνδροῖν, ὡς ἐπ᾽ ὤμων τὸ πρόβατον εἰσδεξάμενος, ἵνα ᾖ, ἐκ τῶν δύο ἀνδρῶν, τοῦ τε ἀναδόχου φημὶ, καὶ τοῦ προσελθόντος, εἴσω τῆς ἐκκλησίας, δεξάμενος αὐτὸν ὡς πρόβατον ἀπολωλὸς, αὐτὸν τὸν ἐκ πλάνης ἐπιστρέφοντος· ὁ γὰρ ἀνάδοχος πιστὸς ἦν, καὶ οὐκ ἐδεῖτο εἰσδεχθῆναι νῦν εὐχαριστεῖ τῷ θεῷ ὁ ἱερεὺς· εἰ γὰρ οὕτω συντεθείη, τοῖν ἀνδροῖν εἰσδεξάμενος, σολοικὸν ἔσται πάνυ.

Διανοερᾶς) νοερὰν εὐχαριστίαν φησὶ, τὴν σιωπηλὴν καὶ ἐν τῷ νῷ γινομένην· σωματοειδῆ δὲ, κλίνων τὴν κεφαλὴν καὶ προσκυνῶν τὸν θεόν.

Πᾶσαν ἱερὰν διακόσμησιν) τουτέστιν ὅλον τὸν κλῆρον.

Υμνον τινὰ) σημείωσαι, ὅτι ἐκ πάσης τῆς γραφῆς, δυνατὸν ὕμνον προσφέρειν τῷ θεῷ, οὐ μὴν ἐκ μόνου τοῦ δαβίδ. ἄλλως. ὕμνον τινὰ, ἢ τὴν ᾠδὴν μαρίας τῆς ἀδελφῆς μωσέως, ᾄσωμεν τῷ κυρίῳ· ἢ τὸν τριακοστὸν τρίτον τοῦ δαβὶδ ψαλμὸν ἢ μέρος τούτου, προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε.

Ολικὴν γενέσθαι) ὁλικὴν προσέλευσιν, τὴν ἐξ ὅλης ψυχῆς φησί.

Κελεύει τοῖς ἱερεῦσι) σημείωσαι, ὅτι ἱερεῖς καλεῖ τοὺς ὑποβεβηκότας τῶν ἐπισκόπων, τουτέστι τοὺς πρεσβυτέρους, καὶ διακόνοις αὐτοῖς, οὕτως ὀνομάζων· αὐτοὶ γὰρ ὀνοματογραφοῦσι τοῖς νεοφωτίστοις.

Τὸν ἄνδρα) σημείωσαι καὶ περὶ τῆς ἀπογραφῆς τοῦ βαπτι-

Ministerio de Educación, Cultura y Deporte

ζομένου καὶ τοῦ ἀναδόχου.

Ἐκκλησίας συμπληρωσάσης) τουτέστιν, ἐπὶ τῇ τοῦ ἀμὴν ἐκφωνήσει.

Ὑπολύει μὲν αὐτὸν) περὶ τῶν ἐν τῷ θείῳ βαπτίσματι τελουμένων.

Καὶ ἀπαμφιέννυσι) ἐνταῦθα οὐ πᾶσαν τὴν ἐσθῆτα ἀπαμφιέννυσιν, ἀλλ' ἀφίησιν ἓν ἱμάτιον, ὡς δηλοῖ ἐφεξῆς. διὰ τῶν λειτουργῶν δὲ, τουτέστι τῶν διακόνων.

Μετάγει πρὸς ἕω) ὧδε ὡς εὐχόμενον καὶ αἰτοῦντα ποιεῖ· ἐν δὲ τῷ πρὸς δυσμὰς σχήματι, ὡς ἀπωθοῦντα τὰ ἔργα τοῦ σκότους. σημείωσαι, ὅτι τότε οἱ διάκονοι μόνοι, ἐξέδυον τοὺς ἐπὶ τὸ βάπτισμα· οἱ δὲ πρεσβύτεροι, τὰ λοιπὰ ἐποίουν, ἃ νῦν οἱ διάκονοι ποιοῦσιν, ὡς ἔγνως πρὸ μικροῦ. καὶ ἐν τοῖς ἑξῆς δὲ εὑρήσεις, ὅτι λειτουργοὺς, τοὺς διακόνους καλεῖ· τοὺς δὲ πρεσβυτέρους, ἱερεῖς.

Τῶν λειτουργῶν) λειτουργοὺς λέγει τοὺς διακόνους.

Μητέρα τῆς υἱοθεσίας) μητέρα τῆς ἱεροθεσίας, τὴν κολυμβήθραν καλεῖ.

Τὸ ἱερὸν τῆς τῶν θεολήπτων) οὕτω τὴν λέξιν συντακτέον, τὸ ἱερὸν μελῴδημα τῆς ἐπιπνοίας τῶν θεολήπτων προφητῶν ἵνα ᾖ, καὶ τὸ λοιπὸν ὁ ἐπίσκοπος εἰπὼν τὸ ἱερὸν μελῴδημα τοῦ ἁγίου πνεύματος, ὅπερ ἅγιον πνεῦμα, ἡ ἐπίπνοια ἐστὶ τῶν θείων προφητῶν, δέχεται τὸν ἄνδρα· οὐ γὰρ τὸ ἱερὸν μελῴδημα τῶν προφηλῶν φησὶν οὐ πάντες γὰρ οἱ προφῆται, εἶπον τὸ αὐτὸ ἓν ᾆσμα· ἔστι δὲ ὁ εἰκοστὸς ὄγδοος ψαλμὸς, φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, καὶ τὸ ἀλληλούϊα.

Καπάλληλον) τουτέστι λευκήν.

Τῷ θεουργικωτάτῳ) κγ'. ἐν ἄλλῳ, θεολογικωτάτῳ. οὐ χρὴ φησὶ τὸν ἐντυγχάνοντα τοὺς περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρ-

Ministerio de Educación, Cultura y Deporte

χίας λόγοις, τοῦ παρ' ὅς ξενίζεσθαι, εἰ παρὰ τὴν νῦν κρατοῦσαν ἐν ταῖς ἐκκλησίαις τάξιν ἐν ταῖς τῶν μυστηρίων τελεταῖς, παρηλλαγμένα λέγει τινά· ὥσπερ καὶ ἐνταῦθα. μετὰ τὴν χρίσιν τοῦ μύρου, τὴν τῆς ἁγίας κοινωνίας μετάληψιν εἰσάγει γίνεσθαι· εἰκὸς γὰρ ἦν ταῦτα, τῇ τῶν χρόνων μὲν καταστάσει ἁρμόζειν, νῦν δὲ ἀκριβέστερον γίνεσθαι ἐν τῇ τῶν θείων μυστηρίων τελεία λειτουργίᾳ· ἐν ᾗ καὶ τοῖς νεοφωτίστοις δεῖ μεταλαμβάνειν. τὸ δὲ εἰπεῖν πάλιν ἐπὶ τὴν τῶν προτέρων ἀνατείνεσθαι θεωρίαν, ἢ εὐχὴν μετὰ τοῦτο γίνεσθαι ἠνίξατο, ἢ ὅτι μετὰ τοῦτο ὁ ἱεράρχης, πρὸς τὴν θείαν ἄπεισι λειτουργίαν.

Ἐπὶ τὴν τῶν προτέρων ἀνατείνεται) ὃ λέγει τοιοῦτόν ἐστιν, ὁ ἐπίσκοπος τὴν εἰκόνα ἐπέχων τοῦ πάντων θεοῦ· ὥσπερ ὁ θεὸς ἐπὶ τῆς οἰκείας ἑνότητος ἀεὶ μένων καὶ ταυτότητος, καὶ ἀνεκφοιτήτως εἰς ἑαυτὸν ἱδρυμένος, σωτηρίας ἕνεκα πάντων ταῖς προνοητικαῖς προόδοις, ἐπὶ πάντα τὰς τῆς ἀγαθότητος ἐλλάμψεις ἐκτείνει, καὶ πᾶσι πάρεστι τῆς ἰδίας ἱδρύσεως οὐκ ἀποστάς· οὕτω καὶ ὁ ἐπίσκοπος κατὰ μίμησιν ὡς δυνατὸν συμβολικῶς τοῦ θεοῦ, ἐπὶ τῆς ἰδίας στάσεως μένων, τουτέστι τῆς ἐκκλησιαστικῆς ἀρχῆς, πρόεισι προνοίᾳ φιλανθρωπίας ἐπὶ τὰ δεύτερα, τουτέστιν εἰς τὸ κατιέναι πρὸς τὸν ἐπιστρέφοντα, καὶ διδάσκει αὐτὸν, καὶ χρίει, καὶ σφραγίζει, καὶ μεταδίδωσι τοῦ δώρου βαπτίσας. ταῦτα δὲ πάντα ὡς λειτουργικὰ, δεύτερά εἰσι τῆς ἀρχῆς αὐτοῦ. πληρώσας οὖν τὰ δεύτερα πάντα, πάλιν ἐπάνεισιν ἐπὶ τὸ θυσιαστήριον, παριστῶν συμβολικῶς ἐπὶ τοῦ θεοῦ, ὅτι καίτοι προελθὼν προνοητικῶς εἰς τὰ δεύτερα τῆς τοῦ προσελθόντος ἕνεκα σωτηρίας, ὅμως οὐκ ἀπέστη τοῦ τὰ οἰκεῖα πράττειν, καὶ ἐν τοῖς αὐτοῦ εἶναι, τουτέστιν, ἐν τοῖς τῆς περὶ θεὸν θεωρίας ὑψώμασιν· ἀλλ' ἀπὸ θείων, ἀντὶ τοῦ ἐκ τῆς περὶ τῶν νεοφωτίστων ἁγίας λειτουργίας.

Ministerio de Educación, Cultura y Deporte

εἰς τρία, οἷον ἢ πρὸς τὸ τῆς θεολογικῆς θεωρίας ὕψος πάλιν ἐπιστρέφει, πρὸς τὸ τῷ ἄλλῳ πνεύματι δοκεῖν ἀγόμενος καὶ μεταγόμενος. ταῦτα καὶ μετὰ βραχέα φησὶν ἐν τῇ θεωρίᾳ τοῦ μυστηρίου τῆς κοινωνίας.

Τῇ δι' ὕδατος) τῷ γὰρ ὕδατι, τὰ ἀκάθαρτα καθαίρονται.

Αἰνιττομένη) ὅτι πρὸς τοὺς ἀκούοντας δεῖ καὶ τὰς ἑρμηνείας ποιεῖσθαι· καὶ ὅτι οἱ πολλοί, ἀνήκοοί εἰσι τῶν τοιούτων μυστηρίων, ὅπερ λέγει πληθύν.

Ἑνοειδῆ τὸ πληθύος) ἑνοειδῆ φησί, τὸ θεοειδῆ· πληθύος ἐστί, τῶν πολλῶν καὶ ἀνιέρων.

Ἐν τῇ περὶ νοητῶν) ὅτι περὶ νοητῶν καὶ αἰσθητῶν, σύγγραμμα αὐτῷ πεπόνηται, καὶ τί περιέχει.

Λέγωμεν τοίνυν) θεωρίαι.

Τῶν νοερῶν) δύο κακίας λέγει τῶν νοερῶν· ἢ γὰρ τελείως ἀφίστανται τοῦ θείου φωτὸς, ἐρῶσαι τῆς κακίας· ἢ τὸ δοθὲν αὐταῖς τῆς ἐλλάμψεως μέτρον περιφρονήσασαι, καὶ ὑπερβῆναι τοῦτο τολμηρῶς ἐπιχειρήσασαι, καὶ τὸ ὑπερβαῖνον τὴν δύναμιν αὐτῶν καταλαβεῖν ἀπονήσασαι, ἀποτεύξονται πάντως καὶ τοῦ δοθέντος αὐταῖς μέτρου, τοῦ θείου φωτὸς ἀναλλοιώτου μένοντος πανταχοῦ.

Αὐθαίρετος) σημείωσαι ὅτι πᾶσα νοερὰ ὄψις καὶ δύναμις, εἴτε ἀγγέλων, εἴτε καὶ ἀνθρώπων, αὐθαίρετός ἐστι καὶ αὐτεξούσιος, καὶ πῶς ἐν κακίᾳ γίνεται.

Ἀπήρτηται) ὥσπερ τὸ συνηρτῆσθαι δηλοῖ τὸ συνηρμόσθαι, οὕτω καὶ τὸ ἀπηρτῆσθαι, τὸ ἐκπεπτωκέναι τῆς ἁρμογῆς καὶ τῆς συμφυΐας· ἔσθ' ὅτε δὲ, καὶ τὸ ἐκκρέμασθαι ἡ λέξις δηλοῖ. ἐνταῦθα μέντοι, κατὰ τὸ πρότερον σημαινόμενον εἴληπται.

Ministerio de Educación, Cultura y Deporte

Εἴπε τοῦ μετρίως) ἐξ εἰκόνος τοῦ αἰσθητοῦ φωτός, ἐπὶ τὸ τῶν θείων νοήσεων σύμμετρον ἁρμόσῃς τὸ εἰρημένον, ἐπεὶ καὶ γέγραπται, ὑψηλότερά σου μὴ ζήτει· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· μέτρον γὰρ ἐν τούτοις, τὸ σύμμετρον λέγει.

Τῶν μὲν ἀνοικείων) τῶν μὴ ἀναρμοζόντων αὐτῇ, ὡς ὑπερεχόντων.

Πρὸς ταύτην ὁ θεῖος) τίνος τύπος ὁ ἐπίσκοπος.

Προσιοῦσιν ταῖς) ὧδε σαφῶς, ὅτι πρὸς τοὺς ἀκούοντας διδάσκει.

Ἐπιγνώμονες) σημείωσαι, ὅτι πρῶτον δῶρον ἐκ τῆς ἀκριβοῦς διδασκαλίας κτᾶταί τις τὸ ἐπιγνῶναι ἑαυτόν, ἵνα τὸ ἐν τῷ νόμῳ φυλάξῃ, πρόσεχε σεαυτῷ, ὡς καὶ ὁ θεῖος ἔφη Βασίλειος· οὕτω γὰρ πως μιμεῖται ἀγγέλους, τοὺς γινώσκοντας ἑαυτούς.

Ὁρατὸν ἀνατρέχων) ὁρατὸν ἐνταῦθα, τὸ θεωρητὸν, ἤγουν ἐπιστητὸν λέγει. ἀνατρέχων δὲ, τουτέστιν ὅλος κινούμενος ἐπὶ τὸ ὁρᾶν. ἱερὸν δὲ δῶρον φησὶ, τὸ εἶναι ἑαυτοῦ ἐπιγνώμονα.

Ταύτης ἐστὶ τῆς) ἐξήγησις, τί τὸ διὰ ἀναδόχου πρὸς τὸν ἱεράρχην ἐλθεῖν.

Σφραγὶς) τίς ἡ σφραγὶς, καὶ τίς ἡ ἀπογραφή.

Πρὸς αὐτοῦ καὶ) ἀντὶ τοῦ, μετ' αὐτοῦ.

Συνοπαδὸν) συνακόλουθον.

Ἀλλ' ἄσχετον εἶναι) οἱονεὶ μηδεμίαν σχέσιν ἔχοντα πρὸς τὴν προτέραν ζωὴν, μηδὲ καταπιπτόμενον ταῖς διαιρέσεσι τοῦ ἑνοειδοῦς· τὸ γὰρ ἓν, ἐν πᾶσιν ἑαυτῷ ὅμοιον, καθὸ ἕν· τὸ δὲ πλῆθος, ὡς ἐν διαιρέσει ἀμορφιῶν τυγχάνον, ἀνόμοιον.

Ministerio de Educación, Cultura y Deporte

Ἀπεκδύσασα) διὰ τί ἀποδύεται.

Ὥσπερ ἐκπνέοντα) σημείωσαι τί σημαίνει τὸ τοὺς κατηχουμένους ἐμφυσᾶν τῷ διαβόλῳ.

Διαγγέλλουσα) ἡ τῶν συμβόλων δηλαδὴ παράδοσις.

Πρὸς τὸ ἓν ὁλικῆς συνδύσεως) τὴν πρὸς τὸ ἓν ὁλικὴν συνδυσιν λάβε, κατὰ τὸ τοῦ κυρίου ῥητὸν εἰπόντος, ἵνα ὦσιν ἕν, τουτέστι, πρὸς τὸ ἓν ὁρῶντες, ὅπερ ἐστὶ τὸ ἀρέσκον θεῷ. ἀνάστασιν δὲ, τὴν πρὸς τὸ θεῖον ὕψωσιν τοῦ λογισμοῦ, καὶ τῶν χαμαιζήλων ἀναχώρησιν.

Τὸ ἀναλλοίωτον ἴσχει) πῶς καὶ πόθεν ἀναλλοίωτοι γίνονται αἱ νοεραὶ ἕξεις.

Ἀμάλθακτον εἶναι καὶ) ἄθελκτον, ἀθήλυντον, ἀνδρεῖον, ἀνένδοτον, ἀπαρέγκλιτον ὑφέσει πάσῃ. ἰστέον δὲ ὡς ἐπὶ γυναικῶν ἀνδριζομένων ἢ ἀρρενοφανῶν εἴρηται.

Ὁρᾷς δὲ πῶς) περὶ τοῦ ἀλείμματος.

Καθ᾽ οἷς ὑπ᾽ ἀθλοθέτῃ) ἐν ὑπερβατῷ ἡ σύνταξις τοῦ παρόντος χωρίου μεταξὺ λογίας συντεθείσης μακρᾶς. οὕτως οὖν συντακτέον, καθ᾽ οἷς ὑπ᾽ ἀθλοθέτῃ χριστῷ γινόμενος, τοῖς μὲν ἀγῶσιν, ὡς θείοις ὁ τελούμενος ἐπιβήσεται χαίρων, καὶ τὰ ἑξῆς.

## Ο ΧΡΙΣΤΟΣ.

| | | | |
|---|---|---|---|
| Ὡς μὲν θεὸς, ἀθλοθετεῖ. | Ὡς δὲ σοφὸς, νομοθετεῖ. | Ὡς δὲ καλὸς, καλλύνει τὰ ἆθλα. | Ὡς δὲ ἀγαθὸς, συναγωνίζεται. |

Ἐπειδὴ, ὡς θεὸς) ὅτι χριστὸς θεός ἐστι, κατὰ νεστοριανῶν.

Ἐπιβὰς) περὶ τοῦ βαπτίσματος λέγει.

Τοῦ ἀθλητῶν προσώπου) ἀθλητῶν πρόσωπον, τὸν κύριον

Ministerio de Educación, Cultura y Deporte

λέγει, ὃς διὰ μόνην ἀγαθότητα ἰδίαν, πρὸς τὸ τοῦ θανάτου ἠγωνίσατο κράτος.

Αθλήσετι) διὰ τῆς ἀλοιφῆς δηλονότι τοῦ θείου μύρου.

Ενεργείας τε καὶ) ἐνεργείας μὲν, τὰς ἁμαρτίας, καὶ τὰς ἐμπαθεῖς ἐπιθυμίας καὶ κινήσεις φησίν· ὑπάρξεις δὲ, τὰς ἐνεργητικὰς τῶν δαιμόνων φύσεις· αἱ γὰρ πονηραὶ πράξεις, οὐκ ἐν ἰδίᾳ ὑπάρξει θεωροῦνται.

Επειδὴ θάνατός ἐστιν) τί ἐστι θάνατος, καὶ ὅτι ἕνωσίς ἐστιν ἡ σύνθεσις ἡμῶν.

Αφανὲς ἄγουσα) τοῦτο τὸ ἀφανὲς τινὲς ἔφησαν εἶναι τὸν ᾅδην, τουτέστι τὸν ἀειδῆ καὶ ἀφανῆ γινόμενον τῆς ψυχῆς χωρισμὸν, εἰς τόπους ἀοράτους τοῖς αἰσθητοῖς.

Σωματοειδῶν ἀλλοιώσεων) πολλάκις γὰρ ἀναστοιχοῦται, οὐ μόνον εἰς σκώληκας, ἀλλὰ καὶ εἰς ἄλλα ζῶα τὸ σῶμα. ὅρα δὲ ὅτι καὶ τὴν τοιαύτην μεταβολὴν, ἀλλοίωσιν καλεῖ, καὶ ὅτι ὁ θάνατος, οὐ τῆς οὐσίας ἡμῶν ἐστὶν ἀνυπαρξία, καὶ ὅτι ἡ ψυχὴ ἐξιοῦσα τοῦ σώματος, ἀφανὴς γίνεται, καὶ οὐκ εἰλεῖται περὶ τὸ σῶμα ὥς τινες εἶπον· καὶ ὅτι ἡ κατάδυσις τοῦ ὕδατος, ἀντὶ θανάτου καλῶς παρείληπται.

Τὸν θεαρχικὸν) ὅτι θεαρχικὸν θάνατον καλεῖ, τὴν τριήμερον τοῦ κυρίου ταφήν· καὶ ὅτι τὸ ῥῆμα ὃ εἶπεν ὁ κύριος, ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδὲν, τοῦ λόγου φησὶν εἶναι. ἄρχοντα δὲ τοῦ κόσμου καὶ τῶν ἐν ἀνθρώποις διαβολικῶν προαιρέσεων, τὸν σατανᾶν λέγει, τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, κατὰ τὸν ἀπόστολον· ὃς ἐν χριστῷ, οὐδὲν τῆς οἰκείας παραβάσεως εὗρεν· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ δόλον, ὡς ἡσαΐας φησί· διὸ καὶ ἀδύνατον ἦν αὐτὸν ὑπὸ τοῦ θανάτου κρατεῖσθαι, ὡς φησὶ πέτρος· ἀλλ' ἀφείθη μόνος ἐν νεκροῖς ἐλεύθερος κατὰ τὸν δαβίδ.

Τὸ ἀ-

Ministerio de Educación, Cultura y Deporte

Τὸ ἄκοσμον κοσμεῖται) ἐπειδὴ τὸ σκότος ἐστὶν ὁ ῥυπαρὸς βίος, κατὰ τὸν ἀπόστολον, ἀκοσμότατόν τι ὑπάρχει καὶ ἀνείδεόν ἐστιν, οὐκ ἔχον τὸ εἶδος τοῦ θείου φρονήματος· ἀποσκίασμα γὰρ καὶ ἀπόφραγμα τῆς ἀρετῆς ἐστιν· εἰκότως τῷ φωτίσματι κοσμεῖται, καὶ εἶδος δέχεται φωτὸς ὁ προσιών, τέκνον φωτὸς γινόμενος, καὶ σπέρμα τοῦ θεοῦ, ὃ ἐστι φῶς δεχόμενος, κατὰ τὸν θεῖον ἰωάννην. ἀνείδεον δὲ ἐν τοῖς οὖσι τὸ δυσειδὲς ἀπεκάλεσεν, οὐχὶ τὸ εἴδους πάντη ἀμέτοχον, ὥσπερ καὶ τὸ δύσμορφον, πολλάκις ἄμορφον φαμέν.

Ἐπιγνῶναι νοερῶς) ἐγὼ μὲν ὑπολαμβάνω, σκοπῶν μετὰ εὐφροσύνης, ὡς ἀγνοοῦντα δῆθεν σιωπῆσαι τὸν μέγαν διονύσιον· ὅτι μὲν γὰρ πνεύματος προγνώσεως ἠξίωτο, δῆλον ἐν τῇ πρὸς τὸν εὐαγγελιστὴν ἰωάννην ἐπιστολῇ πεποίηκεν. ὅμως τοῦτό μοι δοκεῖ σημαίνειν, ὅτι χριστοῦ εὐωδία ὄντες πανταχοῦ οἱ τοῦ θείου πνεύματος ἠξιωμένοι, καὶ ἑνωθέντες αὐτοῦ τῇ καθαρότητι κατὰ τὸν ἀπόστολον, αἰσθάνονται τῆς αὐτοῦ παρουσίας, τῷ γλώσσαις λαλεῖν, ἢ προφητικὸν ἔχειν χάρισμα, ἢ ἰάσεις ἐνεργεῖν, καὶ ὅσα ἐν ταῖς πράξεσι δηλοῦται, καὶ παρὰ τῷ θειοτάτῳ παύλῳ. Ἄλλως. οἱ ὡς πνευματικοὶ τὰ πνευματικὰ νοοῦντες, καὶ τοῖς πνευματικοῖς συγκρίνοντες, καὶ τὴν ἔνθεον καὶ πνευματικὴν εὐωδίαν, οὕτως νοήσουσι· χριστοῦ μὲν γὰρ εὐωδίαν φησὶν εἶναι παῦλος, τοὺς τὰ εὐαγγελικὰ κηρύττοντας, ὡς ἐκ ζωῆς τῆς πίστεως, ἡγουμένους ἐπὶ ζωὴν, τὴν διὰ βαπτίσματος ἄφεσιν, καὶ τοῦ ἁγίου πνεύματος δόσιν, καὶ βασιλείαν οὐρανῶν δι' ἔργων θεοπρεπῶν, τῶν καὶ εὐωδίας νοητῆς ὄντων δηλοῦντας· ὅθεν φιάλας θυμιαμάτων μεστάς, τὰς εὐχὰς τῶν δικαίων ἰωάννης ὁ θεῖος ἐν ἀποκαλύψει θεωρεῖ. δυσωδία δὲ τοῦ διαβόλου, τὰ τῆς ἁμαρτίας εἰσὶν ἔργα, ὡς καὶ ἐν ψαλμοῖς εἴρηται, προσώζεσαν καὶ ἐσάπησαν οἱ



Ministerio de Educación, Cultura y Deporte

μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου, τουτέστι τῆς ἁμαρτίας μου· διὸ καὶ ὁ χριστὸς, μύρον ἐκκενωθὲν κεχρησμῴδηται· καὶ ὀσφραίνεται ὀσμὴν εὐωδίας κύριος, ἐν τῇ προσφορᾷ τοῦ δικαίου νῶε. ἐντεῦθεν καὶ τὸ εὐαγγέλιον, τοῖς μὲν, ὀσμὴ θανάτου, ἀντὶ τοῦ τοῖς ἀπίστοις καὶ ἀσεβέσιν, ὀσμὴ πάλιν εἰς θάνατον γίνεται, ἐλέγχον τὰ ἔργα, καὶ κατακρῖνον εἰς γέενναν, ὃν τρόπον καὶ τὸ ἐξαίρετον πάνυ μύρον κατὰ τοῦτον, καὶ ἀνθρώποις ἡδύνει, καὶ χοίρους ἀναιρεῖ, οὐ φέροντας τὴν ἄκραν εὐωδίαν. ταῦτα πλατέως λέγει κάτω ἐν κεφαλαίῳ τετάρτῳ εἰς τὸ μύρον.

Ἐκ τῶν ἀποστολικῶν διατάξεων.

Ἔστι τοίνυν, τὸ μὲν βάπτισμα, εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον· τὸ δὲ ὕδωρ, ἀντὶ τῆς ταφῆς· τὸ ἔλαιον, ἀντὶ τοῦ πνεύματος τοῦ ἁγίου· ἡ σφραγὶς, ἀντὶ τοῦ σταυροῦ· τὸ μύρον, βεβαίωσις τῆς ὁμολογίας.

## ΚΕΦΑΛ. γ.

ΚΑθηγεμόνα, τελετῶν) τὸν ἅγιον ἱερόθεον λέγει.

Ἱερογραφικῶς ἐκθέμενον) τουτέστι, κατὰ τὴν ἱερὰν διαγραφὴν τῶν ἐμφανῶς τελουμένων.

Τὸ κοινὸν) κατὰ παράλειψιν τοῦ ὑπάρχοντός ἐστι.

Κοινωνία τε) περὶ κοινωνίας.

Ἡ τελείωσις ἐκ τῶν) ὅτι ἀδύνατον τελειωθῆναι δίχα τῆς μεταλήψεως.

Ἐν κεφαλαίῳ) τουτέστιν, ἀναγκαιοτάτῳ λόγῳ.

Ἁπλῶς μὲν) ὅτι οὐδεμία σύναξις τελεσιουργεῖ δίχα τῆς

Ministerio de Educación, Cultura y Deporte

μεταλήψεως.

Καὶ τὸ κεφάλαιον) καὶ ἐνταῦθα τὸ κεφάλαιον, ὅτι τοῦ ἀναγκαίου καὶ καιρίου εἴληπται.

Επωνυμίαν αὐτῇ) διὰ τί λέγεται φώτισμα, καὶ ὅτι δικαίως.

Εκ τοῦ τελουμένου) καὶ ἐνταῦθα κατὰ παράλειψιν τοῦ ὑπάρχειν λαμβάνεται.

Ο μὲν ἱεράρχης) ἡ τάξις αὕτη, ἐν τοῖς χρόνοις τοῦ πατρὸς ἐπολιτεύετο, ἴσως ἐν ταῖς κατὰ τόπον ἐκκλησίαις.

Αγιογράφων δέλτων) ἁγιογράφοις δέλτοις καλεῖ, τὴν παλαιὰν καὶ τὴν νέαν διαθήκην.

Καὶ πρὸς αὐτοῖς οἱ ἐνεργούμενοι) τουτέστιν, ὑπὸ πνευμάτων ἀκαθάρτων.

Τῶν λειτουργῶν δὲ) λειτουργοὺς φησὶ, τοὺς διακόνους, καὶ τοὺς νῦν ὑποδιακόνους λεγομένους.

Εκκριτοι) ἔκκριτοι, οἱ πρῶτοι διάκονοι· ἱερεῖς δὲ, οἱ πρεσβύτεροι.

Προτιθέασι) ἔστω κατὰ τὴν ἐν ῥώμῃ κρατοῦσαν συνήθειαν· ἐκεῖ γὰρ ἑπτὰ μόνοι διάκονοι τῷ θυσιαστηρίῳ λειτουργοῦσιν, οὓς ἐκκρίτους, οἶμαι, καλεῖ· τοὺς δὲ ἄλλους, ἄλλην τινὰ ἐκτελεῖν λειτουργίαν. καὶ σημείωσαι κἀντεῦθεν τὸν ἀρχαϊσμὸν τοῦ πατρός· καὶ ὅτι σὺν τοῖς διακόνοις τὸν ἄρτον οἱ πρεσβύτεροι προτιθέασι. ἔστω δὲ καὶ πανταχοῦ γίνεται ὀλίγων ὄντων διακόνων· ἐν ῥώμῃ δὲ οἶμαι, πάντοτε εἰκότως, διὰ τὸ μόνους ἑπτὰ τοὺς ἐκκρίτους τῷ θυσιαστηρίῳ λειτουργεῖν· τυχὸν δὲ καὶ βίῳ, τῶν ἄλλων οἱ ἑπτὰ τυγχάνουσιν ἔκκριτοι.

Τῆς καθολικῆς) ὅτι καὶ τότε πίστεως τι σύμβολον προελέγετο· μᾶλλον δὲ ὅπερ τότε παρελάμβανον μάθημα καὶ σύμμαθημα τῆς πίστεως.



Ministerio de Educación, Cultura y Deporte

Τῶν ἱερῶν πτυχῶν) ὧδε οὐ πρῶτα τὰ δίπτυχα παρ' ἡμῖν, ἐπὶ δὲ τοῦ πατρὸς τούτου, μετὰ τὸν ἀσπασμὸν τὰ δίπτυχα ἐλέγετο, ὥσπερ καὶ ἐν ἀνατολῇ.

Οἱ τῶν λειτουργῶν ἔκκριτοι) ὅτι οἱ πρῶτοι τῶν διακόνων μόνοι παρεῖσιν) τῷ θυσιαστηρίῳ· τάχα δὲ καὶ οἱ ἐν βίῳ τούτων ἔκκριτοι.

Καὶ ὑπ' ὄψιν ἄγει) τουτέστι, ἐκφωνίζει τὰ ὑμνούμενα· οἷον, ὅτι τόδε καὶ τόδε, χριστοῦ· καὶ τόδε καὶ τόδε, χριστοῦ. ὑποδείκνυσι δὲ καὶ τὰς ἐπὶ τούτοις θείας δωρεάς· οἷον, ὅτι εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ ὅσα τοιαῦτα μυστικά. τάχα δὲ τὸ ὑπ' ὄψιν, τοῦτο σημαίνει, ὡς τότε ἀποκαλυπτομένων τῶν ἁγίων δώρων, μετὰ τὰς εὐχάς, μενόντων δὲ κεκαλυμμένων, ἕως καιροῦ μεταλήψεως. ἢ τάχα, τὸν κουφισμὸν καὶ τὴν ὕψωσιν τῆς μιᾶς εὐλογίας, τοῦ θείου ἄρτου φησίν, ὃν ὑψοῖ ὁ ἱερεὺς, λέγων, τὰ ἅγια τοῖς ἁγίοις, ὅπερ καὶ μᾶλλον ἐστὶν ἀληθές, ὡς περὶ τὸ τέλος τοῦ κεφαλαίου εὑρήσεις εἰρημένον.

Τὰς εἰκόνας, ἐν τάξει) εἰκόνας ἐκάλεσε τῶν ἀληθῶν, τὰ νῦν τελούμενα ἐν τῇ συνάξει.

Ὡς οὐδὲ τῶν συμβόλων) ὅτι σύμβολα ταῦτα, καὶ οὐκ ἀλήθεια.

Αἱ μὲν γὰρ ἱερώταται) ἤ οἱ ψαλμοὶ, καὶ τὰ ἀναγνώσματα.

Εἰς μνήμην) ὅτι μετὰ τὸ δεῖπνον λαβὼν ἄρτον, καὶ τὰ ἑξῆς· καὶ ὅτι ὁ θάνατος αὐτοῦ καταγγέλλεται, ἄχρις οὗ ἔλθῃ, κατὰ τὸν ἀπόστολον καὶ αὐτὸν τὸν κύριον φάσκοντα, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ τὰ ἑξῆς. καὶ σημείωσαι, ὅτι ἀρχισύμβολον ἔφη, τὸ μυστικὸν τοῦ κυρίου δεῖπνον, τῶν νῦν θείων μυστηρίων· καὶ ὅτι τὸν ἀναξίως μεταλαμβάνοντα τοῦ ἄρτου καὶ τοῦ ποτηρίου, οὐδὲν ἡ μετάληψις ὠφελεῖ. μᾶλλον μὲν οὖν

Ministerio de Educación, Cultura y Deporte

καὶ εἰς κρίμα αὐτοῦ λήψεται, κατὰ τὸν ἀπόστολον· ἐκ δὲ τῶν ἑξῆς, εὐλόγως ἄν τις φαίη, ὅτι μετὰ τὸ ἐξελθεῖν τὸν ἰούδαν ἐκ τοῦ δείπνου, παρέδωκεν ὁ χριστὸς τοῖς μαθηταῖς τὸ μυστήριον.

Ομολογουμένως τὰ ἱερὰ) τὸν ἰούδαν φησί· καὶ σημείωσαι, ὅτι καὶ αὐτῷ μετέδωκε τοῦ μυστικοῦ ἄρτου καὶ τοῦ ποτηρίου· τὰ δὲ μυστήρια, τοῖς μαθηταῖς, μετὰ τὸ ἐξελθεῖν τοῦ δείπνου τὸν ἰούδαν, ὡς ἀναξίου τούτων ὄντος αὐτοῦ.

Ως ἡ καθ᾽ ἕξιν) καθ᾽ ἕξιν, ἐν τούτοις, τὸ κατ᾽ ἐπίγνωσιν δηλοῖ, τουτέστι τὸ ἐνδιαθέτως οὕτως ἔχειν, καὶ οὐ κατὰ μόνην τὴν σωματικὴν προσέλευσιν, ἀλλὰ κατὰ τὴν τῆς διανοίας διὰ πίστεως καὶ αἰσθήσεως πνευματικῆς.

Απὸ τῶν αἰτιατῶν) τουτέστι τὸ ἀπὸ τῶν ὁρατῶς τελουμένων, ἐπὶ τὰ ἀόρατα καὶ μυστικά· ἅπερ τῶν ἐν αἰσθήσει, αἴτιά εἰσι καὶ ἀρχέτυπα· αἴτια δὲ λέγονται, τὰ ἔπρωθεν τὸ ὁπωσοῦν εἶναι τὴν αἰτίαν ἔχοντα. ἢ ἀπὸ τῶν αἰτιατῶν εἰς τὰ αἴτια, τουτέστιν ἀπὸ τῶν αἰσθητῶν συμβόλων, ἐπὶ τὰ νοητὰ καὶ νοερά· ἤγουν, ἀπὸ τῶν ἀτελεστέρων, εἰς τὰ τελεώτερα· ἢ, ἀπὸ τῶν τύπων, ἐπὶ τὴν εἰκόνα· καὶ ἀπὸ ταύτης, ἐπὶ τὴν ἀλήθειαν· σκιὰ γὰρ, τὰ τῆς παλαιᾶς· εἰκὼν δὲ, τὰ τῆς νέας διαθήκης· ἀλήθεια δὲ, ἡ τῶν μελλόντων κατάστασις.

Κᾶτα τὴν ἱερὰν) κᾶτα παροξυτόνως· δηλοῖ δὲ τὸ, καὶ τότε.

Των ἀγαλμάτων) ἀγάλματα μὲν φησὶ τὰς εἰκόνας τῶν ἀοράτων καὶ μυστικῶν, ἤγουν, τὰ συμβολικῶς τελούμενα· πρῶτον δὲ τούτων, τὸ τῆς συνάξεως μυστήριον, ἀπεκάλεσε· οὗ τινος τὸ νοητὸν, ἤγουν τὸ κατὰ θεωρίαν δηλούμενον, ἀπογυμνοῦν ἐπαγγέλλεται.

Η τε γὰρ ὑπὲρ πάντα) ἰδοὺ εἷς τρόπος τῆς θεωρίας τοῦ προκειμένου κεφαλαίου.



Ministerio de Educación, Cultura y Deporte

Οὐκ ἔξω τῆς) σημείωσαι τὴν κατ' οὐσίαν ἀκίνητον στάσιν, καὶ ὅτι θεοῦ τύπος ὁ ἐπίσκοπος. σημείωσαι, ὅτι κατὰ τρεῖς τρόπους ἀνάγεται τὰ περὶ τοῦ θυμιάματος· ἀπὸ τοῦ θυσιαστηρίου ἀρχόμενον τὸν ἱεράρχην, καὶ πάντα τὸν ναὸν περιελθόντα, εἰς αὐτὸ πάλιν ἀποκαθίστασθαι.

Ωσαύτως) τρόπος ἕτερος.

Τρόπον, ὁ θεῖος) τρόπος τρίτος τῆς προκειμένης θεωρίας, πῶς καὶ ἐπὶ τοῦ ἐπισκόπου ἀπὸ τοῦ ἑνὸς πληθύνεται· τοῖς δὲ ἥττοσιν, ἀκατάσχετός ἐστι, τουτέστι μὴ ἐπικοινῶν τοῖς χείροσιν.

Η δὲ τῶν ψαλμῶν) ἤ οἱ ψαλμοί. καὶ σημείωσαι τὸ συνοισιωμένην. ἀλλὰ τὸ σχεδὸν προσέθηκεν· οὐ γὰρ ἀλλήλοις ἥνωται ταῦτα κατ' οὐσίαν, ἀλλὰ τῷ πρὸς ἕνα σκοπὸν τὰ πάντα συντελεῖν, τουτέστιν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἔφη τὸ συνουσιωμένην· ὅθεν εὐθὺς ἐπήγαγε τὸ σχεδὸν, κολάζων τὴν ἀπὸ τῆς λέξεως ἐναντίωσιν· κατωτέρω δὲ, μίαν ἔμπνευσιν φησὶ, τουτέστι, μίαν σύμπνοιαν, ὃ δηλοῖ τὸ, ἕνα πάντων εἶναι σκοπόν.

Πᾶσα μὲν γὰρ ἱερὰ) τῶν τῆς παλαιᾶς βιβλίων κατ' ἐπιδρομὴν ἐπίμνησις.

Τῶν αἰνιττόντων) λυπούντων, ὡς ἐπὶ τοῦ ἰὼβ.

Ερώτων ᾄσματα) περὶ τοῦ ἔρωτος τῶν ᾀσμάτων.

Η τὰς ἀνδρικὰς) ἐντεῦθεν ὁμοίως τὰς νέας εἰσάγει.

Αγαπητοῦ καὶ) νομίζω ὡς τὴν ἀποκάλυψιν τοῦ θείου ἰωάννου δηλοῖ ἢ τὸ εὐαγγέλιον αὐτοῦ, ὃ καὶ μᾶλλον.

Συνερρίζωσεν) συνείλκυσεν.

Η δὲ τῶν θείων) ὁ σκοπὸς τῶν ψαλμῶν ἐστὶ, φησὶ, τὸ ὑμνῆσαι θεόν τε καὶ τοὺς αὐτοῦ γνησίους θεράποντας, ὑπαγορευτικὴν τῶν τοιούτων καὶ περιεκτικὴν ἐχόντων δύναμιν· ἥτις, φησὶν,

Ministerio de Educación, Cultura y Deporte

ἀναγκαίως ἐν πᾶσι τοῖς ἱερατικῶς τελουμένοις παραλαμβάνεται, ἔμμονον τὴν τῶν ψαλμῶν μνήμην ἐμποιοῦσα τοῖς ψάλλουσι.

Θεουργίας) μεγαλειότητας.

Καὶ τῇ τῶν θείων ᾠδῶν) σημείωσαι, ὅτι τὸ τῆς ψαλμῳδίας σύμφωνον, ὁμοφροσύνης τῆς πρὸς θεὸν καὶ ἑαυτοὺς ὑπάρχει διδασκαλία.

Συντετμημένα δὲ) ὅτι τὰ συντετμημένα, τουτέστι τὰ ἀσαφῆ, διὰ τῶν ἐπιτελουμένων συμβόλων σαφηνίζεται· τοῦτο γὰρ δηλοῖ τὸ εὐρύνεται. σημείωσαι δὲ, ὅτι τὰ συνεσκιασμένως ἐν τοῖς ψαλμοῖς λεγόμενα, διὰ τῆς τῶν γραφῶν ἀναγνώσεως, σαφηνίζεσθαι λέγει ὁ πατήρ.

Εν ταύταις) ἐν ταύταις γὰρ ταῖς γραφαῖς δηλονότι, ὁ ἀκριβῶς ἐνορῶν, γινώσκει ὅτι ἓν ἐστὶ τὸ αὐτὸ πνεῦμα πάσας ἐλάλησε.

Κηρύσσεται) ὡς σαφηνίζουσα δι᾽ ἑαυτῆς τὴν παλαιάν.

Η μὲν, ἔφη, τὰς) ὡς ἡ μὲν, ἡ παλαιὰ διαθήκη, ἔφη· ἡ δὲ νέα ἐτέλεσε.

Τῆς θεολογίας) σημείωσαι, ὅτι τὴν παλαιὰν γραφὴν, θεολογίαν καλεῖ· τὴν δὲ καινὴν, θεουργίαν.

Καθόλου τῶν) οἱ καθόλου ἀκατήχητοι καὶ ἀνήκοοι τούτων μεῖναι ἑλόμενοι ἑκουσίως.

Τῆς θεογενεσίας) τουτέστι, τοῦ ἁγίου βαπτίσματος.

Τοῖς δὲ κατηχουμένοις) περὶ τῶν κατηχουμένων, καὶ ἐνεργουμένων, καὶ ἐν μετανοίᾳ ὄντων, καὶ τίνων μετέχουσιν.

Η μὲν οὖν ἐσχάτη) ὅτι οἱ κατηχούμενοι, ἔσχατοί εἰσιν.

Αμέθεκτοι) ἀμέτοχοι.

Μαινόμενοι) ἀναγινωσκόμενοι.

Αμβλωθρίδια) νεκροτόκια.



Ministerio de Educación, Cultura y Deporte

Ἀνίερος μὲν καὶ αὕτη) ἀτελείωτος. σημείωσαι, ὅτι τοῖς ἐνεργουμένοις κατατάττει καὶ τοὺς τοῖς σωματικοῖς θελκτηρίοις ἀμετανοήτως ἐπιμένοντας, οἷον τοὺς πόρνους, τοὺς φιλοθεάμονας, καὶ τοὺς τὰ παραπλήσια μετιόντας, οὓς ἐξονομάζων ὁ θεῖος ἀπόστολος ἐπιφέρει, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ταῦτα καὶ ἐν τοῖς ἑξῆς μᾶλλον τρανοῖ. ἰστέον δὲ ὅτι ἡ ἀκρίβεια αὕτη νῦν τῆς τῶν τοιούτων διαστολῆς τε καὶ διαστάσεως οὐ γίνεται.

Ὁ τοιοῦτός ποτε) σημείωσαι, ὅτι ὁ θεῷ ἡνωμένος, οὐκ ἐνεργηθήσεται ὑπὸ ἀκαθάρτου πνεύματος.

Ἐναγεστάτην ἐνέργειαν) ὅτι ὑπὲρ τοὺς καταπίπτοντας δαιμονῶσιν οἱ ἀσελγεῖς.

Τὰ μὲν ὄντως) ὅτι τὰ ὄντως ὄντα, τὰς ἀρετὰς λέγει.

Τὴν πρόσυλον) ἐπειδὴ καὶ ἡ ὕλη, πολυπαθῶς ἀλλοιοῦται.

Ἐν τοῖς ἀλλοτρίοις) σημείωσαι, ὅτι ἀλλότρια ἡμῶν ἐστὶ τὰ πρὸς ἁμαρτίαν· οὐ γὰρ φυσικὴ ἡμῶν ἐστὶν ἡ ἁμαρτία, ἀλλ' ἡ εἰς πᾶν ἔργον ἀγαθὸν ἐπιτηδειότης, κατὰ τὸν ἀπόστολον καὶ τὸ ἐν ψαλμοῖς, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. ἔνθεν νοεῖς καὶ τὸ εἰρημένον παρὰ κυρίου. εἰ δὲ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐχ εὑρέθητε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει. διὰ τοῦτο καὶ τὰ ἀλλότρια ταῦτα, οὐκ ὄντα λέγεται· οὐ γὰρ τῆς φύσεώς εἰσιν, ἀλλὰ νόθα· τὸ δὲ κατὰ φύσιν πράττειν, ὄν ἐστι, καὶ ἡμέτερον. Ἄλλως. Ἀλλότρια ἔφη, τὰ κατὰ κόσμον, ὡς οὐ τινος ἰδικῶς, ἀλλ' ἐξ ἄλλων εἰς ἄλλους μεταπίπτοντα, ἢ καὶ ὡς οὐκ οὔσης ἐν τούτοις διὰ παντὸς τῆς ἡμετέρας διαγωγῆς, ἀλλὰ πρὸς ἕτερον βίον ὁρώσης, ἐφ' ᾧ καὶ γεγόναμεν.

Τοῦ λειτουργοῦ) τουτέστι μή τινες τῶν ἐνεργουμένων ἐμπαθῶσιν, ὡς ἑξῆς φησιν.

Ἡ τῶν ἐμπαθῶς) ἀπόδειξις ἐναργής.

Ministerio de Educación, Cultura y Deporte

Ἐπειδὴ δὲ τοῦ θείου) περὶ τῆς τάξεως τῶν ἀπολυομένων.

Ἀμύητοι τε) οἱ κατηχούμενοι, οἱ ἀσελγεῖς.

Δείματά τε) ἐκτυπώσεών τε χλευάσματα.

Δι' ἀνανδρίαν) σημείωσαι, πόθεν φησὶν ὑπὸ δαιμόνων ἐνοχλεῖσθαι τινὰς τῶν πιστῶν.

Ἕξει καὶ ἔρωτι) οἱονεὶ τῇ μετανοίᾳ.

Οἱ πανίεροι) οἱ πιστοὶ, καὶ πρὸς θεὸν, καὶ πρὸς ἀλλήλους ἑνούμενοι.

Καθολικὴ) καθολικὴν ἔφη τὴν ὑμνολογίαν, ἢ ὡς ὑπὸ πάντων ᾀδομένην, ἢ ὡς ὑπὲρ καθολικῆς χάριτος γινομένην.

Τὸν ὕμνον δὲ τοῦτον) σημείωσαι, ὅτι τὸν ὕμνον, σύμβολον, καὶ ὁμολογίαν, καὶ εὐχαριστίαν ἐκάλεσε.

Δοκεῖ γάρ μοι) πρὸς τί ὥρας ὁρᾷ τὸ σύμβολον.

Τὴν μὲν οὐσίαν) τουτέστι κατὰ τὸν τοῦ ἀποστόλου λόγον εἰπόντος, πάντα γὰρ ἡμῶν ἐστίν. ἀρχέτυπα δὲ κάλλη φησὶ, τὰ τῇ θείᾳ φύσει ἐπιθεωρούμενα, ὧν τὴν κατὰ τὸ ἐνδεχόμενον μετουσίαν τοῖς ἀνθρώποις ἐδωρήσατο· ἢ τὸ κατ' εἰκόνα λέγει καὶ καθ' ὁμοίωσιν.

Ἐπισκευαστοῖς) τουτέστι, τοῖς ἐξ αὐτοῦ κατασκευαζομένοις ἀγαθοῖς εἰς ἡμᾶς.

Παντελεῖ τῶν) σημείωσαι τί φησι περὶ χριστοῦ, ἤγουν τῆς τελείας αὐτοῦ ἐνανθρωπήσεως, τε κατὰ ἀπολιναρίου.

Ὁ θεῖος ἄρτος) σημείωσαι, ὅτι οὐ μόνον ὁ ἅγιος ἄρτος κεκαλυμμένος προετίθετο, ἀλλὰ καὶ τὸ θεῖον ποτήριον, ὅπερ νῦν οὐ γίνεται.

Θειότατος ἀσπασμὸς) σημείωσαι, διὰ τί ὁ ἀσπασμὸς δίδοται.

Ἐπιθυμίας, ἐξ) σημείωσαι, ὅτι αἱ ἐμπαθεῖς ἐπιθυμίαι, μεριστικαί εἰσι, μερίζουσαι ἡμᾶς, καὶ τοῦ θεοῦ, τε ἀλλήλων· τάχα

Ministerio de Educación, Cultura y Deporte

δὲ καὶ ἑαυτῶν.

Ὁμοειδεῖς ἀπέχθειαι) τουτέστι, πρὸς τοὺς ὁμοίους ἀνθρώπους.

Πτυχῶν) διὰ τὸ μετὰ τὸν ἀσπασμὸν δίπτυχα ἀναγινώσκεται.

Τοὺς ὁσίως) σημείωσαι, ὅτι τὰ δίπτυχα τῶν ἀποθανόντων ἐπὶ αὐτοῦ μόνον ἀνεγινώσκετο.

Ἡ θεολογία φησὶ) ταῦτα ἐκ τῆς λεγομένης σοφίας Σολομῶντος. καὶ σημείωσαι, ὅτι καὶ οὗτος ὁ ἅγιος πατὴρ, ταύτῃ ἐχρήσατο.

Σκόπει δὲ) τοῦτο φησὶν, ὅτι τὸ λεγόμενον ἐν προφήταις ἀναμνῆσαι ἐνώπιον κυρίου, οὐχ οὕτω δεῖ νοεῖν, ὡς τῆς μνήμης τοῦ θεοῦ ἀνανεουμένης ἐν τῇ φαντασίᾳ τοῦ μνημονικοῦ, ὅπερ ἐπὶ τῶν ἐν σαρκὶ προσδεδεμένων νοερῶν, τουτέστιν ἡμῶν συμβαίνει, ἀλλὰ μνήμη θεοῦ εἰκότως λέγοιτ' ἂν ἡ γνῶσις τοῦ θεοῦ, καθ' ἣν γνώσκει τοὺς τελείους, θεοειδεῖς ἐν αὐτῷ γενομένους διὰ ἐναρέτου βίου, καὶ ἀξιωθέντας τῆς ἀνεπιλήστου περὶ αὐτὸν γνώσεως.

Συμβόλων) τοῦ σώματος καὶ αἵματος.

Ὕδατι τὰς) ἢ τὸ νίψασθαι τὰς χεῖρας, καὶ πότε.

Φησὶν, ὁ λελουμένος) Σημείωσαι, πῶς λαμβάνει ὁ πατὴρ τὸ τοῦ κυρίου ῥητὸν, τὸ λέγον, ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι. ἡ δὲ σύνταξις τῶν προκειμένων, πρὸς τὸ ὑπαγνίζεται τὴν ἀπόδοσιν ἔχει, ἵν' ᾖ τὸ λεγόμενον οὕτως, ὅτι μὲν τόδε καὶ τόδε ἐστὶν, ὑπαγνίζεται· ὁ λουτὴρ μὲν, ἐν τῇ νομικῇ λατρείᾳ· ἐν δὲ τῇ καθ' ἡμᾶς, ἡ τῶν χειρῶν ἀπόνιψις. τὸ δὲ ἄκρως καὶ ἀπόλυτος δηλοῖ, ὡς τῇ ἥττονι οὐκ ἐνεχθήσεται ἀφῇ καὶ διαθέσει. Ἄλλως. ἡ καθ' ὑπέρβασιν τῆς συντάξεως ταύτης ἀνάγνωσις, οὕτως ἁρμοσθήσεται. ὅτι μὲν οὖν, ὡς τὰ λόγια φησὶν, ὁ λελουμένος οὐ δεῖται τινὸς καθάρσεως,

Ministerio de Educación, Cultura y Deporte

εἰ μὴ τῆς τῶν ἄκρων, εἴπου ἐσχάτων ἑαυτοῦ νίψεως, διʼ ἧς ἀκροτάτης καθάρσεως ἐν παναγνῷ τοῦ θεοειδοῦς ἕξει, ἄχραντον ποιήσεται καὶ ἀκηλίδωτον τὴν ἐπιστροφὴν, καὶ πρὸς τὰ δεύτερα προϊὼν ἀγαθοειδῶς, ὡς τοῦ θεοειδοῦς ἀποσῶζον τὸ πλῆρες καὶ ὁλόκληρον, ἄσχετος ἔσται καὶ ἀπόλυτος, ὡς καθάπαξ ἑνοειδὴς, καὶ πρὸς τὸ ἓν αὐτῆς ἑνιαίως ἐπιστρεφόμενος.

Εἰ μὴ τῆς τῶν ἄκρων) ὅ ἐστι τὸ μὴ δεῖσθαι τὸν λουσάμενον ἑτέρας νίψεως, εἰ μὴ τὰ ἄκρα νίψασθαι. δεύτερα δὲ φησὶ τὰ αἰσθητὰ, εἰς ἃ διὰ φαντασίας προσπάσχει ἡ ψυχή.

Ο μὲν ἱερὸς) σημείωσαι, ὅτι ὁ λουτὴρ ἦν ἐν τῷ νόμῳ, καὶ ὅτι σύνταγμα ἔχει δηλοῦν περὶ τῆς κατὰ νόμον ἱεραρχίας, ὅπερ οὐ φέρεται.

Τοῦ ἱεράρχου) σημείωσαι τὸ ἔνθεον τοῦ ἱερέως.

Ιερουργίαν, ἀποκεκαθάρθαι) τῇ θείᾳ ἱερουργίᾳ, δηλονότι.

Εσόπτρων ἀγλαΐαν) ἔσοπτρα φησὶ τὰς τῶν ἁγίων ψυχὰς, ὡς τοῦ θείου φωτὸς δεκτικὰς, καὶ τῆς κρείττονος λήξεως ἀφομοιωτικάς.

Εφιέντων διϊέναι) καὶ νῦν ἀττικίζων, ὡς ἀθηναῖος, συνέταξε τὸ ῥητὸν φάσκων, τῶν μαρμαρυγῶν ἐφιέντων τὴν οἰκείαν αἴγλην, δέον πρὸς θηλυκὸν τῶν μαρμαρυγῶν ἐφιεισῶν εἰπεῖν, ὃ δὴ καὶ ἄνω ἐν τῷ κεφαλαίῳ ζ. τοῦ περὶ οὐρανίας ἱεραρχίας βιβλίου, πλατύτερον ἐδείξαμεν ὡς ἀττικὸν τὸ σχῆμα. ἐκεῖ οὖν ἀνάγνωθι.

Η δὲ τοῦ ἱεράρχου) σημείωσαι, διὰ τί ἐπὶ τοῦ θυσιαστηρίου νίπτεται ὁ ἱεράρχης, ἤτοι ἐπὶ τῶν ἁγίων, τουτέστιν ἔμπροσθεν αὐτῶν.

Καὶ τῆς ἀκροτάτης) τῆς ἄκρας καθάρσεως δηλαδή.

Καὶ ὑπ᾽ ὄψιν) μᾶλλον τότε ἔμενον κεκαλυμμένα τὰ θεῖα

Ministerio de Educación, Cultura y Deporte

δῶρα, ἕως καιροῦ τῆς ἁγίας μεταλήψεως· καὶ τοῦτο δηλοῖ μετ' ὀλίγα. ἢ τό γε ἀκριβὲς, ὅτι κουφίζων ὁ ἱεράρχης τὸν ἅγιον ἄρτον, ἐδείκνυ τὴν εὐλογίαν, λέγων, τὰ ἅγια τοῖς ἁγίοις.

Τίνας μὲν οὖν) τὰς εἰς ἡμᾶς προνοίας πάσας ὀλίγοι ἴσασι· τάχα δὲ οὐδὲ ὀλίγοι. καὶ περὶ τίνος ἡ προσκομιδή.

Αρωγὸν) βοηθόν.

Τὴν ἀνθρωπίαν) περὶ τῆς τῶν ἀνθρώπων ἀποπτώσεως.

Υπερβασία) παραβασία.

Οἰκείαις ῥοπαῖς) ὅ ἐστιν αὐθαιρέτως. ἡ δὲ σύνταξις πρὸς τὰ ἄνω εἰρημένα ἐστίν· ἔστι γὰρ, ὅτι τὴν ἀνθρωπίαν φύσιν, ἡ πολυπαθεστάτη ζωὴ διαδέχεται· τὰ δὲ ἄλλα, διὰ μέσου· ἀπὸ τοῦ ἀκολούθως γὰρ, ἕως τοῦ, ἔνθεν ἐλεεινῶς.

Θελκτικαῖς) θεραπευτικαῖς.

Τὸ τῆς ἀρχῆς) ἐπειδὴ καὶ ἀρχὴν τῆς συστάσεως, ἐκ γῆς ἔχομεν· τὸ γὰρ σωματικὸν ἡμῶν ἐξ αὐτῆς· εἰκότως μετὰ τὴν παράβασιν, καὶ τὸ τέλος πρόσφορον ἔχομεν τῇ ἀρχῇ· εἰς γῆν γὰρ ἀναλύοντες· ἐπεὶ ἐρρήθη, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

Πέρας) τουτέστι τὸν θάνατον.

Αναγώγου ζωῆς) ἀνάγωγον ζωὴν, τὴν τὰ ἄνω ζητοῦσαν. καὶ πρὸς θεὸν ἐπεστραμμένην φησί.

Πολυπαθεστάτην ἀλλοίωσιν) ἥ ἐστιν ἀλλοίωσις ἐπὶ σώματος, ἐν τῷ περὶ τῶν θείων ὀνομάτων διεξήλθομεν.

Δυσμενεῖς) ταλαιπώρους.

Εἰς ἀνυπαρξίας οἰκτρῶς) εἰς ἀνυπαρξίαν δὲ, διὰ τὴν ἁμαρτίαν· ὁ γὰρ ἁμαρτωλὸς, τρόπον τινὰ οὐχ ὑπάρχει· τὸ γὰρ κακὸν, ἀνύπαρκτον.

Αὐτουργὸν ἡμῶν) σημείωσαι τὴν ἀκρίβειαν τῶν δογμάτων, ἐν πολυπληθείᾳ λέξεων φραζομένων, καὶ πολεμοῦσαν πάντας αἱρετικούς· τὸ μὲν γὰρ αὐτουργὸν δηλοῦσθαι τὴν εἰς ἡ-

Ministerio de Educación, Cultura y Deporte

μᾶς πρόνοιαν τοῦ θεοῦ, δηλοῖ, ὅτι αὐτὸς ἦν ὁ θεὸς λόγος· οὐ μὴν ἄλλος ἐν ἄλλῳ, ὡς τινὲς μαίνονται σὺν Νεστορίῳ· τὸ δὲ ἐν ἀληθείᾳ μεθέξει πάντων τῶν ἡμετέρων ἀναμαρτήτως, καὶ μανιχαίους, καὶ εὐτυχιανιστάς, καὶ ἀπολιναριστάς, καὶ ἀκεφάλους, καὶ πάντας ἁπαξαπλῶς τοὺς αἱρετίζοντας, καταβάλλει.

Ἕξεως) τὸ ἕξεως ἐνταῦθα, οὐ ποιότητός τινος ἐμμόνου νοητέον, ἀλλὰ καθέξεως καὶ διαμονῆς, ἤτοι κατασχέσεως.

Οὐ κατὰ δύναμιν) σημείωσαι, ὅτι οὐκ ἐν ἰσχύϊ ἐνίκησεν ὁ Χριστὸς τὸν σατανᾶν, ἀλλὰ κρίσει καὶ δικαιοσύνῃ. τοῦτο καὶ Γρηγόριος ὁ νύσσης ἐν τῷ κατηχητικῷ φησίν.

Ὀλβίου) πλουσίου.

Ἀνείδεον κάλλος) καὶ ἀνωτέρω οὕτως ἔφημεν, ὅτι ἀνείδεον, τὸ τῆς ἀγνοίας σκότος φησί. σημαίνει δὲ τὴν ἐλευθερίαν ἡμῶν.

Ἐναγεστάτων) μεμιασμένων.

Ἀεὶ ταῖς ἱεραρχικαῖς) τῆς θεαρχικῆς ἀγαθότητος, ὡς ἔφη ἐν ἀρχῇ τοῦ κεφαλαίου.

Ὑμνήσας δὲ καὶ) τουτέστι τὸν ἄρτον καὶ τὸ ποτήριον εὐλογῶν τῶν ἁγίων δώρων. σημείωσαι δέ, ὅτι πανταχοῦ συμβολικὴν λέγει τὴν θείαν ἱερουργίαν, καὶ τὰ ἅγια δῶρα σύμβολα τῶν ἄνω καὶ ἀληθινωτέρων.

Τὸν γὰρ ἐγκεκαλυμμένον) οὕτως καὶ περὶ ὀλίγου εἴρηται, ὅτι κεκαλυμμένον ἔμενε τὸ θεῖον δῶρον, ἕως καιροῦ μεταλήψεως· εἰ μὴ ἄρα κεκαλυμμένον λέγεται, τὸ ἀπὸ τῶν πολλῶν καὶ ἔξω ἑστώτων καὶ ἁπλῶς λαϊκῶν ἀποκεκρυμμένον.

Τὸ γὰρ ἓν καὶ ἁπλοῦν) ἐπειδὴ καὶ ψυχὴν νοερὰν καὶ σῶμα γήϊνον ἔλαβε. σημείωσαι δὲ πῶς κοινωνοὶ θείας φύσεως γινόμεθα, Χριστῷ ἑνούμενοι. σημείωσαι καὶ τὰ περὶ τῆς οἰκονομίας, καὶ τίς ὁ φανείς, καὶ τίς ἡ κλάσις τοῦ ἄρτου, καὶ διανομή.

Ministerio de Educación, Cultura y Deporte

Κατ' ἄκρον) τουτέστι κατ' ἄκραν ἕνωσιν, καὶ τελείαν, καὶ οὐσιώδη καθ' ὑπόστασιν ἀληθῆ.

Αλωβήτου) ἀβλαβοῦς.

Χρὴ γὰρ ἡμᾶς) σημείωσαι τίς ὁ σκοπὸς τοῦ χριστιανισμοῦ.

Υπ' ὄψιν ἄγειν) περὶ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐνταῦθα φησὶν, οὐ συμβολικῶς, ὃν καὶ νοητὴν ἡμῶν ἔφη ζωήν. τὸ δὲ παντελεῖ, ἐπειδὴ καὶ ψυχὴν νοερὰν καὶ σῶμα γήϊνον ἀπέλαβε. καὶ καλῶς εἶπεν ἀσυγχύτως ἐνανθρωπήσας· ἔμεινε γὰρ θεὸς ἄνθρωπος ὀφθεὶς, καὶ ἑκατέρας φύσεως σώζων τὰ ἰδιώματα. καὶ σημείωσαι κατὰ ἀπολιναριστῶν.

Εξ ἡμῶν εἰδοποιούμενον) τουτέστι τὸ καθ' ἡμᾶς εἶδος, ἤγουν τὴν φύσιν λαβόντα.

Κοινωνοὶ θεοῦ) σημείωσαι πῶς κοινωνοὶ θείας φύσεως γινόμεθα, χριστῷ ἑνούμενοι.

Εἰς εὐχαριστίαν) περὶ εὐχαριστίας.

Μεταδόσεως ἡγεῖται) κατὰ κοινοῦ τὸ ἡγεῖται, ἤγουν προηγεῖται· ὅτι πρότερον δεῖ τὸν ἱερέα μεταλαμβάνειν, καὶ οὕτω μεταδιδόναι. οὐκοῦν ἡ μετοχὴ ἡγεῖται, καὶ ἡ μετάληψις τοῦ προσκομίσαντος, τῆς μυστικῆς διαμερίσεως τῶν λοιπῶν.

Ταῖς ἐνθέοις διδασκαλίαις) ὁποῖον δεῖ τὸν ἱερέα εἶναι.

Οἱ τολμηρῶς ἀποκεχρημένοι) ὃ λέγει τοῦτό ἐστιν, ὥσπερ ὁ ἱερεὺς μὴ πρότερος μεταλαμβάνων τῶν ὑπ' αὐτοῦ προσκομισθέντων, ἀνίερός ἐστιν· οὕτω καὶ οἱ τολμῶντες διδάσκειν ἄλλους, μὴ πράττοντες ἃ διδάσκουσιν, ἀνίεροί εἰσι· δεῖ γὰρ ποιεῖν, καὶ οὕτω διδάσκειν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ κυρίου, ὁ ποιήσας καὶ διδάξας, οὗτος μέγας κληθήσεται.

Θεσμοθεσίας) τοῦ θείου νόμου.

Οὐ τολμητέον) φοβηθῆναι πάνυ.

Αρμοστὴν ἀναδεδεγμένον) τουτέστιν ἁρμόδιον. ἁρμοστὴν ἐ-

Ministerio de Educación, Cultura y Deporte

λεγον οἱ λακεδαιμόνιοι, τὸν καθιστάμενον ὑπ' αὐτῶν ἄρχοντα τῶν ὑποκειμένων αὐτοῖς πόλεων, παρὰ τὸ ἁρμόζειν τοὺς ἀρχομένους ζῆν κατὰ τοὺς νόμους· ὅθεν καὶ ἁρμοστῆρας πάλιν ἐκάλουν ἀθηναῖοι, τοὺς εἰς τὸ εὖ ζῆν διαπλάττοντας, ὡς σαφῶς πλάτων ὁ κωμικὸς δηλοῖ ἐν πρέσβεσι τῷ δράματι. καὶ ἐνταῦθα τοίνυν ἁρμοστὴν, τὸν ἄρχοντα τῆς ἐκκλησίας ἐπίσκοπον οἰκείως ὠνόμασε.

Τῇ γὰρ ἱερᾷ) σημείωσαι ὅτι ἐστὶ τὸ γεύσασθε, καὶ ἴδετε.

## ΚΕΦΑΛ. ϛ.

ΟΥτω πρὸς τὸ ἕν) τουτέστι πρὸς τὸ νοητὸν καὶ πνευματικόν.

Εὐόσμου περιαγωγῆς) ἀντὶ τοῦ θυμιάσαντος τοῦ ἐπισκόπου πᾶσαν τὴν ἐκκλησίαν.

Μελῴδημα) τὸ ἅγιος δηλονότι, ἢ καὶ τὸ ἀλληλούϊα.

Καὶ τὴν ἐπ' αὐτῷ) δι' αὐτοῦ γὰρ ἅπαν ἅγιον τελειοῦται.

Τοῖς ἱεροῖς) σημείωσαι ἀληθῶς θεῖον λόγον, ὅτι δεῖ τοὺς θείους ἄνδρας, κεκαλυμμένας ἔχειν ἀπὸ δόξης κενῆς, τὰς τῆς ἀρετῆς πράξεις.

Ἄγαλμα) εἰκών.

Εἰ θέμις) εἰ δίκαιον.

Ἐν τῇ εἰκόνι) εἰ καὶ τὸ ἀπαράλλακτον καὶ πάντῃ ὅμοιον ἔχει ἡ εἰκὼν πρὸς τὸ ἀρχέτυπον, ἀλλ' ἡ οὐσία, φησὶ, διάφορος· ἡ μὲν γὰρ, ἄψυχος· τὸ δὲ, ἔμψυχον, καὶ τὸ μὲν, ἀληθινὸν ζῶον ἔμπνουν· τὸ δὲ, τοῦ ζωγράφου ἔργον, ἐκ κηροῦ καὶ χρωμάτων. ἐν τούτῳ τοίνυν τῆς διαφορᾶς θεωρουμένης, ἡ ταυτότης ἐν ἀμφοτέροις

Ministerio de Educación, Cultura y Deporte

τῇ ὁμοιότητι διάφορος.

Ἴνδαλμα) ὁμοίωμα.

Εἰκότως) πρὸς τὸ θεῖον κάλλος δηλονότι.

Δρῶσι) πράττουσιν.

Εἰς τὸ θεαθῆναι) σημείωσαι, πῶς ἐκλαμβάνει τὸ μὴ δεῖν ἡμῶν τὰς εὐποιίας ἐκπομπεύειν.

Εἰσὶν εὐωδίας) τουτέστιν ὁ θεός· τοῦτο γὰρ ἡ εὐωδία, τὸ ἀληθῶς καλὸν ἐφ' ἑαυτοῦ ποιῶν, εἰς ἅπαντας οὐκ ἐπιχεῖται, τουτέστιν, οὐ φροντίζει κενοδόξως τῶν μὴ ἀποδεχομένων ἐπεὶ ὅτι τὰς παρ' αὐτοῦ κρίσεις, οὐδὲ ἐπιτηδεύει δόξαν ἔχειν παρὰ ἀνθρώποις.

Ὡς κρυφίων) πολλάκις ἐν τῷ περὶ θείων ὀνομάτων ἐδηλώσαμεν, τί νοητὸν καὶ τί νοερόν. τοῦτο οὖν καὶ ἐνταῦθα φησὶν, ὅτι τῷ ἐπισκόπῳ ἁγίῳ ὄντι, ὡς συγγενεῖ τοῦ θείου φωτὸς, ἀποκαλύπτει ὁ θεὸς, οὐ διὰ ἑτέρου διδασκάλου, ἀλλ' αὐτὸς αὐτὸν φωτίζων τὸ μυστήριον τῆς θεωρίας καὶ τοῦ μύρου· διὸ αὐτῷ τῷ ἐπισκόπῳ, οὐ περίκειται κάλυμμα κατὰ τοῦ θείου μύρου, ἀλλ' ἀνακεκαλυμμένῳ προσώπῳ κατὰ τὸν ἀπόστολον, θεωρεῖ τὰ μυστήρια. τοῖς δὲ μὴ τελείοις, χρεία συμβόλων· διὸ ταῖς πτέρυξι κεκαλυμμένον γίνεται τὸ ἅγιον μύρον τοῦ θεοῦ, διὰ τοῦ ἱεράρχου μεσιτεύοντος εἰς τὰ πρὸς θεὸν καὶ τὸν λαὸν, καὶ διὰ τῆς ἑρμηνείας ἀνακαλύπτοντος τὰ σύμβολα. θεωροὺς δὲ καλεῖ τοὺς ἐπισκόπους, ἐπειδὴ καὶ παρ' ἕλλησι θεωροὶ ἐκαλοῦντο οἱ προβαλλόμενοι παρὰ πάντων ἐρωτᾶν τὸν θεὸν περὶ μελλόντων, καὶ θυσίας ὑπὲρ αὐτῶν προσφέρειν, καὶ ἐξιλεοῦσθαι ὑπὲρ αὐτῶν. ἀνομοίους δὲ καλεῖ, τοὺς ἀπλοῖς τοῦ λαοῦ· τοῦτο γὰρ αὐτῷ ἔθος.

Αἰνιγμάτων) διὰ αἰνιγμάτων γὰρ καὶ συμβόλων, πρὸς τὴν ἑαυτῶν ἀσθένειαν αὗται αἱ τάξεις φωτίζονται.

Τῆς

Ministerio de Educación, Cultura y Deporte

Τῆς τῶν ἱεραρχικῶν) τελειοῖ γὰρ πάντα τὸ θεῖον μύρον ἐπιχριόμενον, ὥσπερ ἡ μετάληψις τοῦ ἁγίου σώματος καὶ αἵματος.

Τῶν θείων τὴν) πάντες γὰρ οἱ εὐωδιαζόμενοι, τῆς θείας μυστικῆς εὐωδίας μεταλαμβάνουσιν ἀναλόγως.

Ἐνεργουμένων) τῶν δαιμονώντων καὶ εἰς ἀσέλγειαν τετραμμένων, περὶ ὧν καὶ ἐν τῷ περὶ τούτου κεφαλαίῳ φησί. ποίαν δὲ λέγει, οἱονεὶ θόρυβον, φόβον, πτόησιν, ἀπάτην.

Τοῖς δὲ εἰς νοῦν) διὰ τοὺς ἐν μετανοίᾳ φησίν.

Ἁγίοισιν) εὔτακτος ἀκολουθία, καὶ ἀνάβασις τοῖς ἁγίοις κατάλληλος.

Τὸ ἑνοειδὲς) τὸ ἑνοειδές φησι, τὸ πρὸς τὸ ἕν, ἤγουν τὸν θεῖον ὁρῶντα αὐτὸν νοῦν, ὃν καὶ ἑνοῦσθαι λέγει πρὸς αὐτὸ τὸ ἕν, καὶ τῆς τούτου ἀποπληροῦσθαι ἑνώσεως.

Τί δὲ) κατ' ἐρώτησιν ἀνάγνωθι τὸ χωρίον.

Εἰ γὰρ ἡ τῶν) ὅτι ἡ αἰσθητὴ εὐωδία, τρέφει τὴν αἴσθησιν, καὶ εὐκλεῖν ποιεῖ.

Κριτικοῦ) κριτικόν φησι, τὸ τῆς ψυχῆς διακριτικόν, ἤτοι τὸ νοερόν, ὅπερ εἰ μὴ τῆς ἐπὶ τὸ χεῖρον ῥοπῆς καθαρεύοι, οὐκ ἂν ἐν αἰσθήσει τῆς θείας εὐωδίας γενήσεσθαι λέγει.

Ὄλβον) πλοῦτον.

Ἡδόμενοι) ἀντὶ τοῦ εὐωδιαζόμενοι.

Τῆς κατὰ νοῦν) τὸ κατὰ νοῦν, ἐπὶ ἀγγέλων.

Δυοκαιδεκάδι σημαίνεται) τίνος τύπος αἱ ιβ. πτέρυγες. σημείωσαι δὲ τὸ μέγεθος τῶν σεραφίμ.

Θεολογίαν) ἅγιος ἅγιος ἅγιος.

Κακίας τε ἅμα) σημείωσαι, ὅτι οὐ μόνον κακίας, ἀλλὰ καὶ λήθης ἀμετόχους τὰς ἄνω δυνάμεις φησὶν ὁ πατήρ.

Ἐπιστήμην) καλῶς συνῆψε τῇ ἐπιστήμῃ τὴν νόησιν· ἡ γὰρ ἀκριβὴς περὶ ὁτουοῦν κατανόησις, ἐπιστήμην τούτου ἐργάζεται.



Ministerio de Educación, Cultura y Deporte

Τὰς μὲν οὖν) ὡς ἡ ἰδιότης τῶν σεραφὶμ, καὶ ὅτι ταύτην προεῖπε.

Τῶν ὑπερουρανίων) ἐν τῇ περὶ τῆς οὐρανίας ἱεραρχίας πραγματείᾳ φησί.

Τὸ μὲν οὖν) θεωρία τῶν ἁγίων σεραφίμ. σημείωσαι ὅλον τὸ χωρίον, ὅπως ἐκδίδωσιν ἐν αὐτῷ νοεῖν ἡμᾶς τὰ περὶ τῶν ἄνω δυνάμεων γεγραμμένα ἐν τοῖς προφήταις.

Ἐξαπλῆν θέσιν) Ἐξαπλῆν θέσιν, τὸ ἓξ εἶναι πτέρυγας φησί.

Πρῶτα καὶ μέσα) εἴρηται ἐν τοῖς περὶ τύπου, πῶς χρὴ ἐκδέχεσθαι τὰς πρώτας, καὶ μέσας, καὶ τελευταίας δυνάμεις τῶν νοερῶν.

Διάπλασιν) οὐ γὰρ ἀληθῆ πτερὰ ἔχουσι.

Τῶν πτερῶν) σημείωσαι δὲ, πῶς ἔλαβε τὰ περὶ τῶν πτερύγων τῶν σεραφὶμ, καὶ ὅτι καθ' ὅλον αὐτὰ ἔπλαττο μηδὲν ἔχοντα ὑφειμένον καὶ ταπεινόν.

Εἰ δὲ τὰ πρόσωπα) σημείωσαι ὡραιοτάτην θεωρίαν καὶ ξένην, διὰ τί οἱ σεραφὶμ τὰ πρόσωπα καὶ τοὺς πόδας καλύπτουσι τοῖς πτεροῖς, τοῖς δὲ μέσοις πέτανται.

Καὶ τοῦτο δὲ) ἑρμηνεία τῶν σεραφίμ.

Τῆς οὐσιώδους) ἐν τῷ περὶ τῆς οὐρανίας ἱεραρχίας λόγῳ ἐσαφηνίσθη, ἥ ἐστιν ἐπὶ ἀγγέλων οὐσιώδης ἕξις, ἐν ἑβδόμῳ κεφαλαίῳ.

Οὐκ ἠγνόησαν) ὅτι καὶ οἱ ἅγιοι ἄγγελοι ἴσασιν, ὅτι ὁ ἁγιάζων Ἰησοῦς, καὶ ἡγιάσθη, καὶ πότε, καὶ πῶς.

Καταληλυθότα) τουτέστιν ἄνθρωπον γενόμενον.

Πρὸς τοῦ πατρὸς) τοῦτο φησὶ, διὰ τὸ μίαν εἶναι τῆς ἁγίας τριάδος τὴν ἐνέργειαν. σημείωσαι δὲ τὴν ἀπαράβλητον ὀρθοδοξίαν τοῦ μεγάλου Διονυσίου, καὶ πῶς ἐφύλαξε τῆς θεότητος τοῦ κυρίου Ἰησοῦ, καὶ τῆς σαρκὸς τὴν διαφοράν· ὁ γὰρ

Ministerio de Educación, Cultura y Deporte

ἁγιάζων ἰησοῦς, ὡς θεὸς πάντα, καὶ αὐτὸς ὡς ἄνθρωπος ἡγιάσθη ὑπό τε τοῦ πατρὸς, καὶ ὑφ' ἑαυτοῦ, ἐπεὶ δὲ θεὸς καὶ ὑπὸ τοῦ ἁγίου πνεύματος, εἰδυῖαι καὶ τῶν οὐρανίων τάξεων τὴν ἰδίαν ἀρχὴν, τουτέστι, τὸν αἴτιον αὐτῶν καὶ τὸν δημιουργὸν τὸν ἰησοῦν, ὅτι καὶ ἁγιάζεται, ἀλλ' οὐδὲ οὕτως ἔχει τὸ κατ' οὐσίαν ἀναλλοίωτον· θεὸς γάρ. σημείωσαι δὲ, ὅτι τὴν οἰκείαν οἶδεν ἀρχὴν, ἐκ τῆς θεουργίας αὐτοῦ.

Σεραφὶμ περιΐστησι) σημείωσαι, διὰ τί τῷ θείῳ μύρῳ περιΐστανται τὰ ἑξαπτέρυγα. ἀπαράλλακτον δὲ εἶπεν. ἢ ὡς πρὸς τὸ κατὰ πάντα τῆς καθ' ἡμᾶς φύσεως ὁμοιωθῆναι ἡμῖν χωρὶς ἁμαρτίας· ἢ ὡς μὴ ὑπομείναντα παραλλαγὴν, ἢ τροπῆς ἀποσκίασμα κατὰ τὴν θεότητα, ἐν ᾧ προσλαβεῖν τὸ ἀνθρώπινον. σημείωσαι δὲ τὴν ὁλικὴν ἐνανθρώπησιν, διὰ τοὺς ἄνουν αὐτὸν λέγοντας.

Τὸν ἁγιαζόμενον) μᾶλλον τότε οὕτως ἐφέρετο ἐν τῇ πρὸς ἑβραίους· ὅ, τε γὰρ ἁγιάζων δὲ ὁ ἁγιαζόμενος.

Τὸ μύρον) διὰ τί σταυροειδῶς τὸ μύρον ἐν τῷ βαπτιστηρίῳ ἐκχεῖται.

Ὑπ' ὄψιν ἄγει) αὕτη τοῦ φανερῶς κηρύττει.

Θεογενεσίας καταδεόμενον) ἀνέστη γὰρ τριήμερος, μὴ κρατηθεὶς ὑπὸ τοῦ θανάτου.

Ἀκρατήτῳ) ἀνέστη γὰρ τριήμερος μὴ κρατηθείς.

Τοὺς εἰς τὸν θάνατον) ἔστι γὰρ ἀπόκρυφος ἡ ἀπολογία τοῖς πολλοῖς τοῦ μυστηρίου, διὰ τί τὸ εἰς χριστὸν βάπτισμα, ὅτι περ εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα.

Ἀνθρωποπρεπῶς) σημείωσαι δὲ ἐντεῦθεν, ὅτι ὁ χριστὸς, καὶ ὡς ἄνθρωπος, δέχεται τὸ πνεῦμα τὸ ἅγιον ἁγιαζόμενος· καὶ ὡς θεὸς, δίδωσιν αὐτό. σημείωσαι δὲ τὸ τῆς οὐσιώδους θεότητος, καὶ ὅτι ἀναλλοίωτος ἔμεινεν.



Ministerio de Educación, Cultura y Deporte

Ἕξει τὸ θεότατον) εἰ ἐπὶ τῶν ἀγγέλων οὐσιώδεις ἕξεις ἀκούοντες, οὐ ποιότητας ἔξωθεν κατὰ συμβεβηκὸς ἐπιγινομένας νοοῦμεν, ὡς καὶ περὶ ὀλίγου εἴρηται, καὶ ἐν τῷ περὶ τῆς οὐρανίας δὲ ἱεραρχίας λόγῳ κεφαλαίῳ ἑβδόμῳ διεσαφήσαμεν· πολλῷ μᾶλλον ἐπὶ τοῦ καὶ ὑπὲρ οὐσίαν κυρίως ὄντος θεοῦ, τὴν ἕξιν, οὐ ποιότητα δεξόμεθα, τὴν ἐπὶ τοῖς συνθέτοις συμβαίνουσαν, ἀλλ᾽ ἕξιν οὐσιώδους θεότητος, τὴν φυσικῶς ἔχουσαν ἐξ αὐτῆς τὰ τῆς ἀγαθότητος ἅπαντα. πῶς δὲ σημαίνει, ὅτι καὶ ἡ θεότης, οὐκ αὐτοουσία ἐστὶ τοῦ θεοῦ, ἀλλὰ τῆς οὐσίας δόξα.

Θυσιαστηρίου) ὅτι καὶ τὸ θυσιαστήριον μύρῳ τελειοῦται, καὶ διὰ τί.

Θυσιαστήριον, Ἰησοῦς) ὅτι Ἰησοῦς, ἐστὶ τὸ θυσιαστήριον. καὶ σημείωσαι τὸ μέγεθος καὶ τὸ ὕψος τοῦ τοιούτου θυσιαστηρίου, ὅπερ ἐστὶν ὁ χριστός.

Μυστικῶς ὁλοκαυτούμενοι) τὸ τέλος αἰνίττεται τοῦ πεντηκοστοῦ ψαλμοῦ.

Μύρου τελετὴν) ὅτι μύρου τελετὴ ἐκλήθη, καὶ διὰ τί.

Θεουργικῶς ἅπαντα) ὅ φησι τοῦτό ἐστι, πάσης θείας θεοφανείας καὶ ἐργασίας διὰ συμβόλων δεικνυμένης, ἀκόλουθον τὸ ἀλληλούϊα τοῦ τῶν προφητῶν μέλους τὸ σύμβολον, θεωρῆσαι τί δηλοῖ.

Φασὶν οἱ τῶν ἑβραίων) σημείωσαι κατ᾽ ἀκεφάλων.

Θεοφανείας καὶ) ποῖος λέγεται ψαλμὸς, καὶ δῆλον ὅτι εἰς τῶν ἐπιγεγραμμένων ἀλληλούϊα.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ε.

Ἀποκληρώσεις) ἀποκληρώσεις ταύτας καλεῖ, διὰ τὸ ἑκάστην τάξιν ἱερατικὴν ἀφωρισμένως ἔχειν ἱερατείας ὑπηρεσίας, ὅσας ἀποκεκληρωμένας αὐτῇ, ἃς ὑπερβῆναι οὐ δύναται· δῆλον γάρ ἐστι τὸ ἔργον τοῦ διακόνου, καὶ τῶν ἄλλων ὁμοίως. δυνάμεις δὲ καὶ ἐνεργείας ἐν τούτοις, ἔστι μὲν λαβεῖν ἐφ' ἑνὸς νοήματος, τὸ αὐτὸ δηλούντων· τὴν γὰρ τοῦ καθαίρειν καὶ φωτίζειν διδασκαλικῶς δύναμιν ἔχειν λέγονται οἱ ταῦτα ἐνεργεῖν ἀφιέμενοι. ἔστι δὲ καὶ ἑτέρως διαστείλασθαι, ὡς δυνάμεις μὲν λαβεῖν, τὰς πνευματικὰς δωρεὰς καὶ ἀξίας· ἐνεργείας δὲ, τὰς λειτουργίας· τὰς γὰρ τελειώσεις, πρόδηλον ὡς ἐπὶ τῶν καταστάσεων, ἤγουν χειροτονιῶν, ἐκληψόμεθα.

Καὶ τὴν μὲν) ἑξῆς σαφηνίζει, τίς τε ἡ τριαδικὴ διαίρεσις, καὶ τίς ἡ τριὰς τῶν ὑπερβεβηκυιῶν τάξεων, περὶ ὧν καὶ προεξέθετο ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ παρόντος λόγου. καὶ σημείωσαι, ὅτι ἐπὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας, τριαδικὴ διαίρεσίς ἐστι καὶ ὁποία.

Η καθ' ἡμᾶς ἱερὰ παράδοσις διαιρεῖται

| | | |
|---|---|---|
| εἰς μυστήριον· τοῦτο γὰρ ἡ τελετή. | εἰς μύστην. | εἰς μυουμένους. |

Η μὲν ἁγιωτάτη) ἴσως ἡ ἐν οὐρανοῖς ἱεραρχία. καὶ ὅτι τελετή ἐστι τῆς οὐρανίας ἱεραρχίας, ἡ τοῦ θεοῦ κατὰ δύναμιν γνῶσις καὶ ἕξις. μύσται δὲ ταύτης, αἱ περὶ θεὸν πρῶται τάξεις· τελούμεναι δὲ, αἱ μετ' αὐτὰς παρ' αὐτῶν μυούμεναι καὶ διδασκόμεναι τάξεις.



Ministerio de Educación, Cultura y Deporte

Μετ' ἐκείνην) Τίς ἡ κατὰ τοὺς δύο λαοὺς ἱεραρχία.

Τὴν κατὰ νόμον) περὶ τῆς κατὰ νόμον ἱεραρχίας.

Οὐκ εὐδιάκριτον) σημείωσαι, ὅτι οὐκ εὐλήπτον λέγει καὶ εὐδιάκριτον τὴν τῶν νομικῶν διαταξέων θεωρίαν καὶ ἀλληγορίαν.

Ταύτῃ δὲ τῇ κατὰ νόμον) ἧς ἡ τελετὴ τῶν ἐν νόμῳ.

Μύστου τε ἡγεμόνος (μωσέως δηλαδή.

Ἱερογραφῶν τὴν) κατὰ τὸ εἰρημένον, ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

Τὴν τελεωτέραν) περὶ τῆς νέας ἱεραρχίας τῆς ἐν ἐκκλησίᾳ λέγει, ὅτι πλήρωσίς ἐστι τῶν κατὰ νόμον. τοῦτο γὰρ ὁ ἀπόστολος ἐν τῇ πρὸς ἑβραίους φησὶ, καὶ ὁ κύριος, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι.

Τῇ μεσότητι) σημείωσαι, πῶς μέση ἐστὶν οὐρανίας ἱεραρχίας καὶ τῆς νομικῆς, ἡ ἐκκλησιαστικὴ ἱεραρχία, καὶ πῶς ταῖς δύο κοινωνεῖ, τῇ μὲν, τῷ πνεύματι· τῇ δὲ, τῷ γράμματι, τουτέστι τοῖς συμβόλοις.

Τὸ τριαδὸν) πῶς ἡ εἰς τρία διαίρεσις τῶν τάξεων.

Θεοειδεῖς τῶν ἱερῶν) τουτέστιν, εἰς ἱερὰν γνῶσιν, καὶ διδασκάλους, καὶ διδασκομένους.

Τῶν καθ' ἡμᾶς) τουτέστι τῶν ἀγγέλων.

Διαιρεῖται ἡ τῶν τελετῶν ἱερουργία,

| | | |
|---|---|---|
| εἰς κάθαρσιν, | μύησιν, | τελείωσιν. |

Ἡ τῶν ἱερουργῶν διακόσμησις.

| | | |
|---|---|---|
| εἰς κάθαρσιν τῶν ἀτελέστων, | εἰς φωταγωγίαν τῶν καθαρθέντων, | εἰς τελείωσιν τῶν φωτισθέντων. |

Ministerio de Educación, Cultura y Deporte

Η τῶν τελουμένων δύναμις,

| | | |
|---|---|---|
| εἰς καθαιρομένοις, | εἰς φωτιζομένοις, | εἰς τελειουμένοις. |

Δύναμιν, τὴν ἱεράν) ἐν τούτοις σκόπησον εὐκρινῶς δηγνυμένην τὴν τριαδικὴν τῆς ἱεραρχίας διαίρεσιν.

Η δὲ τῶν ἱερουργῶν) περὶ τῶν τελούντων.

Αποκαθαίρει) ὅτι ἐστιν ἀποκαθαίρειν, καὶ τί τὸ φωτίζειν, καὶ τί τὸ τελειοῦν, εἶπεν ἐν τῷ περὶ τῆς ἐν οὐρανοῖς ἱεραρχίας κεφαλαίῳ γ. περὶ τὸ τέλος, καὶ ὧδε πρῴων.

Τελειώσεσιν. ἡ δὲ) πρώτην, τὸ καθαίρειν τοὺς ἀτελέστους μέσην, καθ' ἣν ἄλλοις μυοῦσιν· ἐσχάτην δὲ, τὸ τελειωθῆναι μόνον.

Η πρώτη μὲν) αὕτη τῶν ἡ τελειὰς τῶν ὑποβεβηκυιῶν τάξεων.

Η τελεστὴ) ἤγουν ἡ τελεστὴ δύναμις τῶν ἱερέων.

Συνάξεως) ἀπὸ κοινοῦ τὸ ἀποδεχθείσης.

Νῦν δὲ τὴν) ἐκ γὰρ τῶν θείων γραφῶν καθαιρόμεθα καὶ ἐλλαμπόμεθα πρὸς τὴν ἱερὰν θεογνωσίαν· ἐκ τῆς συνάξεως δὲ καὶ τῆς τοῦ μύρου τελετῆς, ἐπιστημόνως τελειούμεθα σημείωσαι καὶ ἐνταῦθα ὁμοίως δηλουμένην τὴν τριαδικὴν διαίρεσιν.

Διαιρεῖται ἡ ἱερατικὴ διακόσμησις,

| | | |
|---|---|---|
| εἰς καθαρτικὴν, | φωτιστικὴν, | τελειωτικήν. |

Η οὐχὶ καὶ τὰς αἰσθητὰς) ὡς ἐπὶ τῆς ὑέλου δεχομένης τὸν ἥλιον, ὅπερ καὶ ἀνωτέρω εἶπε· καὶ διὰ ἐπὶ τοῦ πυρὸς ἢ τοῦ φωτὸς ἐστιν ἰδεῖν, τοῦ μὲν, διὰ τῶν ἀραιῶν καὶ διαφανῶν σωμάτων



Ministerio de Educación, Cultura y Deporte

καταλάμποντος καὶ τὰ παχύτερα καὶ ἀλαμπῆ· τοῦ δὲ πυρὸς διὰ τῆς εὐκαταπρήστου ὕλης, καὶ τὰς ἀνεπιτηδείους πρὸς μετουσίαν αὐτοῦ ἐκπυροῦντος φύσεις.

Ἐλλάμπει) ἡ ἐνέργεια τοῦ ἱεράρχου δηλονότι.

Τούτων οὖν ἐστὶ) κατὰ κοινοῦ ληπτέον τὸ ἐστί· προσυπακούεται γὰρ ἐπὶ ὅλων τῶν ἐν τῷ τόπῳ.

Θεοπτικῶν, τὸ τοῖς) σημείωσαι, ὅτι θεοπτικῶς ὁ ἱεράρχης πρότερον ἐλλάμπεται· εἶτα μεταδίδωσι τοῖς ὑπ' αὐτόν· εἶτα τελειοῖ τούτοις, οἷς μεταδίδωσι τῆς ἐλλάμψεως.

Πρώτη μὲν ἐστὶ) σημειωτέον, πῶς ἡ αὐτὴ πρώτη καὶ ἐσχάτη τάξις.

Ἡ δὲ τῆς ἱεραρχικῆς) περὶ τῆς τῶν τάξεων δυνάμεως. οὕτω δὲ χρὴ νοῆσαι τὰ προκείμενα, ὅτι, πάντα μὲν τὰ ἱερατικῶς τελούμενα, εἰς τὸν ἱεράρχην τὴν ἀναφορὰν ἔχει, ὡς αὐτοῦ διὰ τῶν αὐτοῦ ταγμάτων ταῦτα ἐνεργοῦντος· ὃς καὶ παρέχει τὴν δύναμιν τοῦ ταῦτα ἐνεργεῖν· ὅμως ἐν ἐξαιρέτῳ τῷ ἱεράρχῃ πρὸς αὐτουργίαν, καὶ οὐ διὰ τῆς ἑτέρων ὑπουργίας ἀποκεκλήρωται ὁ τοῦ μύρου ἁγιασμὸς, καὶ ἡ τοῦ θυσιαστηρίου καθιέρωσις, καὶ ἡ τῶν ἱερατικῶν χειροτονία· ἃ ἵνα καὶ τελεσιουργοὺς εἰκόνας τῆς θείας δυνάμεως ἀπεκάλεσεν. ὁλότητα δέ φησι, πάσας τὰς τάξεις, ὡς εὐθὺς ἐπεξηγεῖται.

Αὗται δέ εἰσι) τουτέστιν, αἱ τελειοῦσαι τὸν ἅγιον ἄρτον εἰς σῶμα χριστοῦ, καὶ τὸ ποτήριον εἰς ἅγιον αἷμα, καὶ τὸ ὕδωρ εἰς ἁγίαν κάθαρσιν, καὶ τὸν ἀφώτιστον εἰς υἱοθεσίαν, πάντα τὰ λοιπὰ ὁμοίως.

Εἰ γὰρ καὶ πρὸς τῶν ἱερῶν) σημείωσαι, ὅτι καὶ ἁγιάσαι, καὶ τελειῶσαι τὸ μύρον, οὐκ ἔστι πρεσβυτέρων, οὓς καὶ ἱερεῖς καλεῖ· ἀλλ' οὔτε θυσιαστήριον τελειῶσαι, ἵνα καὶ προσενέγκῃ ἐπ' αὐτοῦ· οὔτε μὴν χειροτονῆσαι· ταῦτα γὰρ μόνος ὁ ἱεράρχης

Ministerio de Educación, Cultura y Deporte

ποιεῖ, ὧν ἐκτὸς ὁ πρεσβύτερος, οὔτε βαπτίσαι, οὔτε προσοίσαι, ἀλλ' εἰς τὰ προτελεσθέντα ὑπὸ τοῦ ἐπισκόπου ἱερουργήσαι.

Αγιστείαι) ἤτοι χειροτονίαι.

Ενιαίως) μονομερῶς.

Τὰς ἐπιστήμας) ὅτι ἡ διδασκαλικὴ τῶν μυστηρίων δύναμις, τοῖς ἱεράρχαις ἁρμόζει.

Η δὲ τῶν ἱερέων) ὡς ἡ τῶν ἱερέων τάξις, ἤγουν τῶν πρεσβυτέρων.

Αὐτὴ δρᾷ) ἡ τῶν ἱερέων τάξις δηλονότι.

Η δὲ τῶν λειτουργῶν) ὡς ἡ τῶν λειτουργῶν τάξις, τουτέστι τῶν διακόνων.

Αποκαθαίρει) πῶς ἀποκαθαίρουσιν οἱ διάκονοι.

Οθεν ἐπὶ τῆς ἱερᾶς) θεωρία τῆς καθάρσεως. σημείωσαι δὲ, ὅτι τῶν διακόνων ἐστὶ τὸ ἀποδύειν καὶ ὑπολύειν τοὺς βαπτιζομένους, καὶ πρὸς δυσμὰς ἱστᾶν, καὶ αὖθις πρὸς ἀνατολὴν μετάγειν.

Διὸ καὶ ταῖς ἱεραῖς) σημείωσαι, ὅτι οἱ διάκονοι τότε τὰς θύρας εἶχον· νῦν δὲ, οἱ ὑποδιάκονοι.

Δέδεικται τοίνυν) ἀνακεφαλαίωσις.

Δηλαδὴ τῆς ἱεραρχικῆς) ὅτι ὁ ἐπίσκοπος, καὶ τὰ τῶν ὑφειμένων ποιεῖ, καὶ οἱ πρῶτοι τὰ τῶν δευτέρων καὶ τῶν μετ' αὐτοὺς ποιοῦσιν· οὐκ ἀνάπαλιν δὲ, οἱ δεύτεροι τὰ τῶν πρώτων.

Εἰ χρῆν ἀλαζονείαν) ὅτι ἕκαστον χρὴ μὴ κατατολμᾶν τῶν μειζόνων.

Εἰκόνες, αἱ ἱερατικαὶ) τίνος τύποι αἱ ἱερατικαὶ τάξεις, τὰ παρὰ τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἐνεργοῦσαι.

Επειδὴ γὰρ) περὶ τῶν οὐρανίων τάξεων, πῶς ὑπὸ θεοῦ ἱδρύνθη.

Ο μὲν ἱεράρχης) χειροτονία ἐπισκόπου, πρεσβυτέρου καὶ διακόνου.

Ministerio de Educación, Cultura y Deporte

Ἄμφω τῷ πόδε) νῦν ἑτέρως ἐπιτελεῖται.

Ἕνα τῶν ποδῶν) ἄδηλον δὲ ποῖον πόδα φησί.

Καθ' ἕκαστον) σημείωσαι, ὅτι καὶ πάντας τοὺς ἐν τῷ ἱερατείῳ, τὸν χειροτονούμενον ἀσπάζεσθαι.

Ἀνάῤῥησις ἱερὰ) ἀνάῤῥησις, οἱονεὶ κήρυξις ἐξ ὀνόματος· σφραγίζων γὰρ αὐτὸν ὁ χειροτονῶν ἀρχιερεὺς, ἐξ ὀνόματος φάσκει, σφραγίζεται ὁ δεῖνα ἀπὸ πρεσβυτέρου εἰς ἐπίσκοπον, ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· ὁμοίως καὶ ἐπὶ πρεσβυτέρου καὶ διακόνου.

Ὑπόπτωσις) ὑπόπτωσις, ἡ γονυκλισία· ἀνάῤῥησις δὲ, ὅπερ νῦν καλοῦσιν ἐπικήρυξιν ἢ ἀνακήρυξιν.

Ἡ ἀνάῤῥησις) ἡ ἐπὶ τῶν χειροτονιῶν ἀνακήρυξις, οἷον ἐπὶ τῆς τοῦ ἐπισκόπου, ὑπὲρ τοῦ ἁγίου πατρὸς ἐπισκόπου τοῦδε· ἐπὶ δὲ πρεσβυτέρου, ὑπὲρ τοῦδε πρεσβυτέρου· ἐπὶ δὲ διακόνου, ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε διακόνου. τάδε ἀνάῤῥησιν φησὶν, ὅταν ἐν αὐτῷ τῷ χειροτονεῖν κηρύττῃ, τὸν χειροτονούμενον ἡ θεία χάρις προχειρίζεται τόνδε εἰς τόνδε.

Ἡ μύρου) θεωρία.

Εἰς τὴν ἀνδρικὴν) σημείωσαι τὴν ἀνδρικὴν ζωὴν τοῦ ἰησοῦ, καὶ θεαρχικὴν ἀναμαρτησίαν.

Ἀνάῤῥησιν) ὡς ἡ ἀνάῤῥησις.

Οὐδὲ ἀδελφὸν) ὡραῖον, καὶ πάνυ ἀναγκαῖον, καὶ ἀσφαλὲς, ὅτι οὐδὲ ἀδελφὸν χωρὶς θεοῦ ἐποίει τις.

Ἱεροτελεστὴς) ὡς ἄνθρωπος, καὶ ἀρχιερεὺς γέγονεν ὁ χριστός. σημείωσαι τοῦτο κατὰ ἀκεφάλων καὶ νεστοριανῶν.

Διὸ καὶ αὐτὸς) σημείωσαι πότε ἐχειροτονήθησαν ἱερεῖς οἱ μαθηταί, καὶ ὅτι ἰησοῦς, καί τοι θεὸς ὢν, αὐτὸς οὐκ ἐχειροτόνησεν, ἀλλ' ἐπηγγείλατο πέμπειν ἀπὸ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ ὡς πύριναι γλῶσσαι ἐφάνησαν αὐτοῖς. τελεταρ-

Ministerio de Educación, Cultura y Deporte

χὴν δὲ, τὸν κύριον κατὰ τὴν θεότητα καλεῖ.

Ὁ τῶν μαθητῶν) ὁ ἅγιος πέτρος δηλονότι μετὰ τῶν λοιπῶν, ὅτι τὸν ματθίαν προεχειρίσατο εἰς ἀπόστολον.

Περὶ δὲ τοῦ θείου) σημείωσαι τί φησι περὶ τοῦ κλήρου τοῦ πεσόντος ἐπὶ ματθίαν, καὶ τί νοεῖ τοῦτον.

Δοκεῖ γάρ μοι τὰ λόγια) τὸ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων λόγιον περὶ τούτων, ἐν μὲν ἐνίοις βιβλίοις εὗρον οὕτως ἔχον, καὶ ἔδωκαν κλήρους αὐτοῖς· ἐν δὲ τισὶ, καὶ ἔδωκαν κλήρους αὐτῶν. τὸ μὲν οὖν αὐτοῖς, συναγωνίζεται τῇ νῦν εἰρημένῃ ὑπὸ τοῦ θείου διονυσίου, ὡς τοῦ κλήρου σύμβολόν τι δηλοῦντος, ἐξ ἀποκαλύψεως ἴσως ἢ ἐνεργήματος τοῦ ἁγίου πνεύματος, πίπτοντος ἐπὶ τὸν κληρούμενον· ὅθεν καὶ περὶ τοῦ ἰσκαριώτου φησὶν ὁ μέγιστος πέτρος, ὅτι ἔλαχε τὴν ἡμῖν τὸν κλῆρον τῆς διακονίας ταύτης· καίτοι συνήθης ἡμῖν κλῆρος οὐκ ἦν ἐπὶ τῶν ἀποστόλων γεγονὼς ὑπὸ κυρίου τοῦ ἐκλεξαμένου αὐτούς.

Ὁ δὲ ἱεράρχης) περὶ τοῦ ἐπισκόπου, διὰ τί ἐπιτίθεται μόνῳ αὐτῷ τὰ ἅγια εὐαγγέλια.

Θεουργίας, θεοφανείας) προσυπακουστέον τὸ, ὑπάρχοντα· κατὰ περίληψιν γὰρ τοῦ ῥήματος, πολλάκις ἡ σύνταξις. σημείωσαι δὲ, πόσων μεταλαμβάνει ὁ ἐπίσκοπος θείων πλεονεκτημάτων.

Ἱερολογιῶν τε καὶ) τουτέστιν ἑρμηνειῶν.

Τοῖς δὲ ἱερεῦσι) περὶ πρεσβυτέρων.

Ἡ μὲν οὖν κλίσις) τί ἡ κλίσις δηλοῖ.

Αἱ τρεῖς τῶν ἱεροτελεστῶν) τουτέστιν, ἱεραρχῶν, ἱερέων, καὶ λειτουργῶν.

Ταῖς τρισὶ τῶν τελουμένων) τουτέστι τῶν καθαιρομένων, τῶν φωτιζομένων, καὶ τῶν θεωρητικῶς τελουμένων.

Ἡ λειτουργικὴ τάξις) περὶ διακόνου ἕνα πόδα κλίνοντος.

Ministerio de Educación, Cultura y Deporte

Οἱ δὲ ἱερεῖς) ἤγουν τὸ τοὺς δύο πόδας κλίνειν τοὺς πρεσβυτέροις.

Ἄμφω τὼ πόδε) ἤγουν τὸ τοὺς δύο πόδας κλίνειν τὸν ἱεράρχην, καὶ διὰ τί αἱ γραφαὶ ἐπιτίθενται τῇ κεφαλῇ αὐτοῦ.

## ΚΕΦΑΛ. ς.

Τριάδα τῶν τελουμένων) ὅτι τρεῖς αἱ τελούμεναι τάξεις.

Λέγομεν τοίνυν) τίνες οἱ καθαιρόμενοι, καὶ πῶς.

Ἀποδιαστελλόμεναι πληθύες) τουτέστιν οἱ κατηχούμενοι, οἱ ἐν μετανοίᾳ, καὶ ἐνοχλούμενοι. διαφορὰς δὲ εἰσηγεῖται τῶν ἐν μετανοίᾳ ἐν τοῖς ἑξῆς.

Τῆς δὲ, ὡς) τῶν ἐν μετανοίᾳ μετὰ τὸ βάπτισμα ἁμαρτανόντων.

Τῆς δ', ὡς ἔτι) τῶν χειμαζομένων καὶ ἐνεργουμένων.

Τῆς δ', ὡς ἔτι πρὸς) τῶν ἀπὸ αἱρέσεων, ἢ ἀσελγειῶν.

Τῆς δὲ, ὡς μεταχθείσης) τῶν μὴ τελείως ἐξ ἀσελγείας ἐπιστρεψάντων εἰς ἁγιασμὸν, ἢ τῶν κατηχουμένων.

Μέση δὲ τάξις) ὁ πιστὸς λαός.

Ἡ καθαρθεῖσα πάσης) τὴν πᾶσαν κάθαρσιν τοῦ λαοῦ.

Αἱ καθαιρόμεναι τάξεις διαιροῦνται

| | | |
|---|---|---|
| εἰς τοὺς ἐκβαλλομένους τῶν ἱερῶν. | εἰς τὸν πιστὸν λαόν. | εἰς μοναχοὺς, ἤτοι θεραπευτάς. |

Τὴν τοῦ ἱεροῦ λαοῦ) σημείωσαι, ὅτι μέσην τάξιν, τὸν ἱερὸν λαὸν ἀποκαλεῖ, ἤγουν τοὺς ἐν λαϊκῷ τάγματι τὸ ὁλόκληρον ἡ-

Ministerio de Educación, Cultura y Deporte

τοι τὸ ἀνεπιτίμητον ἔχοντας· τοὺς δὲ μοναχούς, ἤτοι τοὺς θεραπευτάς, τὴν πασῶν ὑψηλοτέραν.

Η τῶν μοναχῶν) μετὰ τῆς μοναχικῆς καταστάσεως.

Οἱ μὲν, θεραπευταὶ) διὰ τί οἱ μοναχοί, θεραπευταὶ ἐκλήθησαν.

Καὶ ἑνιαίας) τί ἀμέριστος καὶ ἑνιαία ζωή.

Τῶν διαιρετῶν ἱερῶν) διαιρετὰ φησί, τὰ βιωτικά.

Θεοειδῆ μονάδα) πῶς τελειοῦται ὁ μονάζων, καὶ διὰ τί ἰδικὴν τελείωσιν καὶ ἐπίκλησιν καὶ κατάστασιν ἔχει ὁ μοναχός.

Ο μὲν ἱερεὺς) σημείωσαι, ὅτι, ὁ μὲν ἱερεύς φησι, καὶ οὐχ ὁ ἱεράρχης, καὶ ὅτι κατὰ τοῦτον τοῦ πατρὸς τὸν λόγον, οὐ δεῖ σχῆμα μοναχοῦ ἐπίσκοπον διδόναι, ἀλλὰ μόνον πρεσβύτερον.

Ταῖς διαιρεταῖς) ταῖς βιωτικαῖς καὶ πολυειδέσιν, οἷον ἐμπορείαις φημί, καὶ τοῖς ἄλλοις συναλλάγμασι· φαντασίαις δέ, τουτέστι ταῖς κατὰ διάνοιαν ἐπιθυμίαις, καὶ τῶν παθῶν ἀνατυπώσεσιν.

Αποκείρει) πῶς κείρεται ὁ μοναχός.

Τὴν τελεστὴν) σημείωσαι ὅτι, τὴν τελεστὴν ὑπόστασιν.

Μοναχικὴν τάξιν) διὰ τί λέγεται μοναχός, καὶ τίς ἡ μοναχικὴ κατάστασις καὶ ἐπιτήδευσις.

Αποταγὴ) τίς ἡ ἀποταγή.

Διὸ καὶ πολλὰ) σημείωσαι κατὰ λαμπετιανῶν, ἤτοι μεσσαλιανῶν ἢ ἀδελφιανῶν, ταὐτὸν δὲ εἰπεῖν μαρκιανιστῶν· οἵτινες τριετίαν μόνον ἄκρως ἀσκήσαντες, μετὰ ταῦτα ἐπὶ τοσοῦτον ἀδιαφοροῦσι τὸν λοιπὸν τῆς ἑαυτῶν ζωῆς χρόνον, ὡς πᾶσαν ἀτοπίαν πράττειν ἀδεῶς· μοιχείαις γάρ, καὶ ἀσελγείαις, γαστριμαργίαις, καὶ ἀλληλογαμίαις, καὶ ἁπαξαπλῶς ἐν πάσαις ἀσωτίαις ἐγκαλινδούμενοι, τὰ τοιαῦτα πράττειν ἀπαθῶς τερατεύονται, καὶ ἀναισθήτως νοσοῦντες τὴν ἐμπάθειαν, καὶ

Ministerio de Educación, Cultura y Deporte

ἀναλγήτως ὑφ' ἑαυτῶν πάσχοντες, καὶ τῶν ἐν αὐτοῖς οἰκούντων δαιμόνων, ὥσπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ, ἀγάλλονται μᾶλλον καὶ οὐκ ἀνιῶνται.

Ἀπείρηται) σημείωσαι, ὅτι πολλὰ κωλύεται ὁ μοναχὸς ποιεῖν, ὧν οἱ λαϊκοὶ τὴν ἐπιτροπὴν καὶ ἐξουσίαν ἔχουσιν, οἷον ὁ γάμος, καὶ τὸ στρατείαις ἢ ἐμπορείαις ὁμιλεῖν, καὶ ἑτέροις, ἐν οἷς ὁ λαϊκὸς οὐ κατακρίνεται.

Τριχῶν ἀπόκαρσις) τίς ἡ ἀπόκαρσις.

Ἡ δὲ τῆς προτέρας) τί τὸ μεταλλάσσειν τὴν ἐσθῆτα αὐτοῦ.

Καὶ πάντες) τί ὁ ἀσπασμός.

Ἐπὶ τὴν θεαρχικὴν) τί τὸ εὐθὺς κοινωνεῖν.

Ἐπὶ τὴν μετάληψιν) διὰ τί οἱ χειροτονούμενοι εὐθέως κοινωνοῦσι.

Μεταδίδοται πρὸς) πάντες γὰρ ὁμοίως μετὰ τὴν χειροτονίαν, τῶν θείων ἀξιοῦνται μυστηρίων, ὅπερ ἐμφαίνει τὴν πρὸς θεὸν οἰκειότητά τε καὶ ἕνωσιν.

Τελεταὶ, κάθαρσις) τί αἱ τελεταὶ δηλοῦσι.

Τάξις) ἰδοὺ καὶ ἐνταῦθα σαφέστερον ἐδίδαξεν ὁ πατὴρ, τίνες αἱ ὑπερβεβηκυῖαι τάξεις, ὧν ἀνωτέρω ἐμνήσθη.

Ἀλλ' ἐρεῖς ὅτι) ὅτι οὐκ ἔστιν ἐν οὐρανῷ καθαιρόμενος, καὶ περὶ ἀγγέλων.

Ἐπεὶ τίς οὐρανία) σημείωσαι, ὅτι οὐδεμία λώβη τυγχάνει ἔν τινι τῶν οὐρανίων δυνάμεων, ὃ δοξάζει Ὠριγένης, καὶ οἱ τὰ τούτου φρονοῦντες, φάσκοντες ὅτι κατὰ τὴν ἀναλογίαν τῆς παραβάσεως ἕκαστον τῶν οὐρανίων ταγμάτων, τὴν τοιάνδε καὶ ὀνομασίαν καὶ τάξιν ἐκληρώσαντο, καὶ σώμασιν ἐνεδέθησαν λεπτοτέροις, εἰς παιδείαν τῆς ἑαυτῶν ἐπὶ τὸ χεῖρον παρατροπῆς· ἀλλὰ πανάγιοί εἰσι δηλονότι καὶ ἀσώματοι νόες, ὡς ἐξ ἀρχῆς ἐκτίσθησαν. ὅτι δὲ ἀσώματοί εἰσιν αἱ οὐράνιαι

Ministerio de Educación, Cultura y Deporte

δυνάμεις, διαφόρως ἔγνως ἐν τοῖς ἔμπροσθεν. Ἄλλως. Ἀλλ' οὐδεὶς αὐτῶν τῶν οὐρανίων νόων μετὰ τὴν τῶν δαιμόνων ἀπόπτωσιν, ἑάλω ποτέ· τοῦτο γὰρ οὐδὲ παρὰ τῆς θείας γραφῆς ἔγνωμεν, οὐδέ τις τῶν θεοσόφων εἴρηκε πατέρων. τοῦτο δὲ ὁ ἅγιος κατὰ συγχώρησιν αὐτὸ φησὶν, ὡς ἂν εἴποι τις, ὅτι πανάγιοι μέν εἰσι καὶ ἀλώβητοι, καὶ οὐ δέονται καθάρσεως· πλὴν εἰ καὶ δοίημεν ἔν τινι λώβῃ γενέσθαι αὐτῶν τινὰ, πάντως εἰς τὰς ἐναντίας ἐχώρει δυνάμεις· ὥστε τὰς λοιπὰς τὸ ἀλώβητον ὡσαύτως ἔχειν, καὶ ὁμοίως μὴ δεῖσθαι καθάρσεως. καὶ ὅτι τοῦτό ἐστι, σαφῶς ἔδειξεν· εἰπὼν γὰρ πρὸς τὴν ἀντίθεσιν τὴν ἰδίαν γνώμην τὴν ἀληθῆ, ἐπήγαγε τὸ, εἰ γάρ τις, ἀντὶ τοῦ, εἰ δὲ καί τις δοίη τινὰ παρατραπῆναι, τοῦ χοροῦ τούτων ἐξέπεσεν, ὅπερ ἐγὼ οὐ λέγω, φησὶν, ἀλλὰ τοὐναντίον, ὅτι πανάγιοι διαμένουσιν εἰσαεὶ, ἐπεὶ ἐκπέσοιεν τοῦ καθεστῶτος. μὴ οὖν τις τῶν ὠριγένους μυστῶν οἰέσθω τὸ παρὸν ῥητὸν συνηγορεῖν τῇ κακοπίστῳ αὐτοῦ δόξῃ, φάσκων, ὅτι ἀεὶ πτῶσις καὶ ἀνάκλισις, καὶ μετάπτωσις τῶν οὐρανίων γίνεται νόων, ὡς φησὶν ὠριγένης μὲν ἐν τῷ περὶ ἀρχῶν πρώτῳ λόγῳ, οὕτως, Ὁ τοίνυν λόγος, οἶμαι, δείκνυσι πᾶς, πᾶν ὅ, τί ποτε λογικὸν, ἀπὸ παντὸς οὑτινοσοῦν λογικοῦ δύνασθαι γενέσθαι. καὶ μετὰ βραχέα ἐπάγει λέγων, μετὰ τὸ ἐπὶ πᾶσι τέλος, πάλιν ἀπόρρευσις καὶ κατάπτωσις γίνεται. Εὐάγριος δὲ ἐν τῷ ἑβδομηκοστῷ ὀγδόῳ τῆς δευτέρας ἑκατοντάδος κεφαλαίῳ, οὕτως φησὶν, Ἕκαστον τάγμα τῶν οὐρανίων δυνάμεων, ἢ ὅλον ἐκ τῶν κάτω, ἢ ὅλον ἐκ τῶν ἄνω, ἢ ἐκ τῶν ἄνω καὶ ἐκ τῶν κάτω συνέστηκε· καὶ ἐν τῷ ιθ'. τῆς ε'. ἑκατοντάδος, λέγει οὕτως, Ἐξ ἀγγελικῆς καταστάσεως καὶ ἀρχαγγελικῆς, ψυχικὴ κατάστασις γίνεται· ἐκ δὲ τῆς ψυχικῆς, δαιμονιώδης καὶ ἀνθρωπίνη· ἐκ δὲ τῆς ἀνθρωπίνης, ἄγγελοι πάλιν καὶ δαίμονες γίνονται.

Ministerio de Educación, Cultura y Deporte

Ταῖς ὑφειμέναις) ποία ἐστὶν ἡ τῶν οὐρανίων κάθαρσις, καὶ διακόσμησις. Ἄλλως. ὅτι κάθαρσις τῶν οὐρανίων δυνάμεων ἐστὶν ἡ ἐπὶ τελεωτέραν γνῶσιν ἔλλαμψις. καὶ σημείωσαι, ὅτι προκόπτουσιν ἐπὶ γνῶσιν, καὶ ὅτι δαίμονας οὐ λέγουσι καθαίρεσθαι, διὰ τοὺς φάσκοντας καὶ αὐτοὺς ἐν τῇ παρ' αὐτῶν μυθευομένῃ ἀποκαταστάσει, σώζεσθαι μετὰ τῶν ἁγίων.

Οὕτω καὶ φωτιζόμεναι) σημείωσαι τὰ περὶ τῶν ἀγγέλων, πῶς φωτίζονται, καὶ τελειοῦνται.

## ΚΕΦΑΛ. ζ.

Οὕτω καὶ περὶ) ὅτι οὐκ ἐν τοῖς αὐτοῖς τόποις ἀπάγονται οἱ τελευτῶντες πάντες, καὶ περὶ ἀναστάσεως.

Ὁλικῆς ἀναστάσεως) τῆς μετὰ τοῦ σώματος δηλονότι.

Αἱ μὲν γὰρ) περὶ δικαίων λέγει.

Τὰ δὲ καθαρὰ τῶν) περὶ ἀναστάσεως σωμάτων.

Τῶν δοξαζόντων ἀνάστασιν καὶ κρίσιν,

| | | |
|---|---|---|
| οἱ μέν, μετὰ τῶν αὐτῶν σωμάτων ἐγείρεσθαι τὴν ψυχήν, φασίν, ὡς χριστιανοί. | οἱ δέ, δίχα σώματος. | οἱ δέ, μετ' ἄλλων σωμάτων ξένων καὶ βίον ἔχειν, οἷον νῦν. |

Τῶν κεκοιμημένων,

| | |
|---|---|
| οἱ μέν, εἰσὶν ἱεροί. | οἱ δέ, ἀνίεροι. |

Ἑνωθέντα γὰρ) ὅτι ἑνοῦνται ταῖς ψυχαῖς τὰ σώματα.

Τῶν

Τῶν δὲ ἀνιέρων) περὶ θανάτου ἁμαρτωλῶν. καὶ τί νομίζουσι μετὰ θάνατον γίνεσθαι οἱ ἕλληνες, ὧν τὰς δόξας ἐκτίθεται· τούτων γὰρ, οἱ μὲν ἀλογιστότεροι, οὔτε ἀθάνατον τὴν ψυχὴν ὁμολογοῦσιν· ὧν ἐστὶ καὶ βίας, οὐχ ὁ πριηνεύς, ἀλλ' ἕτερός τις· ἀλλὰ θνητὴν, καὶ λύεσθαι αὐτὴν, ὃν τρόπον καὶ τὸ σῶμα, καὶ εἰς τὸ μὴ εἶναι χωρεῖν. οἱ δὲ δῆθεν αὐτῶν λογικώτεροι, καὶ περὶ ἀθανασίας ψυχῆς φιλοσοφήσαντες, ὡς πλάτων καὶ οἱ τοιοῦτοι, μετὰ θάνατον, τὸ μὲν σῶμα οὐκ ἔτι συστήσεσθαι φασίν· ἀλλ' εἰς αἰῶνας οὐχ ὑποστρέφειν ἔτι, πρὸς τὴν ἐξ ἀρχῆς σύστασιν· τοῦτο γάρ ἐστιν ὅ φησί τις εἰσάπαξ, ἀντὶ τοῦ μηκέτι συστησόμενον, ἐπειδὴ ἀνάξιον εἶναι φασὶ τὸ ὑλικὸν συνδιαιωνίζειν ψυχῇ, τὴν δὲ ψυχὴν μόνον ἀθανάτως ὑπάρχειν. ταῦτα καὶ αἱρετικοὶ λέγουσι διαφόρως, ὡς οἱ ἀπὸ σίμωνος τοῦ μάγου, καὶ μενάνδρου, καὶ οὐαλεντίνου, καὶ μαρκίωνος, καὶ μάνεντος, καὶ νῦν δὲ, οἱ ἀπὸ τῶν ὠριγενείοις περιερχόμενοι μύθων, οὐ γὰρ δογμάτων. καὶ ὁρᾶτε τίσι θέλουσι συναριθμεῖσθαι, καὶ ποίας ἀτόπους δόξας τῇ ἀμωμήτῳ τῶν χριστιανῶν πίστει προσάπτουσιν οἱ συνετοὶ παρὰ θεῷ καὶ ἀνθρώποις οὐ φρονοῦντες ὑπάρχοντες.

Οἱ δὲ, τὴν σωματικὴν) τουτέστι ψυχῶν μόνων γίνεσθαι ἀνάστασιν, σωμάτων χωρίς.

Ἀρθεῖσαν ἤδη) ὃ λέγει ὁ ἀπόστολος ἀρραβῶνα καὶ ἀπόδειξιν τῆς μετὰ σώματος καθολικῆς ἀναστάσεως, τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν γεγενῆσθαι· καὶ ὅτι ἐν αὐτῷ νῦν κέκρυπται ἡ ζωὴ ἡμῶν, ἐν τῷ θεῷ φανερωθησομένη ἐν τῇ παλιγγενεσίᾳ.

Ψυχαῖς συζυγίας) αἱρετικοί τινες τότε γεγόνασιν, ὡς οἱ περὶ σίμωνα τὸν μάγον, καὶ τοὺς σὺν αὐτῷ· οἵ τινες αἰθέριον ἔφασκον, εἴγε καὶ ἄρα ἔσεσθαι σῶμα ταῖς ψυχαῖς. ἰστέον δὲ ὅτι καὶ ὠριγένης τὸ αὐτό φησιν ἔν τινι τῶν αὐτοῦ συγγραμμάτων· ἐν ἄλλοις δὲ καὶ αὐτὸ παντελῶς ἀπαρνεῖται, πᾶσαν σω-



Ministerio de Educación, Cultura y Deporte

ματικὴν φύσιν εἰς ἀνυπαρξίαν χωρεῖν, δογματίζων. ἀνάγνωθι Μεθοδίου τοῦ ἁγίου μάρτυρος, καὶ Ὀλυμπίου Ἀδριανουπόλεως ἐπισκόπου τῆς Λυκίας, τὰ κατ' αὐτοῦ ὑπ' αὐτῶν περὶ ἀναστάσεως γραφέντα, καὶ Ἀντιπάτρου τοῦ Βόστρων ἐπισκόπου· καὶ μαθήσῃ τὴν μυθώδη αὐτοῦ καὶ ἀλλόκοτον ληρῳδίαν.

Καὶ μακαριωτάτην) ταῦτά φησιν αἰνιττόμενος οἶμαι, Παπίαν τὸν Ἱεραπόλεως τῆς κατ' Ἀσίαν τότε γενόμενον ἐπίσκοπον, καὶ συνακμάσαντα τῷ θείῳ εὐαγγελιστῇ Ἰωάννῃ. οὗτος γὰρ ὁ Παπίας ἐν τῷ τετάρτῳ αὐτοῦ βιβλίῳ τῶν κυριακῶν ἐξηγήσεων, τὰς διὰ βρωμάτων εἶπεν ἐν τῇ ἀναστάσει ἀπολαύσεις· εἰς ὅπερ δόγμα μετὰ ταῦτα ἐπίστευσεν Ἀπολινάριος· ὃ καλοῦσί τινες, χιλιονταετηρίδα. πῶς οὖν Ἀπολιναρίου, τὰ τοῦ ἁγίου Διονυσίου συγγράμματα κατὰ τοὺς τινῶν λήρους, τὰ ἀναιροῦντα Ἀπολινάριον. καὶ Εἰρηναῖος δὲ ὁ Λουγδούνου, ἐν τῷ κατὰ αἱρέσεων πέμπτῳ λόγῳ, τὸ αὐτό φησι, καὶ παράγει μάρτυρα τῶν ὑπ' αὐτοῦ εἰρημένων, τὸν λεχθέντα Παπίαν.

Ὅταν ἐπὶ τὸ τέλος) φρικτὰ καὶ λίαν φοβερὰ τὰ τῶν ἁμαρτωλῶν τέλη.

Ἑτέροις ὀφθαλμοῖς) ἑτέροις ὀφθαλμοῖς φησὶ, τοὺς τοῦ νοῦ, λοιπὸν καθαρωτέρου ὄντος, καὶ τὰ εἰς ᾅδου σκοποῦντος, καὶ στρεφομένου εἰς τὴν προσδοκίαν τῆς γεέννης, ἣν οὐ πρότερον πεπίστευκε· διὸ καὶ δυσαναχετεῖ καὶ ὀδύρεται τὸν θάνατον, ἐννοῶν μήποτε ἀληθῆς ὦσιν αἱ κάτω τιμωρίαι· ὥστε καὶ οἱ ἁμαρτωλοὶ ἐν τῷ σώματι ἐγείρονται.

Συναγαγὼν ὁ) περὶ ἱερατικῶν τελευτώντων.

Εἰ δὲ τοῖς εὐαγέσι) περὶ μοναχῶν δικαίων καὶ λαϊκῶν.

Ἐν τοῖς θείοις) σημείωσαι, τί ἀναγινώσκεται, καὶ τί ψάλλεται ἐπὶ τῶν κεκοιμημένων μοναχῶν καὶ λαϊκῶν. ὁμολόγους δὲ καὶ ταυτοδυνάμους ᾠδὰς λέγει, ταῖς προαναγνωσθείσαις πε-

Ministerio de Educación, Cultura y Deporte

εἰ ἀναστάσεως ἀψευδέσιν ἐπαγγελίαις ᾄδειν τοὺς λειτουργούς.

Ἰησοῦ δὲ φωταγωγοῦντος) ὅτι πρὸς τὸν βίον καὶ οἱ τόποι τῶν κεκοιμημένων.

Κατὰ ταύτης τῆς θέας) ὅτι δικαιοσύνης ἐστὶ, τὸ πρὸς τὸν βίον δοῦναι καὶ τὸν τόπον.

Εὐχὴν ἱερὰν) διὰ τί ἡ εὐχή.

Αἱ δὲ τῶν θεαρχικῶν) διὰ τί ᾠδαὶ καὶ ἀναγνώσματα. σημείωσαι δὲ, ὁποία ἦν ἡ ἐπὶ τοῖς κεκοιμημένοις παλαιὰ ἀκολουθία καὶ τάξις.

Σκόπει δὲ, ὅτι νῦν) οὔτε ἐπὶ τοῖς τελευτῶσιν, οὔτε οἱ ἐνεργούμενοι, οὔτε οἱ ἐν μετανοίᾳ ἐξίασιν, ἀλλὰ μόνοι οἱ κατηχούμενοι, καὶ διὰ τί.

Οἱ κατηχούμενοι) οὐδὲν μὲν μικρὸν ἐν τοῖς καθ' ἡμᾶς μυστηρίοις, ἀλλὰ πάντα μεγάλα· αὐτὰ μέντοι πρὸς ἄλληλα συγκρινόμενα, διαφορὰν ἔχουσι πρὸς μεγαλειότητα· τῶν γὰρ δρωμένων ἐπὶ τοῖς τελευτῶσι, μέγιστα καὶ ἀπαράβλητα, τὰ τῶν θείων λουτρῶν, καὶ φωτισμάτων, καὶ μεταλήψεων μυστήρια· διὸ καὶ μικρὰ τὰ ἐπὶ τοῖς κεκοιμημένοις ὠνόμασε· πλὴν οὐδὲ τούτων ἄξιοι οἱ ἔτι κατηχούμενοι.

Βλαβήσονται γὰρ) ταῦτα ἀκόλουθα τοῖς ἐν τῇ πρὸς Κορινθίους προτέρᾳ εἰρημένοις παρὰ τοῦ ἀποστόλου περὶ τῶν ἀναξίως κοινωνούντων ὧδε, καὶ περιφρονεῖν αὐτοὺς λέγει τῶν θείων μυστηρίων.

Ἡ μὲν οὖν εὐχὴ τῆς) σημείωσαι τί εὔχεται.

Ἀνθρωπίνην ἀσθένειαν) τουτέστι, τὰ ψιλὰ τῶν ἁμαρτημάτων.

Ἀναλόγοις σημασίαις) ἀναλόγοις σημασίαις ἔφη, τουτέστι, ταῖς ἡμῖν γνωρίμοις τε καὶ συνήθεσι, καὶ οὐχ ὑπὲρ τὴν ἡμετέραν νόησιν, λέξεσί τε καὶ ὀνομασίαις σημαινόμενα.

Τῆς πραγματικῆς αὐτῶν) τουτέστι, καθ' ὃ δυνάμεθα



Ministerio de Educación, Cultura y Deporte

νοεῖν, καὶ ἐκ τῶν ἡμῖν γνωρίμων λέξεών τε καὶ ὀνομάτων τὰς ἐκεῖ ἀπολαύσεις ὁ θεὸς ὠνόμασεν, εἰπὼν, μὴ εἶναι ἐκεῖ λύπην, ἢ νόσον, ἢ πόνον, ἢ στεναγμὸν, ἀλλὰ φῶς εἶναι. πλὴν οὐκ ἔστι τὰ ἐκεῖ ἀγαθὰ, ἀλλ' ὡς ἀληθῶς, ἄγνωστα πῶς ἡμῖν καὶ ἀκατάληπτα. ἃ γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ τὰ ἑξῆς. ἀλλ' ἐξ ὧν οἴδαμεν, ὑποδείγματα δίδωσι μακαριότητος. σημείωσαι δὲ, πῶς λαμβάνει τὸ, εἰς κόλποις ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακώβ.

Ὅπου ἕνεκα) ἀπορεῖ περὶ τῆς γινομένης εὐχῆς παρὰ τοῦ ἱεράρχου ἐπὶ τοῖς ἐν ἁμαρτίαις κεκοιμημένοις.

Τῶν δικαίων αἱ προσευχαὶ) σημείωσαι ὅτι μόνους τοὺς ἀξίους τῶν οἰκτιρμῶν τοῦ θεοῦ, ὠφελοῦσιν αἱ τῶν δικαίων προσευχαὶ, εἴτε ζῶντας, εἴτε τελευτήσαντας, οὐ μὴν ἁμαρτωλοὺς καὶ ἀξιοκατακρίτους, καὶ ὧδε, καὶ μετὰ θάνατον.

Ηὐ πρὸς τὸν σαμουὴλ) οὔτε γὰρ τὸν σαοὺλ κάκιστον ὄντα ὠφέλησεν ὁ σαμουὴλ δεξάμενος, οὔτε τοὺς ἑβραίους ἁμαρτωλοὺς ὄντας ὁ μωϋσῆς. εἶπε γὰρ ὁ κύριος πρὸς αὐτὸν, μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου.

Ἡλίου τὰ οἰκεῖα) ὅρα μή πως νομίσῃς, ὅτι τὸν ἥλιον φησὶ δωρεῖσθαι τὰ ἑαυτοῦ φῶτα. πῶς γὰρ ἂν ἄψυχος δωρήσαιτο. προαιρέσεως γὰρ ἡ δωρεά. ἀλλὰ κατὰ ἠθοποιΐαν οἱονεί ἵνα, τὸ προκείμενον λέγει. ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸν ἥλιον λέγειν, ἐγὼ τοῖς ἐρρωμένοις ὀφθαλμοῖς δίδωμι φῶς. εἶτα ἀσθενῶν τις τὰ ὄμματα εἴποι, δός κἀμοί. ἐρρῶμαι γάρ. ἔπειτα δεξάμενος τὴν ἀκτῖνα, καὶ ὃ ἑώρα ἀπολέσει, τὸν αὐτὸν τρόπον καὶ ὁ ἁμαρτωλὸς, αἰτῶν δίκαιον δέξασθαι ὑπὲρ αὐτοῦ πάσχει. ἀμβλυωπῶν γὰρ ὁ ἁμαρτωλὸς, καὶ δεχόμενος τὴν τοῦ δικαίου εὐχῆς τὴν ἀκτῖνα, οὐ συγχωρεῖ αὐτὴν τὰ κατὰ φύσιν ἐνεργεῖν καὶ φωτίζειν. ἀλλὰ σκότος ἑαυτῷ προξενεῖ, τῷ μήτε προσέχειν διὰ καθαροῦ βίου τῇ τοῦ θεοῦ δωρεᾷ, καὶ τῇ ἀποφοιτήσει μέντοι, ἤγουν διαχωρήσει τοῦ φωτίζειν

Ministerio de Educación, Cultura y Deporte

στῶν ἐντολῶν τοῦ θεοῦ· ὁ γὰρ ἁμαρτάνων καταφρονεῖ τοῦ νόμου τοῦ θεοῦ, καὶ οὐδὲν ὑπὸ δικαίου εὐχῆς ὠφεληθήσεται. ὅτι δὲ τὰ περὶ τοῦ ἡλίου οὕτως νοεῖ, καὶ ἐν τῷ περὶ θείων ὀνομάτων κεφαλαίῳ δ΄ σημαίνει.

Ὠφέλιμοι) πῶς, καὶ πότε ὠφελεῖ δικαίου εὐχὴ ζῶντας μόνον. καὶ φησίν, ὅταν μετανοοῦντα κατὰ τὸν ἀπόστολον, κλαίειν μετὰ κλαιόντων, ὅτε καὶ τὸ λόγιον ἐκεῖνο πληροῦται, μέγα ἰσχύει εὐχὴ δικαίου, ἐνεργουμένη διὰ τῆς μετανοίας τοῦ δεομένου, τῆς εὐχῆς δηλονότι. ἐὰν γὰρ εἷς οἰκοδομῇ, τουτέστιν ὁ δίκαιος, καὶ εἷς δὲ ὁ ἁμαρτάνων καταστρέφῃ, ἀτέλεστον μένει τὸ ἔργον, ὡς ἔγνωμεν ἐπὶ τοῦ κατὰ τὸν Σαοὺλ καὶ τοῦ Σαμουὴλ ὑποδείγματος.

Ἕξιν ἱερὰν ἔχων) ἕξιν δὲ ἱερὰν ἐνταῦθα, τὴν τοῦ οἰκείου βίου πρὸς ἀρετὴν διάθεσιν εἴρηκε. συλλήπτορα δέ, ἀντὶ τοῦ βοηθόν.

Ὁμιλίαν) οὐχ ἁπλῶς τὴν πρὸς θεὸν ἡμᾶς ὁμιλίαν χωρεῖν, καὶ δι' ἑαυτῶν αἰτεῖσθαι παρὰ θεοῦ τὰ κρείττονα καὶ σωτήρια, ἀπείργει ὁ πατήρ, εἰδὼς τὸν ἀπόστολον προστάσσοντα ἀδιαλείπτως προσεύχεσθαι, ἀλλὰ τὸ οἰήσει τινὰ κρατούμενον, ὑπερφρονεῖν τῶν ἁγίων, καὶ ἀντ' οὐδενὸς τίθεσθαι τὰς τούτων εὐχάς.

Περὶ δὲ τῆς) ἐντεῦθεν ἄρχεται λέγειν, ὡς ὠφελεῖ τὸν νεκρὸν ἡ εὐχή. καὶ σημείωσαι, ὅτι καὶ πρὸ αὐτοῦ ἐζητήθη τὸ ἄπορον τοῦτο.

Παρορώσης) ποίας ἡμῶν ἁμαρτίας ὁ θεὸς παρορᾷ, διὰ τῆς τοῦ ἱερέως προσευχῆς καὶ δεήσεως.

Αἰτεῖ δὲ αὐτά) τί αἰτεῖ ὁ ἱερεύς.

Τοῖς παροῦσι) τουτέστι, τοῖς δικαίοις καὶ εὐσεβέσι.

Κατὰ θείαν ζωήν) τουτέστιν, ὅσα νομίμως καὶ ἀκολούθως ὁ δίκαιος ἐπίσκοπος αἰτήσει, λήψεται· ἀλλ' ἐπὶ δικαίων· εἴρηται γὰρ τῷ ἁγίῳ Πέτρῳ, ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς, καὶ τὰ ἑξῆς. κατὰ μίμησιν δὲ τοῦ ἁγίου Πέτρου εἰσὶν οἱ ἐπίσκοποι, ὡς μετὰ μικρὸν λέγει. σημείωσαι δὲ μέγεθος ἱεραρχίας, καὶ ὕψος, καὶ καθαρότητα.

Διὸ τοῖς ἀνιέροις) σημείωσαι ὅτι ταῦτα τοῖς ἁμαρτωλοῖς



Ministerio de Educación, Cultura y Deporte

οὐκ ἐπιτυγχάνει.

Τελετάρχου) τουτέστι τοῦ θείου πνεύματος.

Αἰτεῖτε, καὶ) ἐκ τῆς Ἰακώβου ἐπιστολῆς τὸ ῥητὸν, διδάσκον ἡμᾶς, ὡς οὐ δεῖ προσεύχεσθαι περὶ κακοῦ τινὸς προσώπου ἢ πράγματος.

Τὰς ἀφοριστικὰς ἔχουσι) περὶ τῶν ἀκοινωνησιῶν καὶ ἀφορισμῶν τῶν παρὰ τοῦ ἱεράρχου· δυνάμεις γάρ φησι, τὰς ἐκ θεοῦ δεδομένας αὐτοῖς γνωστικὰς δοκιμασίας καὶ κρίσεις, δι᾽ ὧν ἀφορίζουσι τοὺς ἁμαρτωλοὺς ἐκ τῶν δικαίων, ἢ τὸ ἔμπαλιν.

Ἀλόγοις ὁρμαῖς) σημείωσαι, ὅτι ἐὰν παρὰ τὸν σκοπὸν τοῦ θεοῦ ἀφορίσῃ ὁ ἱεράρχης, οὐχ ἕπεται) αὐτῷ τὸ θεῖον κρίμα· κατὰ γὰρ θείαν κρίσιν καὶ οὐ διὰ θέλημα ἴδιον ταῦτα ὀφείλει ἐπιφέρειν.

Τὸ πνεῦμα) σημείωσαι, ὡς παρέσχε τοῖς ἀποστόλοις τὸ μετὰ τὴν ἀνάστασιν αὐτοῖς δοθὲν ἅγιον πνεῦμα, διὰ τοῦ ἐμφυσήματος τοῦ κυρίου. Ἐλλαμπομένῳ) τῷ ἁγίῳ πέτρῳ.

Ὡς ἐκείνου τοῦ παντὸς) πῶς χρὴ λαμβάνειν τὸ τοῦ εὐαγγελίου ῥητὸν, Ὃ ἐὰν δήσῃς, καὶ τὰ ἑξῆς.

Καὶ τὴν ἱερὰν) ἱερὰν θεολογίαν φησὶ, τὸ, Σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ὃ σημειωτέον κατά τε βασιλειανῶν, καὶ νεστοριανῶν, καὶ παυλιανιστῶν, καὶ τῶν ὁμοίων. Ὅπως δὴ) καθώς.

Ἱεραρχικῶς) ἀσφαλέστατα ἐπὶ τούτων εἶπε τὸ ἱεραρχικῶς.

Θεογενεσίαν, περὶ τοῦ) ὅτι ἐπὶ μὲν τῶν βαπτιζομένων, πρότερον ἐστὶ τὸ ἅγιον ἔλαιον· ἐπὶ δὲ τῶν κεκοιμημένων, τελευταῖον.

Καὶ τότε μὲν) διὰ τί ἡ τοῦ ἐλαίου χρῖσις ἐπὶ τῶν βαπτιζομένων, καὶ διὰ τί ἐπὶ τῶν κεκοιμημένων.

Μετὰ τοῦ σφετέρου) ὅτι ἑκάστης ψυχῆς ἴδιον σῶμα ὑπάρχει, μεθ᾽ οὗ καὶ τὰς ἀνταποδόσεις κομίζεται· διὸ καὶ ἑκάτερα μετέχει τῶν ἁγιασμάτων· κατὰ κοινοῦ δὲ τὸ, ἀμφοῖν δωρεῖται.

Θεαρχικὰς κοινωνίας) ἡ θεία θεσμοθεσία δηλονότι.

Τὸν ὅλον ἄνθρωπον) σημείωσαι, ὅτι ὅλον ἄνθρωπον κα-

Ministerio de Educación, Cultura y Deporte

λεῖ, τὸν ἐκ τῆς νοερᾶς ψυχῆς καὶ σώματος, ὡς δηλοῖ τὸ, ἐν καθαρᾷ θεωρίᾳ καὶ ἐπιστήμῃ· καὶ ὅτι ὁλικὴν φησὶ σωτηρίαν, τῆς ψυχῆς καὶ τοῦ σώματος. διὰ τοῦτο δὲ ταῦτα δεῖ σημειώσασθαι, ἵνα ὅταν εἴπῃ ἐν ἑτέροις λόγοις, ὁλικῶς οὐσιωθῆναι τὸν ὑπερούσιον Ἰησοῦν καθ' ἡμᾶς, νοήσῃς ἐκ ψυχῆς νοερᾶς καὶ σώματος τὴν ἐνανθρώπησιν.

Τελεστικὰς ἐπικλήσεις) τελεστικὰς ἐπικλήσεις φησὶ, τὰς ἐπὶ τῆς χειροτονίας εὐχάς· σημείωσαι δὲ, διὰ τί ταύτας, ἤτοι τὰς ἁγίας ἐπικλήσεις καὶ τὰς ἐνεργείας ἐσιώπησεν.

Ἐξάγειν) δημοσιεύειν.

Παῖδας οὔπω) σημείωσαι, τί φησιν ὁ πατὴρ περὶ τοῦ τὰ βρέφη βαπτίζεσθαι. ταῦτα δὲ ὡς ἐρωτήσαντι τῷ ἁγίῳ Τιμοθέῳ ἔγραψεν, ὡς ἔστι δῆλον, ὅτι καὶ τὰ πρότερα καὶ τοὺς ἄλλους λόγους πρὸς ἐρωτῶντας ἔγραφε.

Τὰς ἱερὰς παραδόσεις) ὅτι καὶ τότε ἦσαν οἱ σκώπτοντες τὰ μυστικὰ ἡμῶν, ὡς καὶ τὰ περὶ τῶν βαπτιζομένων παίδων, ὧν μὴ δυναμένων λαλῆσαι, οἱ προσφέροντες αὐτοὺς, ἀποτάσσονται ὑπὲρ αὐτῶν, καὶ συντάσσονται. περὶ οὗ σκώμματος ἀπολογεῖται, προστιθεὶς, ὅτι οὐ πάντα πᾶσι γνωστά. σημείωσαι δὲ ὡς καὶ οἱ ἄγγελοι πολλὰ ἀγνοοῦσιν.

Ἐπιστητὰς) ἐπιστητὰς, ἤτοι γινωσκομένας.

Φασὶ γὰρ ὅπερ) σημείωσαι, πῶς παρέλαβεν ἐκ τῶν περὶ αὐτοῦ, περὶ τῶν παίδων.

Καθηγεμόσιν) καθηγεμόνας, τοὺς ἀποστόλους φησίν.

Ἀγαθῶν τὰ θεῖα) σημείωσαι, τίνι παραδίδοται ὁ παῖς ὑπὸ τῶν γονέων, ὅταν βαπτισθῇ, ὅτι ἀναδόχῳ μεμυημένῳ τὰ θεῖα, πρὸς ἀναγωγὴν ἱεράν.

Καθηγεμόνα) σημείωσαι, ὅτι καὶ τὸν ἀνάδοχον καθηγεμόνα καλεῖ. Γινομένῳ) τὴν ζωὴν δηλονότι.



Ministerio de Educación, Cultura y Deporte

# ΕΙΣ ΤΑ ΠΕΡΙ ΘΕΙΩΝ ΟΝΟΜΑΤΩΝ, ΜΑΞΙΜΟΥ σχόλια.

ΑΡΕΟΠΑΓΙΤΟΥ) ὅτι τὰ γνωρίσματα ἅπερ εἶχον ἔνιοί τινες ἔτι ὄντες, οἱ πάλαι ἅγιοι, καὶ μετὰ τὸ ἐπιστρέψαι πρὸς χριστὸν ἀνερυθριάστως ἐπέγραφον ἑαυτοῖς· ἰδοὺ γὰρ ἀρεοπαγίτην ἐπωνόμασεν ἑαυτὸν, ὡς καὶ ὁ θεῖος ἰουστῖνος ἐν τῷ πρὸς ἕλληνας λόγῳ, ἰουστίνου φιλοσόφου.

Συμπρεσβυτέρῳ) ὅτι τὸ τοῦ πρεσβυτέρου ὄνομα καὶ τὸν ἐπίσκοπον δηλοῖ· ἐπίσκοπος δὲ καὶ ὁ πρεσβύτερος. καὶ τοῦτο δηλοῦται ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων, ἔνθα ἐν ἀσίᾳ συντάσσεται ταῖς ἐκκλησίαις αὐτῆς ὁ παῦλος.

## ΚΕΦΑΛ. α.

Θεολογικάς) σημείωσαι, ὅτι ἑτέρα πραγματεία πεπόνηται τῷ πατρὶ, οἱονεὶ προεισαγωγή τις καὶ προθεωρία στοιχειώδης, τῶν περὶ θεοῦ ἐν ταῖς γραφαῖς ἀπεράντων εἰρημένων· ἤτοι ἐπίμνησις ἐστὶν ἧς τοὺς κατ' ἀκολουθίαν ἡ παροῦσα αὐτῷ πεπραγμάτευται.

Οὐκ ἐν πειθοῖς) ἡ ἀνθρωπίνη σοφία ἐκ τῶν αἰσθητῶν τὰς πιθανότητας τῶν ἀποδείξεων ἐρανίζεται· ἡ γὰρ μεγάλη τῶν

Ministerio de Educación, Cultura y Deporte

συλλογισμῶν ἀνάγκη, τῆς γεωμετρίας τὰς ἀφορμὰς παραλαμβάνει· ἐπὶ δὲ τῶν ἀσωμάτων, μᾶλλον δὲ καὶ ὑπερασωμάτων, ἢ ὑπὲρ πᾶσαν οὐσίαν, πῶς ἄν τις λογικῶς ἐπιστήσειεν ἀνερμηνεύτως, εἰ μὴ μόλις τῷ ἀκροτάτῳ ἄνθει τοῦ νοῦ τῆς περὶ θεοῦ ἀγνωσίας, ὅ, τί ποτέ ἐστι διὰ τῆς εἰλικρινοῦς εὐσεβείας, ἀλαλήτως συννοεῖν δυνάμενος.

Ἐννοῆσαί τι περὶ τῆς ὑπερουσίου) ὑπερούσιος ὁ θεὸς, ὡς ὑπὲρ πᾶσαν οὐσίαν θεωρούμενος, εἴτε νοητὴν, εἴτε νοερὰν, πολλῷ δὲ μᾶλλον αἰσθητήν.

Ὑπερουσιότητος) εἰ οὐσία λέγεται παρὰ τὸ εἶναι· τὸ δὲ εἶναι παραγωγῆς τινὸς ἔννοιαν ὑπογράφει· οὐκ ἂν λέγοιτο κυρίως οὐσία ἐπὶ θεοῦ· πάσης γὰρ οὐσίας ὑπέρκειται ὁ θεός, οὐδέν τι τῶν ὄντων ὤν, ἀλλ' ὑπὲρ τὰ ὄντα, καὶ ἐξ οὗ τὰ ὄντα· ἡ γὰρ τοῦ μόνου θεοῦ πᾶσιν ἀπόκρυφος θεότης, θεαρχικὴ δύναμίς ἐστιν, ἄρχουσα τῶν λεγομένων θεῶν εἴτε ἀγγέλων, εἴτε ἁγίων ἀνθρώπων, καθὰ καὶ δημιουργός ἐστι τῶν ἐκ μεθέξεως γινομένων θεῶν, ἡ τῷ ὄντι ἐξ ἑαυτῆς καὶ ἀναιτίως αὐτοθεότης οὖσα.

Αὐτῇ τὴν ὑπερούσιον) μόνη γὰρ αὐτῇ τῇ θεότητι τὰ καθ' ἑαυτὴν ὡς ἔχει φύσεως, ἐπιστητά.

Λογίων ἀκτὶς) καλῶς εἶπεν ἀκτὶς, καὶ οὐχ ἥλιος· ὥσπερ γὰρ τῷ ἡλίῳ ἐνατενίσαι οὐ δυνάμεθα, ἀλλ' ἴσως ταῖς περὶ αὐτὸν ἀκτῖσιν, οὕτω θεὸν αὐτὸν νοῆσαι οὐ χωροῦμεν.

Τῇ περὶ τὰ θεῖα σωφροσύνῃ) οὐ γὰρ κατατολμητέον θεολογίας, ἀλλὰ σωφρονοῦντι λογισμῷ μετιτέον τὴν περὶ τὸ θεῖον σέβας ὁσιότητα, μόνα φθεγγομένους καὶ πρὸς ἑρμηνείαν ἄγοντας ἐκεῖνα τὰ περὶ τοῦ θεοῦ κατὰ τὴν γραφὴν χρησμῳδηθέντα, ὡς πρὸ μικροῦ εἶπεν.

Ἀληθεστάτη θεολογία) ὅρα πῶς ἀληθῆ θεολογίαν καλεῖ

Ministerio de Educación, Cultura y Deporte

τὴν τοῦ θείου παύλου γραφήν· αὐτὸς γάρ ἐστιν ὁ λέγων, ὅτι κατὰ τὸ μέτρον τῆς ἑκάστου δυνάμεως ἡ παρὰ θεοῦ χορηγεῖται σαφῶς ἔλλαμψις· ὥσπερ καὶ ὁ κύριος δηλοῖ, λέγων τοῖς τελειοτέροις μαθηταῖς, ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας· ἅτε καὶ νουνεχέστερον προσέχουσι τοῖς θεσπιζομένοις. οὐ μόνον δὲ τοῦτο περὶ ἀνθρώπων φησὶ διαλέγεσθαι ὁ μέγας διονύσιος, ἀλλὰ καὶ περὶ τῶν ἀγγέλων, οὓς εἴωθεν ὀνομάζειν κατά τινας τῶν τῆς ἔξω φιλοσοφίας, νόας· οἵ τινες τῶν ἄνω ταγμάτων νόες εἴρηνται, ὡς τὸ πᾶν νοῦς οὐσιωμένως ὄντες, πάντα νοοῦντες, ἑνιαίως τὰ ἐκ θεοῦ ῥέοντα προσεχῶς εἰς αὐτούς· ὅθεν καὶ ὅλοι ὅλως κατομματοῦσθαι λέγονται ἐν τοῖς ἁγιωτάτοις χερουβίμ.

Ανακαλύπτεται τὰ θεῖα) σημείωσαι, ὅτι καὶ οἱ ἄγγελοι κατὰ τὴν οἰκείαν ἀναλογίαν, τῆς θεογνωσίας ἀξιοῦνται.

Εν σωστικῇ δικαιοσύνῃ) διὰ τοῦτο φησὶν, ἑκάστῳ κατὰ τὴν αὐτοῦ δύναμιν ὁ θεὸς ἀποκαλύπτει, οὐχ ὅτι φθονεῖ τοῦ πλείονος, ἀλλὰ διὰ τὸ σῶσαι τὴν ἐν τῇ μετρήσει τῆς θεογνωσίας δικαιοσύνην· δικαιοσύνης γὰρ ἴδιον, τὸ κατ᾽ ἀξίαν ἐπιμετρεῖν ἑκάστῳ. τοιγαροῦν, ἀμέτρητος μὲν, ἡ περὶ θεοῦ γνῶσις· ἡμεῖς δὲ, μέτρων δεόμεθα· εἰ γὰρ ἀμέτρως ἡμῖν ἀπεκαλύπτετο, οὐκ ἂν ἐσώθημεν, ὡς οὐδὲ σωματικὸς ὀφθαλμὸς, ὅλον ἥλιον δεχόμενος.

Τὴν ἀμετρίαν θεοπρεπῶς) ἀμετρίαν λέγει νῦν αὐτὸ τὸ θεῖον, καὶ τὴν αὐτοῦ κατὰ τὸ δυνατὸν ἔλλαμψιν.

Ωσπερ γὰρ ἄληπτα) τὸ ἀκατάληπτον τῆς περὶ θεὸν γνώσεως, ἐντεῦθεν παρίσταται· εἰ γὰρ οὐδὲ τὰ ἁπλᾶ καὶ ἀσχημάτιστα, καὶ οὐσίαι τινὲς ὦσι, ταῖς αἰσθήσεσιν ὑποπίπτουσιν, ὡς ἄγγελοι καὶ ψυχαὶ τοῖς σωματικοῖς, πόσῳ μᾶλλον ὑπερέχει ὁ θεὸς, ὁ μήτε οὐσία, ἀλλ᾽ ὑπερούσιον· μήτε ἁπλοῦς, ἀλλ᾽ ὑπὲρ

Ministerio de Educación, Cultura y Deporte

ἁπλότητα· μήτε νοῦς, ἀλλὰ καὶ ὑπὲρ νοῦν· μήτε ἑνάς, ἀλλὰ καὶ ὑπὲρ ἑνάδα· καὶ οὔτε ὅρῳ τινὶ περιγραφόμενος, ἀλλ' ἀορίστως τῶν ὄντων ἀφῃρημένος. ἀκούων οὖν ἐν τῇ γραφῇ μορφὴν θεοῦ, καὶ εἶδος, καὶ πρόσωπον, δι' ἀναγωγῆς καὶ ὑπὲρ τὰ σώματα ἀξίως θεοῦ νόει· ἑνότητα δὲ ἀκούων, μὴ διαφόρων τινῶν πρὸς ἕνωσιν συνδρομὴν νοήσῃς· οὐ γὰρ περὶ τοιούτων ὁ λόγος νῦν, ἀλλὰ περὶ θεοῦ, τοῦ μήτε ἀρχῆς ἀριθμῶν ὄντος καὶ ἀσυνθέτου, ἀλλὰ καὶ ὑπὲρ τὰ μονοούσια ἡνωμένου.

Ἑνοποιός) ἐντεῦθεν μετὰ τὸ ἐξηγῆσαι πάντων τῶν ἐν τοῖς οὖσι τὰ περὶ θεοῦ, λοιπὸν τῷ μέτρῳ τῆς ἡμετέρας γλώσσης ἀκολουθῶν· οὐ γὰρ ὑπερβῆναι ταύτην δυνατὸν ἡμῖν ἐξ αὐτῶν δοξάζει τὸν θεόν, ἐξ ὧν αὐτὸν ἐξεῖλε· καὶ ἑνάδα φησίν, ἀλλ' ἑνοποιὸν τῶν ἑνάδων, τουτέστι δημιουργὸν τῶν ἁπλῶν οὐσιῶν, οἷον ἀγγέλων καὶ ψυχῶν· καὶ νοῦν ἀνόητον, ἀντὶ τοῦ μὴ νοούμενον ὑπό τινος νοῦ· εἰ γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεται, ἔχρην, εἰ νοῦς ἦν, ὑπὸ τῶν νόων νοεῖσθαι· ἀλλὰ τίς ἔγνω νοῦν κυρίου. οὐκοῦν νοῦς ἐστιν ὑπὲρ νοῦν, καὶ ὄνομά ἐστι τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ τὸ ὄνομα γάρ μου φησίν, οὐκ εἶπον αὐτοῖς· διὸ καὶ ἀνώνυμος πᾶσιν. ἀλλὰ καὶ οὐδὲ ὤν ἐστιν· εἰ γὰρ αὐτὸς τὰ ὄντα ἐκ τῶν μὴ ὄντων δημιουργεῖ, οὐκ ἄρα τῶν ὄντων ἐστίν, ἀλλ' ὑπὲρ τὰ ὄντα. ἐὰν δὲ λέγῃ, Ἐγώ εἰμι ὁ ὤν, ἀξίως νόει ἄναρχον καὶ ἀτελεύτητον, ἀλλὰ καὶ ἀνεξερεύνητον.

Ὅ, τι ποτέ ἐστιν ἐπιστήμη) μόνος γὰρ ὁ θεὸς αὐτὸς τὰ περὶ ἑαυτοῦ ἐπίσταται, ἐπιστητῶς καὶ κυρίως εἰδὼς ἑαυτὸν ὡς ἔστι· τοῖς δὲ ἑξῆς ἅπασιν ἀνεπίγνωστος ὢν κατ' αὐτό, τὸ τί ἐστι καὶ καθ' ὅ ἐστιν· οὐδεὶς γὰρ γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός· καὶ τὸν υἱόν, εἰ μὴ ὁ πατήρ· γινώσκων γὰρ ὁ πατὴρ τὴν ἑαυτοῦ προσκυνητὴν εἰκόνα, τουτέστι τὸν υἱόν, γινώσκει ἑαυτόν. τὸ αὐ-

Ministerio de Educación, Cultura y Deporte

τὸ καὶ περὶ τοῦ ἁγίου πνεύματος· οὐδεὶς γὰρ οἶδε τὰ τοῦ θεοῦ, εἰ μὴ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ. πάντα τοίνυν ὅσα περὶ θεοῦ θεωρεῖ ὁ μακάριος οὗτος ἀνήρ, περὶ τῆς σεβασμίας τριάδος νοεῖ.

Ἀπειρίαν) τὸ πεπερασμένον καὶ περιληπτόν ἐστιν εἰκότως, ὑφ' οὗ καὶ πεπέρασται. εἰ δὲ ὁ θεὸς τῶν ἁπάντων ἐστὶ τόπος, οὐ σωματικῶς, ἀλλὰ δημιουργικῶς· τὸν γὰρ οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ πάντα αὐτὸς πληροῖ, καὶ ἔξω τούτων ἐστὶ, δῆλον ὅτι ἀπειρία ἐστὶ, τουτέστι πέρας οὐκ ἔχουσα δύναμις.

Οὐ μὴν ἀκοινώνητον) τουτέστι τὰ πάντα τῆς αὐτοῦ μετέχουσι κοινωνίας καὶ σωτηρίου προνοίας.

Τὴν ὑπερούσιον) πῶς, ποτὲ μὲν, οὐσίαν τὸ θεῖον καλεῖ· ποτὲ δὲ ὑπερούσιον, ὥσπερ νοῦν ἀνόητον, καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· οὕτω καὶ οὐσίαν ὑπερούσιον.

Ἐπιβάλλοντας) ὧν γὰρ τὴν κατάληψιν δέδωκεν ἡμῖν ὁ θεός, τούτοις ἐπιβάλλειν προσήκει τὸν ἡμέτερον νοῦν, καὶ μηδὲν πέρα τῆς ἡμετέρας ἀσθενείας ζητεῖν· οἷον, ὅτι ἀγαθὸς, ὅτι δημιουργὸς, ὅτι φιλάνθρωπος, καὶ τὰ ἑξῆς· τὸ δὲ, τίς ἡ οὐσία τοῦ θεοῦ, μὴ πολυπραγμονεῖν.

Ἀδυνάτως ἀπαυθαδιζομένους) καλῶς τὸ ἀδυνάτως· κἂν γὰρ ἐπιχειρήσῃ τις, οὐκ ἐφικνεῖται μὲν, μόνον δὲ τὰς νοερὰς ὄψεις ἀμαυρούμενος καὶ τοῦ ὄντος ἐκπίπτει φωτὸς ὡς ὁ φιλονικήσας ὅλον ἥλιον τῷ σωματικῷ δέξασθαι ὀφθαλμῷ, ὅπερ αἱ θεῖαι καὶ νοηταὶ δυνάμεις αἰνιττόμεναι, χερουβὶμ καὶ σεραφὶμ τὰ πρόσωπα καλύπτουσι, δηλοῦντα μὴ προσιέναι τῇ ὑπὲρ αὐτοὺς θεωρίᾳ μὴ δεδομένῃ αὐτοῖς· καὶ τοῦτό ἐστι τὸ, Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ὅθεν οἱ θεόσοφοι δόξαν θεοῦ, ἀλλ' οὐ θεὸν ἑωρακέναι φασί.

Τὸ μὲν ὑπὲρ νοῦν) σαφῶς ἐκ τούτων ἐστὶ λαβεῖν τὴν ἀρρείν

Ministerio de Educación, Cultura y Deporte

καὶ Εὐνομίου μανίαν, οἳ καὶ τεχνολογεῖν τὴν ἄρρητον καὶ ὑπερούσιον οὐσίαν τοῦ μονογενοῦς ἐθάρρησαν.

Τῆς θεαρχίας) θεαρχίαν καλεῖ πανταχοῦ, τὴν παμβασιλίδα τριάδα, διὰ τὸ καὶ τῶν λεγομένων θεῶν ἀρχὴν, ἀγγέλων φημὶ καὶ ἁγίων, ὡς προειρήκαμεν. κρύφιον δὲ, τὸ περὶ τῆς ἀκατονομάστου ἐκείνης οὐσίας ἀκατάληπτον. ὅπερ μετὰ μικρὸν φησὶ, σώφρονι σιγῇ, καὶ ἀνωτέρω, ὡς θεμιτὸν αὐτῷ καὶ ἱεροπρεπῶς.

Καὶ τὴν ἀγαθοδότιν ἀρχὴν) κατὰ τὸ ἐστὶν ὁ θεὸς ἀρχὴ πάσης φωτοφανείας, καὶ ἥτις αἱ φωτοφάνειαι, καὶ ἀναμορφώσεις.

Ἀνάστασις) τοῦτό ἐστιν ὃ λέγει Συμεὼν, ὅτε τὸν Χριστὸν εἶδεν, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, πτῶσιν μὲν τοῦ ἐν ἡμῖν χείρονος· ἀνάστασιν δὲ, τοῦ βελτίονος.

Τῶν φωτιζομένων, ἔλλαμψις) βαθμηδὸν, ὥσπερ ἐπὶ τὰ μείζονα προϊὼν φησὶ, πρότερον φωτιζομένους, εἶτα τελουμένους. τελεῖσθαι δέ ἐστι, τὸ εἰς τελειότητα ἄγεσθαι διὰ τῆς μετὰ τὸ βάπτισμα δι' ὅλης ζωῆς προκοπῆς, ἵνα δύνηταί τις εἰπεῖν, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. ἡ οὖν προσκυνητὴ τριὰς, τῆς τοιαύτης τελετῆς ἄρχουσα, ἅτε καὶ πάσης τελειώσεως ποιητικὴ τελετάρχις, εἰκότως νοεῖται. οἱ γοῦν τῇ προκοπῇ τελειούμενοι, θεοῦνται πάντως, θείας κοινωνοὶ φύσεως γινόμενοι, ὧν ἀναλόγως ἡ θεαρχία ὁ θεὸς, θεῶν γεγενημένων ἀρχή τις ὤν. μετὰ γοῦν τὴν ἀνάβασιν ταύτην εἰς ἁπλότητα προκόπτουσιν, ἰσάγγελοι διὰ τῆς ἀναστάσεως γινόμενοι, καὶ οὐκέτι ψυχικὸν ἔχοντες σῶμα, κατὰ τὸν ἀπόστολον, τουτέστι διὰ ψυχῆς συνεστώς τε καὶ κινούμενον, ἀλλὰ πνευματικὸν, ἀντὶ τοῦ διὰ τοῦ παναγίου πνεύματος ἐπὶ μέγα χυθέντος ἐπ' αὐτοὺς τῆς πολυσυνθέτου τῶν λογισμῶν ποικιλίας, καὶ τῶν

Ministerio de Educación, Cultura y Deporte

αἰσθήσεων ἀπηλλαγμένοι· ὅθεν καὶ ἑνίζονται εἰς ἑνάδα ἁπλό-
τητος ἀγόμενοι, καθὰ προείρηκα· λέγει γὰρ καὶ ἀλλαχοῦ·
τῶν γάρ φησι, τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία.

Η τῶν ζώντων ζωὴ) καθ' ἑαυτὸν ὁ θεὸς οὐ νοεῖται. ἐπεὶ γὰρ
τῶν ὄντων πάντων ἐστὶν αἰτία καὶ ἀρχή, τῶν ἁπλῶν ἁπλότης ἐστί,
τῶν ζώντων ζωή, τῶν οὐσιῶν ὑπερούσιος, καὶ ἁπλῶς πάντων
ἀγαθῶν μεταδότης ἐστίν.

Εκφαντορικῶς) ἐκφάντορες κυρίως ἐλέγοντο, οἱ τῶν μυ-
στηρίων τὰ ἄρρητα συμβολικῶς ἐκφαίνοντες.

Ως μονάδα μὲν) ἐνταῦθα τί φησι, τί μάλιστα θέλει δηλοῦν
ἑνὰς καὶ μονὰς ἐπὶ θεοῦ λεγομένη· καί φησιν, ὅτι περ ἵνα πα-
ραστήσῃ τὴν ἀμέρειαν τοῦ θεοῦ, τοῦτο λέγεται παρὰ τῶν
θεολόγων· τὸ γὰρ ὄγκοις καὶ πηλικότησι διειλημμένον, τοῦτο
ἅτε καὶ σῶμα μερίζεται· τὸ δὲ, ἀμερὲς καὶ ἀνέμφατόν ἐστι
σώματος, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν ἐστὶν ἀσωματίαν· ἄλλως τε
ἐπειδὴ διανοηθεὶς ὁ θεὸς βουλητικῶς τὰ πάντα ὑπέστησεν, οὐχ
διά τινος νοῦ εἰς νοήσεις μερισθεὶς ἐπολλαπλασιάσθη· ἀλλὰ
μείνας καὶ μένων φησὶν, ἐν τῇ ἑνάδι ἀμερῶς καὶ ἀσκεδάστως
καὶ ὑπέστησε καὶ ὑφίστησι τὰ ἐν τῇ κτίσει· ἕως γὰρ ἄρτι ἐργάζε-
ται ὁ θεὸς, ὡς ἐν εὐαγγελίοις εἴρηται. ὑπερήπλωται οὖν πᾶ-
σαν ἁπλότητα ἀμερῶς ὑπεραίρων.

Καὶ τῶν μερικῶν) ἐπὶ τῶν ὑπερουρανίων κόσμων καὶ
τοῦδε τοῦ ὁρατοῦ, τὰ κατώτερα ἔστραπται ἐπὶ τὰ ὑπερκεί-
μενα, καὶ τὸ σωματικὸν ἥδρασται ἐν τῷ ζῶντι· ἐν γὰρ τῇ χειρὶ
αὐτοῦ πάντα τὰ πέρατα τῆς γῆς· ἀλλὰ γὰρ καὶ οἱ οὐρανοί· ἐν
ᾧ γάρ φησι, τὰ πάντα. ἐπὶ δὲ τοῦ καθ' ἡμᾶς θνητοῦ, τὸ ἀνά-
παλιν ἐστὶ τῶν εἰρημένων· ἡ γὰρ ψυχὴ ἔστραπται πρὸς τὸ πνεῦ-
μα ἐν ᾧ εἰσὶν ἐστηριγμέναι αἱ αἰσθήσεις καὶ οἱ λογισμοί, δι' ὧν
τὰ ἐν τῇ σκέψει λογιζόμεθα, ὥσπερ τὸ πνεῦμα οἶδε τὰ ἐν τῷ αἰ-

Ministerio de Educación, Cultura y Deporte

θρώπῳ κατὰ τὸν ἀπόστολον. ἐπεστραμμένη οὖν πρὸς τοῦτο τὸ πνεῦμα ἡ ψυχὴ, ἐπέστραπται καὶ πρὸς τὰς ἐν αὐτῷ αἰσθήσεις, καὶ δι' αὐτῶν πρὸς τὸ σῶμα· καὶ ἐν τῷ νῷ αἱ νοήσεις οἱονεὶ μερίζονται, καὶ εἰς ἑτερότητας σκεδαστῶς περιΐασιν ἀπὸ πρώτης νοήσεως εἰς δευτέρας, εἰς κρείττονας, ἢ εἰς φαύλους. φησὶν οὖν ὅτι ἀνατεινόμενοι πρὸς θεὸν, γινόμεθα ὑπὸ τῆς ἑνάδος ἐκείνης ἓν ἀμερὲς, τῶν πολυμερῶν ἡμῶν ἑτεροτήτων ἐκ τοῦ σκεδασμοῦ εἰς σύμπτυξιν ἀθροιζομένων, καὶ ἑνοποιουμένων ὑπερκοσμίως, τουτέστιν οὐκ αἰσθητῶς, ἀλλὰ νοερῶς, οὐκ ἔτι ἀσυμβάτων ὄντων ἡμῶν πρὸς ἑαυτοὺς, ἀλλὰ γινομένων ἓν ἑνοειδὲς, ὡς καὶ αὐτὸς ἕν ἐστιν, ὡς φησὶν ἐν εὐαγγελίοις.

Ὡς τριάδα δὲ) σημείωσαι τριάδα τρισυπόστατον· καὶ γονιμότητα φησὶ τὴν πατρικὴν ὑπὲρ ἔννοιαν πρόοδον εἰς ἔκφανσιν τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καλῶς δὲ τὸ ὡς τριάδα, ἐπειδὴ οὐκ ἀριθμὸς, ἀλλὰ δόξα εἴρηται, κύριος ὁ θεὸς, κύριος εἷς ἐστίν.

Ἐξῆς πᾶσα πατριὰ) πατριὰς νοητέον τὰς τάξεις τὰς ἐκ τῆς ὁμοταγίας, οἱονεὶ συνημμένας ἀλλήλαις, χερουβὶμ, σεραφὶμ, ἀρχὰς, ἐξουσίας. ἐφ' ἡμῶν δὲ καὶ τὰς πνευματικὰς, ὡς συγγενεῖς· καὶ ἀλληλουχίας, ὡς δηλοῖ καὶ μετουσίης τὰς συγγενείας.

Ὅτι τὰ ὄντα πάντα) πάντα τὰ τοῦ θεοῦ δημιουργήματα καλὰ, καὶ καλὰ λίαν γεγόνασι, καὶ εἰσὶν, ἐφ' ὅσον ἐν τῇ κατὰ φύσιν ὡς γεγόνασι, μένουσι τάξει· ἡ δὲ τοῦ κατὰ φύσιν παρατροπὴ, εἴτε ἐν ἀγγέλοις, εἴτε ἐν ψυχαῖς, εἴτε ἐν ὁποιοισοῦν σώμασι γινομένη, τὸ κάλλος ἀπόλλυσι, καὶ τῇ τούτου διαμαρτίᾳ τὸ αἶσχος δημιουργεῖ.

Πρὸς ἀλήθειαν ὁλικῶς) τὴν οἰκονομίαν ἐνταῦθα φράζει καλῶς, ὅτι εἷς τῆς τριάδος ἔπαθε. σημείωσαι δὲ, ὅτι μία τῶν

ὑποστάσεων ἡμῖν ἐκοινώνησεν ὁλικῶς· καὶ ὅτι αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἁπλοῦν εἶπεν, εἶτα σύνθετον ἀνακαλούμενον πρὸς ἑαυτὸν τὴν ἀνθρωπίνην ἐξαπαί. καλῶς οὖν λέγομεν, ὅτι εἷς τῆς ἁγίας τριάδος ἦν ἐν τῷ σταυρῷ. τοῦτο κατὰ νεστοριανῶν καὶ ἀκεφάλων· ἰδοὺ γάρ φησι, μία τῶν ὑποστάσεων ὁλικῶς ἡμῖν ἐκοινώνησεν, ὥς φησιν ὁ ἀπόστολος, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· τοῦτο δὲ τὸ ὁλικῶς καὶ κατὰ ἀπολιναρίου ἐστί· δηλοῖ γὰρ τέλειον ἄνθρωπον ἀνειληφέναι αὐτόν.

Καὶ παράστασιν εἴληφε) τὸ παράστασιν εἰρηκέναι τὸν πατέρα, ὑπολαμβάνω τὸ χρονικὸν μέτρον εἶναι τῆς ἐν σαρκὶ τοῦ κυρίου διαγωγῆς.

Καὶ ἀσυγχύτου) ἔμεινε γὰρ αὐτὸς θεὸς λόγος γενόμενος, ὅπερ οὐκ ἦν ἀσυγχύτως. καὶ σημείωσαι, ὅτι τὸ ἀσύγχυτον ἐκ τῶν ἀποστολικῶν κεκήρυκται καιρῶν.

Καὶ ὅσα ἄλλα θεουργικά) θεουργικὰ φῶτα φησὶ τὰς διδασκαλίας τῶν ἁγίων, ὡς φῶς γνώσεως ἐμποιούσας καὶ θεοῖς τοῖς πειθομένοις.

Καθηγεμόνων κρυφία) σημείωσαι, ὅτι τὰ περὶ τῶν ᾐνιγμένων, ἃ ὑπὲρ τὴν τῶν πολλῶν ἀκοὴν ὄντα, εἴτε περὶ θεολογίας, εἴτε καὶ περὶ τῆς τοῦ ζωοποιοῦ θεοῦ οἰκονομίας κρυφίως παρεδίδοσαν οἱ θεῖοι ἀπόστολοι, μυστηριωδῶς ἀποκαλύπτοντες τοῖς τελείοις· καὶ ὅτι ἐκ τῶν ἀποστόλων ἐστὶ τὸ ἀσυγχύτως καὶ ἀμεταβλήτως, ὃ εἶπε, καὶ τὸ τοῦ ὅλου ἀνθρώπου· διὸ καὶ ὁ ἀπόστολος γράφων θεσσαλονικεῦσι φησὶ, χρῆναι φυλάττειν αὐτοὺς, ὅσα ἤκουσαν, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς· καὶ τιμοθέῳ πάλιν παραθήκην λέγων δεδωκέναι ἐν μυστηρίῳ, ὅπερ ἐνταῦθα ἐκφαντορικῶς εἴρηται.

Διὰ τῶν ἱερῶν παραπετασμάτων) σημείωσαι, ὅτι ἐν μιᾷ

τάξει

Ministerio de Educación, Cultura y Deporte

τάξει θεῖον τὴν τῶν ἁγίων γραφῶν, καὶ τὰς τῶν ἐπισκόπων παραδόσεις, οὓς ἱεράρχας εἴωθε καλεῖν, ὡς ἄρχοντας τῶν ἱερέων, τουτέστι πρεσβυτέρων καὶ διακόνων, καὶ πυλωρῶν, ὡς φησὶν ἐν τῇ καθ' ἡμᾶς ἱεραρχίᾳ. ὅθεν καὶ ταῖς αὐτῶν χρήσεσι περὶ τὰ δόγματα πειθόμεθα. ἐξ ὧν φησὶ, λογίων τὰ παχύτερα τοῖς ὑπερουσίοις περιτίθεται διὰ νόησιν καὶ μυσταγωγίαν ἡμετέραν. ὡς ἐπὶ μὲν θεοῦ, ὅταν φαίνηται ὡς πῦρ, καὶ ὡς γέρων ἐν Δανιὴλ, καὶ ὡς ἀνὴρ παλαίων τῷ Ἰακὼβ, καὶ ὅσα τοιαῦτα. ἐπὶ δὲ ἀγγέλων, ὡς τὰ χερουβὶμ, ἅτε καὶ κτηνειόμορφα, καὶ ἄλλοι ἐν τάξει ἀνδρῶν καὶ νεανίσκων.

Τῶν μειζόνων συμβόλων) ὅτι ἀνθρωπολογεῖ τὸ θεῖον ἡ γραφὴ, ἐκ τῶν ἀνθρωπίνων αὐτὸ ὀνομάζουσα, πόδας, καὶ χεῖρας, καὶ πρόσωπα αὐτῷ περιτιθεῖσα.

Ὅταν ἄφθαρτοι) ὅτι ἐν τῇ ἀναστάσει οἱ ἅγιοι μετὰ ἀφθαρσίας καὶ ἀθανασίας, τῆς χριστοειδοῦς τύχοιεν καταστάσεως, λάμποντες ὑπὲρ τὸν ἥλιον, ὡς καὶ ὁ κύριος ὅτε ἐν τῷ ὄρει μετεμορφώθη, καθά φησιν ὁ ἀπόστολος περὶ τῶν ἁγίων, ὅτι τότε ἔσονται ὡς καὶ αὐτός ἐστι, καὶ πάντοτε σὺν κυρίῳ ἔσονται.

Ὁρατῆς αὐτοῦ θεοφανείας) σημείωσαι, ὅτι καὶ τὸ θεῖον αὐτοῦ σῶμα, ὁρατὴν θεοφάνειαν φησίν, ὡς κατὰ τοῦτον ἁρμόττειν τὸ ῥητὸν καὶ κατὰ νεστοριανῶν, καὶ ἀκεφάλων, καὶ τῶν ὑπολαμβανόντων μὴ εἶναι καὶ νῦν καὶ ἔσεσθαι μετὰ σαρκὸς τὸν κύριον· καὶ ὅτι ἡ μέν τίς ἐστιν ὁρατὴ αὐτοῦ θεοφάνεια, ὅ ἐστιν ἡ ἐμψυχωμένη σὰρξ· ἡ δὲ νοητὴ, ἥτις κατὰ νοῦν ἔσται ἡμῖν μεθεκτὴ τότε τελειοτέρως. ὅθεν ἐπιστραφέντες πρὸς θεὸν, ἐκεῖθεν τελείως ἐλλαμπόμενοι, ἑνοειδῶς ἐγγινώμεθα, ἤδη θεωθέντες τῶν κατὰ σύνθεσιν ἑτεροτήτων ἡμῶν, ὅπερ δηλοῖ τὰς κοσμικὰς αἰσθήσεις καὶ ἐπιθυμίας.

Ἐν θειοτέρᾳ μιμήσει) θειοτέραν μίμησιν εἴρηκε, τὴν ἀκρι-

βεστέραν καὶ τελεωτέραν σημαίνων, ὡς καὶ νῦν ἀγγελοπρεπὴς ὁ τῶν ἁγίων βίος ἐν τῇ τοῦ θεοῦ αἰνέσει καὶ ὑπεροψίᾳ τῶν σαρκικῶν, κἂν οὐ παντελεῖ· διὸ καὶ τὰ τῆς μιμήσεως μετριώτερα· τότε δὲ τὸ τέλειον ἐν τούτοις φανήσεται.

Τῶν νοητῶν θεαμάτων) ὅτι ἐκ τῶν συμβόλων τὰ περὶ ἀγγέλων νοητὰ ἐπιτηδεύομεν· περὶ γὰρ ἀγγέλων φησίν, ὡς δηλοῖ καὶ τὸ λέγειν αὐτοὺς θεοειδεῖς. ἄνω δὲ καὶ τὰ περὶ αὐτῶν σύμβολα δηλοῖ ἐν τῷ περὶ τῆς οὐρανίας ἱεραρχίας· συνάπτει δὲ νῦν καὶ περὶ θεοῦ.

Ἀποπαύοντες) ἀπόπαυσιν τῆς νοερᾶς ἐνεργείας εἶπε, σημαίνων τὸ τῆς θείας φύσεως ἀκατάληπτον· οὐδὲν γὰρ τῶν ταύτης, τῇ κινήσει τοῦ νοῦ καταλαμβάνεται, ἢ περί τινα ὁμολογουμένην, καὶ τρανὴν πληροφορίαν ἡ νόησις φέρεται, παρὰ τὸ ἀκατάληπτον, ὅπερ τῇ οἰκείᾳ ἀνενεργησίᾳ καταλαμβάνεται.

Ὑπεραρρήτως προϋφέστηκε) τὸ προϋφέστηκε σπουδαστέον νοῆσαι· τὰ γὰρ ἔργα πάντα διαβαίνει ἐφεξῆς. ἐκ τούτου τοίνυν νοηθήσεται, πῶς φησὶν ὁ ἀπόστολος, ἐν τῷ θεῷ εἶναι ἡμᾶς πρὸ καταβολῆς κόσμου. ἰστέον οὖν, ὡς τῆς ἁπάντων παραγωγῆς κατὰ τὸ αἴτιον καὶ τὴν ἀρχὴν αὐτοῦ ἀπηρτημένης, ἐπειδὴ τὰ ὄντα πάντα ἐξ αὐτοῦ ἐστίν, εἰκότως ἅτε καὶ μέλλοντα ἔσεσθαι διὰ τὸ αὐτοῦ ἀνεπινόητον θέλημα, ἐν αὐτῷ καὶ προϋφέστηκε, τῷ εἰδότι, καὶ ὅτι παράξει καὶ ὁπότε παράξει. προαιωνίως οὖν ἐν αὐτῷ προεγνωσμένα, προϋφέστηκε· πρὶν γὰρ τὰ νοητὰ παραχθῆναι, ἅτινα εἰσὶν αἰῶνες, καὶ πρὸ πάσης ἑτέρας κτίσεως ἔγνωστο αὐτῷ τὰ ἐσόμενα, ὡς εἴρηται, Ὁ εἰδὼς πάντα πρὶν γενέσεως αὐτῶν· καὶ πάλιν, Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἔγνωκά σε.

Ἢ οὔτε ἐννοῆσαι δυνατόν) οὕτω γὰρ φησὶ καὶ ὁ θεολόγος

Ministerio de Educación, Cultura y Deporte

γρηγόριος, μεταφράζων τὸ εἰρημένον· θεὸν νοῆσαι μὲν, ἀδύνατον· φράσαι δὲ ἀδυνατώτερον.

Καὶ πασῶν) εἰπὼν ἀποπεράτωσις τῶν οὐσιωδῶν γνώσεων καὶ δυνάμεων, τὸν αὐτὸν ἐπανελάβετο λόγον, ὃν καὶ περὶ μικροῦ εἶπε, πάντα τὰ πέρατα πασῶν τῶν γνώσεων. ἢ οὖν τοῦτο δι' ἑκατέρας φωνῆς ὑποτίθεται, ὅπερ καὶ προπαρετέθη, ὅτι ἐν τῷ θεῷ πᾶσα γνῶσις ἀρχὴν, καὶ τέλος ἔχει πάσης κινήσεως, διὰ τὸ τῆς θείας φύσεως ἀκατάληπτον, ὅπερ ἀϊδίως, καὶ οὐκ ἐν χρόνῳ περὶ αὐτὴν θεωρεῖται, ἢ μᾶλλον πέρας καὶ ἀποπεράτωσις, ἤτοι τὸ τέλος ἑκάστης οὐσιώδους γνώσεως. αὗται εἰσὶν αἱ οὐσίαι καὶ δυνάμεις, περὶ ἃς αἱ γνώσεις, ἅς τινας οὐσίας καὶ δυνάμεις πάσας ἅμα καὶ οὐκ ἀνὰ μέρος, ἀλλὰ ἀθρόως ἐν τῷ θεῷ προϋφεστάναι φησὶ κατὰ τὸν ἄῤῥητον τῆς περιγνώσεως αὐτοῦ λόγον, εἰδότι ἕκαστον τῶν πρὸς γένεσιν παραγομένων, ὅπως ἕξει φύσεως καὶ δυνάμεως· οὗ ἡ οὐσία ὑπερούσιός τε καὶ ὑπεράγνωστος. ἰστέον δὲ, ὅτι ἕτερον οὐσία καὶ ἕτερον δύναμις· ἡ μὲν γὰρ, τῶν καθ' ἑαυτὰ ὑφεστώτων· ἡ δὲ, τῶν ἐν ἑτέρῳ τὸ εἶναι ἐχόντων.

Εἰ γὰρ αἱ γνώσεις) ἐπεξήγησις τῶν εἰρημένων. καλῶς δὲ εἶπεν, εἰ γὰρ αἱ γνώσεις περὶ τὰς οὐσίας καὶ τὰ ὄντα εἰσίν. ὁ θεὸς δὲ, οὔτε ἐν οὐσίᾳ, οὔτε τι τῶν ὄντων ἐστὶν, εἰκότως καὶ γνώσεως ἐπέκεινά ἐστιν.

Οὔτε φαντασία) ἕτερον ἐστὶ φαντασία, καὶ ἕτερον νόησις, ἤτοι νόημα· ἀπό τε γὰρ διαφόρων δυνάμεων γίνονται, καὶ ἰδιότητι κινήσεως· ἡ μὲν γὰρ νόησις, ἐνέργειά ἐστι καὶ ποίησις· ἡ δὲ φαντασία, πάθος καὶ τύπωσις ἀναγγελτικὴ αἰσθητοῦ τινὸς, ἢ ὡς αἰσθητοῦ τινός· καὶ ἡ μὲν αἴσθησις, ἀντιλαμβάνεται τῶν ὄντων κατὰ ἀθρόαν μόρφωσιν· ὁ δὲ νοῦς, ἐφάπτεται, τουτέστιν, ἀντιλαμβάνεται τῶν ὄντων ἑτέρῳ τρόπῳ, καὶ οὐχ οἵῳ ἡ αἰ-



Ministerio de Educación, Cultura y Deporte

θητις. περὶ μὲν οὖν τὸ σωματικὸν ἢ τὸ πνευματικόν, ἢ ἐν ᾧ τὰς αἰσθήσεις εἶναι καὶ πρότερον ἔφημεν, τὸ παθητικὸν καὶ μορφωτικόν ἐστι κίνημα· τὸ δὲ κριτικὸν καὶ ἀντιληπτικόν, τῇ ψυχῇ καὶ τῷ νῷ δοτέον. τοῦτο οὖν τῷ τῆς ψυχῆς ἀντιληπτικῷ, καὶ τὸ φανταστικὸν ὑποστεῖλαι δεῖ· διαιρεῖται γὰρ ἡ φανταστικὴ εἰς τρεῖς μοίρας· πρώτην μέν, εἰς τὴν τῶν ἀντιλήψεων εἰκονιστικὴν πρὸς τὰ ποιοῦντα αἰσθητὴν τὴν ἀντίληψιν· δευτέραν δέ, τὴν ἐκ τῶν μενόντων ἐγκαταλειμμάτων ἀπὸ τούτων ἀνατυπωτικήν, μὴ ἐχουσῶν ἐρηρεισμένας ἐπὶ τι τὰς εἰκόνας, ἣν καὶ ἰδίως φανταστικὴν καλοῦσι· τρίτην, ἐν ᾗ πᾶσα ἡδονὴ τοῦ κατὰ φαντασίαν δοκοῦντος ἀγαθοῦ, ἢ δοκοῦντος κακοῦ, κατὰ λύπην συνίσταται. οὐδεμία τοίνυν, καθὰ εἴρηται, φαντασία χώραν ἔχει ἐπὶ θεοῦ· πάντων γὰρ ἁπαξαπλῶς ὑπὲρ ἔννοιαν ἐστὶ καὶ ὑπάρχει. δόξα δὲ ἐστὶν ἡ ἐκ τοῦ φαινομένου κατὰ τὸ δοκοῦν ποιάδε τις ὑπόληψις.

Οὔτε ἐπαφή) ἐπαφὴν νῦν φησὶ τὴν νοερὰν κατάληψιν· καὶ γὰρ τοῖς νοητοῖς καὶ ἀΰλοις τῷ νῷ ἐπιστητῶς ἐπιβάλλοντες, δοκοῦμεν ὥσπερ ἅπτεσθαι αὐτῶν, καὶ διὰ τοῦ νοῦ αἰσθάνεσθαι ὁποῖά εἰσιν, ὡς καὶ διὰ τῆς ἁφῆς τῶν αἰσθητῶν. ἐπὶ δὲ θεοῦ οὐδὲ νοερῶς ἐφαπτόμεθα.

Ἀκλήτου καὶ ὑπερωνύμου) ἀκλήτου φησί, αὐτὶ τοῦ μὴ καλουμένου τινὶ γνωρίσματι· αὐτὸς γὰρ καλεῖ τὰ μὴ ὄντα ὡς ὄντα, ὡς τὸν Κῦρον πρὸ τοσούτων ἐτῶν, καὶ τὸν Ἰωσίαν.

Ἀλλ' ὅπερ) ζητεῖται ὁ περὶ θεολογικῆς ὑποτυπώσεως λόγος.

Τὴν ὁμόθεον) ὁμόθεον πῶς λέγει τὴν παναγίαν τριάδα.

Ἀγγελοπρεπεῖς ἑνώσεις) εἰπὼν περὶ τοῦ θεοῦ, ὅτι ἀνεννόητος ἡμῖν ἐστι καὶ ἄφθεγκτος, ἐκ τοῦ ἐλάττονος λοιπὸν τὸ περὶ θεοῦ συνίστησιν· εἰ γὰρ τὰ περὶ τῶν ἀγγέλων ἡμῖν ἄγνωστά ἐστι, τί περὶ τοῦ θεοῦ λογιστέον φησὶν οὖν, ὅτι αἱ ἀγγελικαὶ δημιουργίαι, οἷα τινές εἰσιν ἐπιβολαὶ τῆς τοῦ θεοῦ ἀγαθότητος. ἐπιβολὴν δὲ νοητέον, τὴν εἰς τὸ καθ' ἓν τῶν παραγομένων με-

Ministerio de Educación, Cultura y Deporte

ἐζουμένην ἀμερῶς κίνησιν, τουτέστιν εἰς τὴν ἑκάστου τῶν νοητῶν περιαγωγήν. δυνατὸν δὲ καὶ οὕτως νοῆσαι, ὅτι οἱ τρόποι τῶν πρὸς θεὸν ἑνώσεων, καθόσον πρέπει ἀγγέλοις ἑνοῦσθαι θεῷ, καθ' ἣν πρὸς θεὸν ἕνωσιν, ἢ ἐπιβάλλουσι κατὰ τὴν οἰκείαν ἀξίαν τῇ ἀγαθότητι τοῦ θεοῦ, ἢ παραδέχονται παρ' αὐτοῦ τῆς ἀγαθότητος αὐτοῦ τὴν ἀποκάλυψιν· καὶ οὕτως ἀκατάληπτοι εἰσὶν, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς κατωτέροις ἀγγέλοις. μόνοις δὲ τοῖς ἀνωτάτω ἀγγέλοις γινώσκονται, ἅτε ἠξιωμένοις τὸν εἰρημένον τρόπον τῶν ἑνώσεων· ἐν δὲ τῷ περὶ τῆς οὐρανίας ἱεραρχίας λόγῳ φησὶ καὶ τὰς τάξεις τὰς ἀγγελικάς.

Ταύταις οἱ θεοειδεῖς) τοὺς θεοειδεῖς νόας, οὓς ἀγγελομιμήτως φησὶ, καθ' ὅσον ἐφικνοῦνται εἰς ἕνωσιν ἄγεσθαι τῶν ἁγίων δυνάμεων, ἃς δυνάμεις ἀγγέλους προεῖπε, τοὺς καθ' ἡμᾶς θεολόγους νοητέον, προφήτας τε φημὶ καὶ ἀποστόλους· οὐ γὰρ δὴ ὑποληπτέον ἀγγέλους μάλιστα ἐκ τοῦ ἀγγελομιμήτως εἰπεῖν· ἄγγελος γὰρ ἄγγελον οὐ μιμεῖται, ἀλλ' ὁ ἐλάττων· νόας δὲ καλῶν τοὺς θεολόγους τῆς ἀγγελομιμήτου ἑνώσεως πρὸς θεὸν αὐτοὺς ἔφη ἐφικνεῖσθαι, ὡς δυνατὸν, κατὰ ἀπόπαυσιν πάσης ἐνεργείας κοσμικῆς ἐκθευμένους· ἐπὶ γὰρ τῶν νοερῶν πᾶν κίνημα καὶ πᾶσα ἐνέργεια, καὶ πᾶσα ἠρεμία ἐνεργῶς ἐστὶ, καὶ πρὸς τελειότητα ἑνοποιὸν χειραγωγοῦσα, εἴγε ἐν τοῖς αἰωνίοις καὶ ἀσωμάτοις αἱ οὖσαι ἠρεμίαι καὶ ἡσυχίαι, καὶ τῶν ἐνεργειῶν αἱ ἀποπαύσεις, τὸ κατὰ φύσιν πράττειν ποιοῦσιν, ὅπερ ἐστὶ τῆς ἀοχλησίας καὶ τελειότητος εἰς ἑνάδα πρόξενον.

Ἀπόπαυσιν) ἀδύνατον γὰρ ἑνωθῆναι θεῷ, καὶ θεὸν τρόπον τινὰ γενέσθαι, εἰ μὴ παύσεταί τις τῶν ὑλικῶν ἐνεργειῶν, κατά τε αἴσθησιν καὶ κατὰ διάνοιαν.

Τῶν ὄντων ἀφαιρέσεως) ἀφαίρεσιν πάντων τῶν ὄντων καλεῖ, τὸ πρὸς μηδὲν τῶν ὄντων παραβάλλειν τὸ θεῖον, ἀλλὰ



Ministerio de Educación, Cultura y Deporte

λέγει, ὅτι οὐ σῶμα, οὐχ ἕξις, οὐ δύναμις, καὶ τὰ λοιπὰ πάντα, καθὼς διὰ τῶν ἑξῆς ἐσήμανεν.

Αὐτὸ δὲ οὐδέν) τὸ οὐδὲν εἶναι τὸν θεόν, οὕτω νοητέον, ὡς τῶν ὄντων μηδὲν ὄντα· ὑπὲρ γὰρ τὰ ὄντα ὁ αἴτιος τῶν ὄντων· ὅθεν ὁ θεὸς καὶ πανταχοῦ, καὶ οὐδαμοῦ θεολογεῖται· ἐπεὶ γοῦν οὐδαμοῦ ἐστι, πάντα μὲν δι' αὐτοῦ, καὶ ἐν αὐτῷ, ὡς μὲν ὄντι μηδὲν τῶν πάντων· καὶ ἐν αὐτῷ πάλιν, ὡς πανταχοῦ ὄντι, ἕτερα δὲ αὐτοῦ τὰ πάντα, ὅτι αὐτὸς οὐδαμοῦ· καὶ πληροῖ μὲν τὰ πάντα, ὡς πανταχοῦ ὤν, κατὰ τὸν προφήτην· οὐδαμοῦ δέ ἐστι, καθ' ἕτερον λέγοντα, ἢ ποῖος τόπος τῆς καταπαύσεώς μου· εἰ γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα καὶ ἐν πᾶσι τοπικῶς· οὕτως οὖν καὶ οὐδὲν ὡς ὑπὲρ τὰ ὄντα.

Ἀλλ' ὡς πάσης ἕξεως) ἕξις μέν ἐστι, διάθεσις ἔμμονος· κίνησις δέ ἐστι, τὸ ἀντιδιαστελλόμενον τῇ ἠρεμίᾳ κατὰ πολλῶν λεγόμενον· ζωὴ δέ, τὸ ταῦτα δεικνύον ἐνεργά· φαντασία δέ, τὸ ἐν διανοίᾳ ἀνατυπωτικόν· δόξα δέ, πεπληροφορημένη ὑπόληψις· διαφέρει δὲ νόησις διανοίας, ὅτι, τὸ μέν, ἐστὶν ἐπὶ τοῦ διανοητικοῦ τῆς ψυχῆς· τὸ δέ, τὴν τοῦ διανοητικοῦ κίνησιν δηλοῖ. ταῦτα δὲ πάντα καὶ τὰ ἄλλα ὅσα τούτοις συγκαταλέλεκται, οὐκ οὐσία ἐστίν, ἀλλὰ περὶ οὐσίαν ὁρᾶται· ὅθεν καὶ διεῖλεν αὐτὴν ἀπὸ τούτων.

Τῆς θεαρχίας πρόνοιαν) ἐκ τούτων αἱ ἀνόητοι δόξαι ἐκλύονται τῶν τολμησάντων λέγειν, τὸ δημιουργικὸν φύσει τινὶ ἀνεῖναι τῷ θεῷ, ὡς καὶ τοῖς ἀραχνίοις τὸ ὑφαίνειν· φησὶ γὰρ διὰ μόνην ἀγαθότητα τὸ πᾶν παραγαγεῖν τὸν θεόν· διὸ καὶ πάντες οἱ θεολόγοι, ἐκ μὲν τῶν αὐτοῦ τοῦ θεοῦ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, οὐ τολμῶσιν ὑμνεῖν αὐτόν· ἀνεπίγνωστα γάρ· ἀλλ' ἐκ τῆς εἰς τὰ ἔξω προόδου, ἥτις ἐστὶ πρόνοια, τὰ αἰτιατά, τουτέστι τὰ ἐξ αἰτίου αὐτοῦ συστάντα, ἢ περὶ τὰ πάντα πρόνοιαν.

Ministerio de Educación, Cultura y Deporte

τοῦ θεοῦ ὑμνολογοῦσι· τὰ γὰρ πάντα τῆς θείας προνοίας ἐφίεται, δι' ἧς καὶ ὑπάρχει καὶ συνίσταται, ἀλλὰ τὰ μὲν νοερὰ καὶ λογικὰ, γνωστικῶς· νοερὰ δὲ λέγεται, ὅσα διὰ τὸ νοῦς εἶναι νοεῖ τὰ ὑποκείμενα νοητά· νοητὸν γάρ ἐστι τὸ νοούμενον, ὅπερ καὶ τροφή ἐστι τοῦ νοεροῦ αὐτὸ τοῦτο νοοῦντος. ὅσα οὖν κατὰ τὸ νοερὰ εἶναι, ἅτε νοῦς νοεῖ, ταῦτα καὶ λογικὰ ὄντα, γνωστικῶς ἐπιβάλλοντα τῇ τοῦ θεοῦ προνοίᾳ, ἀλλ' ἀλόγως ἐφίεται τοῦ θεοῦ· ὅσα δὲ ὑποβέβηκε τὰ νοερὰ, καί εἰσι ψυχὴ αἰσθητικὴ, θηρίων λέγω καὶ πάντων, ἐμψύχων μὲν σωμάτων, ἀλόγων δὲ, ὧν ἡ ψυχὴ ἐκ τῶν στοιχείων καὶ τοῦ ἀνύλου πυρὸς συνεστῶσα, ἐν πνεύματι ἀΰλῳ ἔχει τὸ εἶναι. ταῦτα μόνον ἐκ τῆς αἰσθήσεως συνελαυνόμενα εἰς τὸ πεινῆν καὶ διψῆν, ἐφίεται εἰκότως αἰσθητῶς τοῦ χορηγοῦντος, ὥς τό, Πάντα πρὸς σὲ προσδοκῶσι τοῦ δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. καὶ τοιαῦτα πολλὰ καὶ παρὰ τῷ Ἰὼβ καὶ τῷ Δαβὶδ εὑρήσεις. καὶ τὰ ἄλλα μέντοι ὅσα τὴν φυτικὴν ἤτοι ζωτικὴν μόνην ἀναισθήτως τε καὶ ἀψύχως ἔχει κίνησιν, ὡς τὰ φυτὰ πάντα καὶ βοτάναι πᾶσαι, ἅτινα καὶ ζωτικὸν πνεῦμα μόνον συνιστῶν ἔχουσι, τὴν ἑαυτῶν οὐσίαν ἄνευ αἰσθήσεως, ὡς τὰ δένδρα πάντα, ὡς εἴρηται καὶ τὰ τοιαῦτα, κατὰ τὸ ἀποξηραίνεσθαι τοῦ φυτικοῦ πνεύματος στερούμενα, δι' οὗ κινοῦνται πρὸς αὔξησιν καὶ εὐθάλειαν· διὰ τοῦτο δοκεῖ καὶ ταῦτα ἐφίεσθαι τῆς θείας προνοίας ἐφ' ᾧ καὶ συνεστάναι καὶ αὔξειν, ὅθεν καὶ ταῦτα παραλαμβάνεται ἐν τῷ ρμη. ψαλμῷ αἰνεῖν τὸν θεὸν, διὰ τῆς αὐτοῦ συστάσεως. μετέχει οὖν καὶ ταῦτα τῆς ἀφάτου προνοίας, ἀλλὰ κατὰ μόνον τὸ ζῆν, εἰ καὶ ἀψύχως καὶ ἀναισθήτως, καὶ κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα, ἥτις ἐστὶν ἰδιότης τῆς δυνάμεως· ἕξις γὰρ λέγεται ἡ ἐμμόνος ποιότης, καθ' ἣν διάθεσιν καὶ δύναμιν ποιόν τι λέγεται. κατὰ ταύτην οὖν τὴν ἕξιν τῆς φυτικῆς ζωῆς, ἐξ αὔξη-



Ministerio de Educación, Cultura y Deporte

σιν καὶ κίνησιν μόνον μετέχοντα οὐσιοειδῶς τε καὶ ἑκτικῶς· ἀψύχως δὲ καὶ ἀναισθήτως, λέγεται ἐφίεσθαι τῆς ἀγαθότητος τοῦ θεοῦ.

Τὰ μὲν νοερῶς) νοερὰ μὲν, τὴν ἀγγελικὴν φύσιν· λογικὰ δὲ, τὴν ἀνθρωπίνην φησί· τὰ δὲ τούτων ὑφειμένα, τὴν ἄλογον, ᾗ τινι μόνον τὸ αἰσθητικὸν πρόσεστι· διὸ καὶ αἰσθητῶς εἶπε, τουτέστιν αἰσθητικῶς. τὰ δὲ ἄλλα, ἤγουν τὰ φυτὰ, καὶ ὅσα πάντη ἄψυχα καὶ ἀκίνητα, τὰ μὲν φησὶ κατὰ τὴν ζωτικὴν κίνησιν, τουτέστι τὴν θρεπτικὴν τε καὶ αὐξητικὴν· τοῦτο γὰρ δὴ ἐν τοῖς φυτοῖς πρόσεστι· τὰ δὲ ἄψυχα, ἐν τῷ ἔχειν ἐν ἑαυτοῖς τὸ ὅλως εἶναι· τοῦτο γὰρ εἶπεν οὐσιώδη καὶ ἑκτικὴν ἐπιτηδειότητα.

Ὡς αἰώνιον) ὅρα πῶς σαφῶς ἐκ τῶν αἰτιατῶν καὶ κτισμάτων, τὸν ἁπάντων αἴτιον ὑμνολογοῦσιν· αἰώνιον μὲν φασι, τὸν τῶν αἰώνων ποιητὴν καὶ τῷ ὄντι αἰῶνα, εἴγε ὁ ἀεὶ ὢν αὐτός ἐστιν, ὅθεν καὶ αἰὼν λέγεται. αἰώνιον δὲ ἐστὶν, οὐκ αὐτὸς ὁ αἰὼν, ἀλλὰ τὸ αἰῶνος μετέχον. καὶ γοῦν φησὶν ὁ ἠσαΐας, Ὁ θεὸς ὁ αἰώνιος ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· ὁ δὲ θεὸς οὐ δεύτερός ἐστι τοῦ αἰῶνος, ἵνα καὶ μετέχῃ αὐτοῦ, ἀλλ' αἰώνων ποιητής.

Ὡς ἀγήρω) κατὰ τὸ, Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Ὡς ἐν αὔρᾳ) τοῦτο ἐστὶ τὸ εἰρημένον ἐν βασιλείαις, ὅτι οὔτε ἐν τῷ συσσεισμῷ, οὔτε ἐν τῇ νεφέλῃ παρεγένετο ὁ κύριος λαλῆσαι τῷ ἠλιοῦ· ἀλλὰ φωνῇ αὔρας λεπτῆς, καλεῖ ὁ κύριος. τοῦτο δὲ δηλοῖ, ὅτι καὶ ἐν σώματι φησὶν εἶναι τὸν θεὸν, τὸν ἐν τοῖς πᾶσιν ἀπερίληπτον· ἡ γὰρ πνοὴ καὶ ἀὴρ πάντων μετέχεται, καὶ ἐν πᾶσιν ἐστὶ, καὶ παρ' οὐδενὸς ἐμπεριλαμβάνεται, ὡς καὶ ἐν εὐαγγελίοις φησὶν ὁ κύριος, Πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

Ministerio de Educación, Cultura y Deporte

Καὶ τὸ ἀνώνυμον) ἀνώνυμον, διὰ τὸ πάντα εἶναι, καὶ μηδὲν τῶν ὄντων εἶναι, ἀλλὰ πάντα ἐξ αὐτοῦ εἶναι, ὡς αὐτὸς ἑαυτὸν ἐξηγεῖται.

Ὡς ἀρχῆς) ἀρχῆς μὲν, ὡς τὸ εἶναι παρεχομένης· πέρατος δὲ, ὡς ἐν τῷ εἶναι συνεχούσης.

Τὰ πάντα ἐν πᾶσι) πάντα δὲ, τὰ ὄντα, διὰ τὸ ἐξ αὐτοῦ εἶναι τὰ πάντα.

Καὶ ἑστία) ἑστίαν αὐτὸν πάντων ἔφη, ὡς οἴκησιν ὄντα πάντων τῶν ἁγίων, ὡς αὐτὸς ὁ κύριος φησίν, Ἡμεῖς ἐν ἐκείνῳ· ὡς περ γὰρ ναὸς αὐτοῦ ἐσμέν, κατὰ τὸ, Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· οὕτω καὶ αὐτὸς οἶκος ἡμῶν ἐστι. καλῶς δὲ εὐθὺς ἐπήγαγε τὸ ἡνωμένως· ἐπειδὴ γὰρ εἶπεν, αὐτὸν εἶναι πάντα, καὶ ἐν αὐτῷ τὰ πάντα, ἵνα μή τις εἰς σύνθεσιν τὸν νοῦν καταγαγὼν ἐκπέσοι τῆς ἀληθείας, ὑπονοοῦν ἅπαντα συμφορεῖσθαι σωρηδὸν ἐν τῷ θεῷ, ἢ κατὰ τὴν σύνθεσιν τὸν θεὸν εἶναι τὰ πάντα, ταχέως ἐθεράπευσε τὸ ἀπεμφαῖνον, εἰπὼν ἡνωμένα, τουτέστιν ἐν τῇ οἰκείᾳ ἑνάδι, μᾶλλον δὲ ὑπὲρ ἑνάδα μένοντα ὑπερηπλωμένον ἀμερῶς τε ἀμιγῶς τοῖς οὖσιν εἶναι τὰ πάντα καὶ ἐν πᾶσιν· ἀλλὰ καὶ ἀσχέτως ἐστὶν ἐν πᾶσιν, αὐτὸ τοῦ ὑπ᾽ οὐδενὸς κατεχόμενος, ἢ περιγραφόμενος σωματικῶς· ἐξῃρημένως δὲ μᾶλλον· ἔξω γὰρ ἐστὶ τῶν ἁπάντων, οὐδαμοῦ ὢν, ἐξ αὐτοῦ πάντων ὄντων, καὶ αὐτὸς ἐν πᾶσιν· ἐξ αὐτοῦ γὰρ τὰ πάντα συνέστηκε.

Πάντα δὲ ἁπλῶς) τουτέστιν ἀσυνθέτως· ἐν οὐδενὶ γὰρ τῶν ὄντων συνετέθη ἢ σωματικῶς ἡνώθη, εἰ μὴ ἐν τῷ καιρῷ τῆς οἰκονομίας.

Θείων φασμάτων) ὅτι φάσματα καλεῖ τὰς ἐν συμβόλοις ἀποκαλύψεις τοῦ θεοῦ, καὶ τὸ πῶς αὐτὸ λέγει, σημείωσαι.

Ανακτόροις) ἕλληνες ἀνάκτορα ἐκάλουν τῶν παρ᾽ αὐ-

Ministerio de Educación, Cultura y Deporte

τοῖς θεῶν τῇ τιμῇ ἐμφαίνει οὖν ὁ ἅγιος ἐν τούτοις τὸ παράδοξον τῷ ἠσαΐᾳ· δοκεῖ γὰρ ἐν τῷ ναῷ ὑπαγορεύειν αὐτὸν ἑωρακέναι τὴν θείαν ἐκείνην ὄψιν, τὴν τῶν σεραφίμ. τὰ δὲ ἑξῆς εἴρηται, διὰ τὴν τοῦ ἰεζεκιὴλ ὅρασιν, τὴν ἐν βαβυλῶνι, καὶ ἑτέρας τινὰς θεωρίας.

Καὶ θώκοις) θρόνοις.

Συμβολικῇ θεολογίᾳ) ἄλλο σύνταγμα ὑπισχνεῖται γράψειν, ὅπερ καλεῖ συμβολικὴν θεολογίαν.

Ο ἱεραρχικὸς) σημείωσαι, ὅτι μάλιστα ἱερεῦσι πρέπει θεωρεῖν τὴν θείαν γραφήν.

Θεοειδεῖς) ἀντὶ τοῦ θεοφανεῖς.

Καὶ ὦτα ἱερά) ὦτα διεντέλλεται ἱερὰ τοῖς ἁγίοις περιτίθεσθαι, τουτέστιν ἀκοὴν εὐσεβῆ καὶ ἀξίαν τῶν ἁγίων.

Ἀμύστων) τουτέστι τῶν ἀμυήτων. ὅτι ὁ μετὰ γέλωτος καὶ ἐμπαιγμῶν τῶν θείων ἀκούων λογίων, ἢ τὰ περὶ αὐτὰ διαμωκῶν, ὡς θεομάχος κρίνεται· τιμοθέῳ γὰρ γράφει καὶ ὁ ἀπόστολος, ὅτι οὐ δεῖ τοῖς μὴ δεχομένοις τὸν λόγον ἐν ἀληθείᾳ, λαλεῖν περὶ τοιούτων.

## ΚΕΦΑΛ. β.

ΤΗΝ θεαρχικὴν) ἐκ τοῦ κεφαλαίου τούτου μάλιστα καὶ ἀρειανοὶ καὶ εὐνομιανοὶ τὸ ἀνόμοιον πρεσβεύοντες πολεμοῦνται, καὶ νεστοριανοὶ δὲ καὶ ἀκέφαλοι. θεαρχικὴν δὲ ὅλην ὕπαρξιν φησὶ, τῆς ἁγίας καὶ μόνης προσκυνητῆς τριάδος τὴν ἐν τρισὶν ὑποστάσεσι γνωριζομένην θεότητα· ἔθος γὰρ αὐτῷ ὅλην θεότητα καλεῖν τὴν σεβασμίαν τριάδα· αὕτη

Ministerio de Educación, Cultura y Deporte

γὰρ καὶ τί ἐστιν ὅλη θεότης ἑαυτὴν ἀποκαλύψασα μετ' ἀφορισμοῦ τῶν προσώπων, τουτέστι μετ' διαιρέσεως τοῖς ἁγίοις ἐφανέρωσε τῶν τριῶν ὑποστάσεων τὰς ἰδιότητας ἐκφαίνουσα, ὅτι πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα· οἱ γὰρ τρεῖς, μία καὶ ὅλη καὶ μόνη θεότης. ἰστέον δὲ ὅτι, ὕπαρξις μὲν κυρίως ἐπὶ θεοῦ οὐ λέγεται· καὶ γάρ ἐστι ὑπερύπαρξις, τουτέστι καὶ περὶ αὐτῆς τῆς ὑπάρξεως· ἐπειδὴ δὲ πᾶσα ὕπαρξις ἐξ αὐτοῦ ἐκ τῶν δι' αὐτοῦ φανέντων ὀνομάζεται, ἵνα νοηθῇ καὶ ὑπὲρ ταῦτα.

Ἀφορίζουσα) τουτέστι γνωρίζουσα καὶ δεικνύουσα.

Τὴν θεαρχίαν) σημείωσαι ὅτι τῆς ἀνθρωπίνως λεχθείσης τῆς φωνῆς, τῇ θεότητι ταύτην ἀνάπτουσι, διὰ τὴν τοῦ προσώπου ἑνότητα.

Οὐ μερικῶς) καλῶς τὸ οὐ μερικῶς· αἱ γὰρ ἐνέργειαι, καὶ πᾶσαι τῆς θεολογίας αἱ ὑμνολογίαι, οὐχ ἑνὶ τῷ μόνῳ τῶν τῆς θείας τριάδος προσώπων ἀποκληρωτικῶς ἀπονενέμηνται, ἀλλ' αὗται μὲν κοιναί εἰσι τῆς τριάδος δίχα μόνης τῆς ἐνανθρωπήσεως· μόνη γάρ ἐστι τοῦ υἱοῦ, ὡς ἐφεξῆς λέγει· μόναι δὲ αἱ χαρακτηριστικαὶ τῶν τριῶν ὑποστάσεων ἰδιότητες, μερικῶς καὶ ἰδίως ἑκάστῃ ὑποστάσει προσεῖσιν, οἷον τῷ πατρὶ τὸ πατὴρ, καὶ οὐκ ἄλλῳ τινί· οὕτω καὶ ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Καὶ ὁλοκλήρου) σημείωσαι ὅλης θεότητος τὴν τριάδα σημαίνεσθαι.

Εἰ μὴ περὶ τῆς ὅλης) σημείωσαι, ὅτι ὁ μὴ κοινὰς εἶναι λέγων τὰς θεωνυμίας, ἀποσχίζει ἀσεβῶς τὴν ἑνότητα τῆς προσκυνητῆς τριάδος.

Τάδε λέγει, ὁ ὢν) σημειωτέον, ὅτι δέχεται τὴν ἀποκάλυψιν τοῦ ἐν ἁγίοις ἰωάννου τοῦ εὐαγγελιστοῦ, ὁ ἅγιος οὗτος διονύσιος· ἐκεῖ γάρ ἐστι τὸ ῥητὸν τοῦτο. ὅτι δὲ ὅτε ἦν ἐν πάτμῳ

Ministerio de Educación, Cultura y Deporte

ὁ θεῖος εὐαγγελιστής, ὅπου καὶ τὴν ἀποκάλυψιν εἶδεν, ἐγίνωσκεν ὁ ἅγιος διονύσιος, καὶ τοῦτο μαθήσῃ κάτω ἐκ τῆς ι. ἐπιστολῆς ἧς ἔγραψε πρὸς αὐτὸν τὸν ἅγιον εὐαγγελιστὴν καὶ θεολόγον ἰωάννην.

Προφητῶν) ὁ δαβὶδ ἴσως τοῦτο λέγει.

Τὸ ὂν, ὃ παρὰ τοῦ πατρὸς) ἐπίσκεψαι, πῶς φησὶ τὴν χρῆσιν ταύτην· οὐ γὰρ φέρεται νῦν οὕτως.

Τὴν θεαρχίαν) ἐν ἄλλοις θεαρχικὴν ζωήν.

Θεογόνου θεότητος) σημείωσαι ὅτι θεογόνον θεότητα φησὶ τὸν πατέρα, καὶ υἱικὴν θεότητα τὸν μονογενῆ.

Διεξοδικῶς) ἀντὶ τοῦ πλατυτέρως.

Τὰ πάντα δι' αὐτοῦ) σημείωσαι, ὅταν λέγῃ, ὅτι τὰ πάντα ἐκ τοῦ θεοῦ ἐστὶ, περιληπτικῶς τὴν ὅλην θεότητα σημαίνει, τουτέστι τὴν ἁγίαν τριάδα· ὅταν δὲ φῇ, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, διεξοδικῶς περὶ τῶν ὑποστάσεων σημαίνει· τοῦτο γὰρ εἰς τὸν δημιουργικὸν λόγον ἐδέξαντο πάντες.

Καὶ αὐτοῦ) τοῦ λόγου δηλονότι.

Κοινωνικῶς καὶ ἡνωμένως) σημείωσαι ὅτι κοινωνικῶς ἥνωνται τὰ τῆς ἁγίας τριάδος.

Τὰς θεουργίας) οἷον τὸ, Ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια· τὸ σέβας, ὡς τὸ, Εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. τὸ δὲ τῶν δωρεῶν, ἤτοι τῶν χαρισμάτων, ἐν τῷ λέγειν, Λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς.

Τὴν πηγαίαν) εἴρηται ἐν ψαλμοῖς, ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· καὶ ἐν ἱερεμίᾳ, Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. ὁ οὖν θεὸς λέγεται πηγὴ, οἷα ὡς μήτρα καὶ ἀρχὴ καὶ αἰτία τῶν φανέντων καὶ προελθόντων εἰς οὐσίαν ἁπάντων· ἃ γὰρ καλεῖν εἰώθασί τινες καθολικὰ, ἤτοι γένη, ἢ ὅλα, ἢ περιέχοντα, ἀ-

Ministerio de Educación, Cultura y Deporte

τι περιληπτικὰ τῶν μερικῶν ἐξ αὐτῶν προόδων, ταῦτα αἱ θεῖαι γραφαὶ πηγαίας αἰτίας φασί. διὰ τὸ δημιουργικὸν τουτέστιν καὶ ἀνέκλειπτον τῶν διὰ τοῦ πνεύματος ὑφισταμένων, καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ τῶν ὄντων αἴτιον, ὡς καὶ ἐν τῇ σοφίᾳ εἴρηται, εἰκότως καὶ πηγαίαν αὐτὸ αἰτίαν θεολογεῖ· τὸ δὲ ἀνέκλειπτον τοῦ δημιουργεῖν ἐκεῖθεν νόησον εἰς τό, Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· ὡσαύτως καὶ τὸ πνεῦμα τὸ ἅγιον, σὺν τῷ πατρὶ καὶ τῷ υἱῷ ἀεὶ ἐργάζεται ἀνεκλείπτως· εἴρηται γάρ, Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται.

Ἀδιαστρόφοις ἐννοίαις) καλῶς εἶπε τὸ ἀδιαστρόφοις, ἐπειδὴ καὶ οἱ αἱρετικοὶ ἀναγινώσκουσι τὰς γραφὰς καὶ ἐντρέφονται ἐν αὐταῖς, καὶ ὅμως διαστρέφουσιν ἑαυτούς.

Θεοπρεποῦς διαιρέσεως) θεοπρεπῆ διαίρεσιν ἐπὶ τῆς ἁγίας τριάδος, τὴν περὶ τῶν ὑποστάσεων ἀσύγχυτον ἔφη γνῶσιν. καὶ ὅτι οὐ χρὴ φροντίζειν πείθειν τοὺς μὴ δεχομένους τὴν θείαν γραφήν· τὸ γὰρ κοινῶς ἐπὶ τῆς ἁγίας τριάδος θεολογεῖν, οὐκ ἔστι σύγχυσιν εἰσάγειν τῶν ὑποστάσεων.

Ἐπὶ τὴν θεολογικὴν) θεολογικὴν ἐπιστήμην ἀνωτέρω περὶ θεοῦ διηγούμενος, οὐκ ἔφη αὐτὴν ἐπιστήμην εἶναι. ἐνταῦθα δὲ τὰ περὶ θεολογίας, ἐπιστήμην φησίν. ἐπιστήμη δέ ἐστι, δόξα ὀρθὴ λογισμῷ δεθεῖσα, ἢ λόγος ἀληθὴς ἐπὶ διανοίᾳ ἀμετάπτωτος, καὶ ἡ ἀκριβὴς εἴδησις τοῦ πράγματος καὶ ἀπόφανσις, οὗ καὶ λέγεται ἐπιστήμη, ἀληθείας λόγον καὶ δόξαν ὀρθὴν προσδεχομένη, μὴ δεομένη τῆς ἐκ παραθέσεως τοῦ ὁμοίου βεβαιώσεως.

Τὰς θείας ἐκφαντορίας) ἐκφαντορίας φησί, τὰς τὰ μυστήρια ἐκφαινούσας διδασκαλίας.

Ἐν ἑαυτοῖς ἀπλήθυντα) ὅτι οὐ δεῖ παρεξιέναι τὴν θείαν

Ministerio de Educación, Cultura y Deporte

γραφῶν ἐν τῷ θεολογεῖν.

Καὶ ὅσα τῆς ὑπεροχικῆς) κατὰ ἀφαίρεσιν ὑπὲρ ἔννοιαν δοξολογεῖται· ἐκ γὰρ τῶν μὴ θεωρουμένων περὶ αὐτὸν ὑπεραναβεβηκότως προσκυνεῖται, οἷον ὡς ἀθάνατος, ὡς ἀτελεύτητος, καὶ ἀόρατος, καὶ ἀνενδεὴς, καὶ ὅσα τοιαῦτα· κοινὰ γὰρ τῆς τριάδος καὶ ταῦτα. αἰτιολογικὰ δέ εἰσιν, ὅσα ἐπὶ τὴν κτίσιν ἐρρύησε παρ' αὐτοῦ, ἅτε αἰτίου παντὸς καλοῦ ὡς γέγραπται, ὅτι πᾶν ἐστὶ καλὸν αὐτοῦ.

Τὸ τοῦ πατρὸς) κατὰ κοινοῦ, τὸ ὑπερούσιον ὡς ἐπὶ τοῦ πατρὸς, οὕτως καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· ἐπὶ δὲ τῶν διακεκριμένων τῆς ἁγίας τριάδος, οἷον ὀνομάτων, οὐδεμίαν φησὶν εἶναι ἀντιστροφὴν, ἢ κοινωνίαν· ὁ γὰρ πατὴρ οὐκ ἂν εὐσεβῶς κληθείη υἱός· οὐδὲ ὁ υἱὸς, πατήρ· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἁγίου πνεύματος.

Ἡ καθ' ἡμᾶς ἰησοῦ) σημείωσαι ὅτι μόνου τοῦ θεοῦ λόγου ἐστὶν ἡ ἐνανθρώπησις. παντελῆ δὲ αὐτὴν φησὶ κατὰ ἀπολιναρίου, ὡς ἐκ ψυχῆς νοερᾶς καὶ ἡμετέρου σώματος· τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν αὐτὸν, καθ' ἡμᾶς· ὅπερ ἐστὶ καὶ κατὰ εὐτυχοῦς. κατὰ νεστορίου δὲ, ὅτι φησὶ, τοῦ ἰησοῦ τὴν ἀναλλοίωτον, ὡς θεοῦ καθ' ἡμᾶς ὕπαρξιν· καὶ ὅτι οὐσιώδη φησὶ τὰ ἐν τῇ ἀνθρωπότητι μυστήρια, τὴν πεῖναν, τὸν κόπον, καὶ τὸ ἐπὶ ὕδατος βαδίσαι, καὶ τὸ εἰσελθεῖν τῶν θυρῶν κεκλεισμένων πρὸς τοὺς μαθητὰς, καὶ τὸ ἐγεῖραι τοὺς νεκροὺς, καὶ αὐτὸ τὸ πάθος, καὶ ὅσα τοιαῦτα.

Οὐσιώδη μυστήρια) σημείωσαι τὸ οὐσιώδη ἐπὶ τῆς σαρκώσεως· τοῦτο γὰρ ἔφη, ἐκβάλλων τὴν κατὰ φαντασίαν δόξαν.

Παραδόσεως ἱερομύσται) ἱερομύσται λέγονται, οἱ τὰ ἱερὰ μεμυημένοι.

Ministerio de Educación, Cultura y Deporte

Κρυφίας καὶ ἀνεκφοιτήτους) κρυφίας ἑνώσεις φησὶ τὰς περὶ τῆς θείας οὐσίας ἀκαταλήπτους γνώσεις· τὴν γὰρ οὐσίαν αὐτὴν τῆς ἁγίας τριάδος, ἥ ἐστιν οὐδεὶς γνώσεταί ποτε.

Τὰς διακρίσεις) διακρίσεις φησὶ τὰς ἐνυποστάτους προσκυνητὰς ὑπάρξεις, τουτέστι, τοῦ μὲν υἱοῦ, τὸν ἐκ πατρὸς ἀνέκφραστον ἀπαυγασμόν· τοῦ δὲ ἁγίου πνεύματος, τὴν ἐκ πατρὸς ἀνεννόητον ἐκπόρευσιν.

Ἡ ὑπὲρ ἐναρχίαν) ἡ ὑπὲρ ἐναρχίαν ἑνότης, τὸ ὑπὲρ πᾶσαν ἑνότητα καὶ ἁπλότητα ἐν τοῖς οὖσι τῆς θείας φύσεως ἀμερές τε καὶ ἁπλοῦν σημαίνει.

Τὸ ἀφθέγκτον) ἀφθέγκτον, διὰ τὸ ἀκατονόμαστον τῆς οὐσίας· πολύφωνον δὲ, ὅτι τῇ ποικιλίᾳ τῶν εὐεργετουμένων τὸ πολύφωνον ἔχει.

Τὸ παννόητον) πῶς ἄγνωστος καὶ παννόητος ὁ θεὸς, καὶ πῶς ἐν ἀγνωσίᾳ τῆς περὶ αὐτοῦ κλώμεθα γνῶσιν ῥητέον· ἀγνοίᾳ γὰρ γίνεται γνωστὸς ὁ θεός· ἄγνοιαν δὲ, μὴ τὴν διὰ τῆς ἀμαθίας λάβῃς· αὕτη γὰρ σκότος ἐστὶ ψυχῆς· μήτε τὴν γινώσκουσαν, ὅτι ἀγνοεῖται ὁ ἄγνωστος· εἶδος γὰρ καὶ αὐτὴ γνωριστικόν· ἀλλὰ κατ᾽ ἐκείνην τὴν ἄγνοιαν γινώσκεται γνωστὸς, καθ᾽ ἣν ἁπλωθέντες ὑπὲρ τὰς νοήσεις, αἵτινες πληθυνόμεναι σκεδάννυνται, καὶ αὖθις συμπτύσσονται, οὐκ οὖσαι ἑνάς. ὅθεν οὖν πᾶσαν νόησιν περὶ θεὸν ὑπερβαίνοντες ἁπλοῖ γινόμεθα, ἀγνοοῦντες λοιπὸν καὶ ἀδιάκριτοι μένοντες διὰ τὴν πρὸς τὴν ἑνότητα στάσιν, καὶ βεβαίως ἑστῶτες ἐν τῇ ἑνώσει ἀγνοοῦμεν· ὅτι ἀγνοοῦμεν, τουτέστιν οὐχ ἑτέρου τινὸς εἰδότος, ἡμεῖς ὡς ἀμαθεῖς ἀγνοοῦμεν, δυνάμενοι μαθεῖν ἃ τέως ἀγνοοῦμεν· ἀλλὰ τὰ ὑπὲρ πάσης λογικῆς κλίσεως εὐσεβῶς ἀγνοούμενα ἀγνοοῦντες· ἐν ταύτῃ γὰρ στάντες τῇ ἀγνοίᾳ, εἶδος γινόμεθα τοῦ περὶ πάντων ὄντος, ἐάσαντες μὲν πάντα τὰ εἴδη καὶ τὰς νοήσεις· ἐν ἀφασίᾳ δὲ

κρείττονι πάσης φθέγξεως ἱδρυμένοι, τῷ μηδὲ τοῦτο γινώσκειν, ὅτι ἀγνοοῦμεν· εἶτα πάλιν ὑποστρέψαντες ἐκ τῆς ἐν ἀφασίᾳ σιωπῆς, καὶ ἀπὸ τῆς σιγῆς εἰς φθέγξιν καταβαίνοντες, συνιέντες ὅτι ἠγνοοῦμεν, ἀφιστάμεθα λοιπὸν τοῦ περὶ ἀγνώστου ζητεῖν· παυόντος δὲ πάλιν ὁ θεὸς, ἐκ τῶν φιλοδώρων προνοιῶν νοούμενος, ὅ, τι ἐστὶ, καὶ ἐκ τῶν δημιουργημάτων· ἐκ τῶν μὲν, ὅτι σωτήρ ἐστιν· ἐκ τῶν δὲ, ὅτι δημιουργός. καὶ θέσιν μὲν, τὴν ὕπαρξιν φησὶν, ὡς ἐξ αὐτῆς τῆς πάντων οὔσης ὑπάρξεως. λέγουσι δὲ καὶ οἱ φιλόσοφοι θέσιν, τὰ ἐπιτιθέμενα εἴδη τῇ ὕλῃ· ἀφαίρεσιν δὲ, ὅταν αἱ ποιότητες ἀφαιρεθῶσι τῶν εἰδῶν· οἷον γῆς, τὸ βαρύ· ὕδατος, τὸ ὑγρόν. ὁ οὖν θεὸς, ὁ καὶ ταῦτα μετασχηματίζων, ἡ πάντων θέσις καὶ ἀφαίρεσίς ἐστι· θέσις μὲν πάντων, ὡς τὰ πάντα θεὶς καὶ ποιήσας, καὶ ἱδρῦσθαι παρασκευάζων· ἐν αὐτῷ γὰρ τὰ ἅπαντα συνέστηκεν. ἀφαίρεσις δὲ πάντων ἐστὶν, ὡς καὶ τὴν θέσιν αὐτὴν καὶ τὴν ποίησιν μεταρρυθμίζων, καὶ μετασκευάζων, καὶ ἀφαιρῶν ἐκ τῶν τεθειμένων τὰ κατὰ φύσιν· εἰ γὰρ ὁμολογεῖται τὰ ἐν γενέσει πάντως καὶ φθείρεσθαι· αὐτὸς δὲ πλούτῳ ἀγαθότητος, τῶν μὲν, ἀνεῖλε καὶ τὸ φθαρτὸν, ὡς ἀγγέλων καὶ ψυχῶν· τῶν δὲ, τὸ φθαρτὸν εἰς ἀφθαρσίαν, καὶ τὸ θνητὸν εἰς ἀθανασίαν μετάγει, ὡς τὰ σώματα ἡμῶν ἐν τῇ ἀναστάσει· δῆλον ὡς αὐτὸς ταῦτα ἡμῖν ὑπάρχων, αὐτὸς καὶ ὑπὲρ θέσιν ἐστὶ καὶ ἀφαίρεσιν, καὶ θεμέλιος καὶ ῥίζα πάντων ὤν, οὐ τοπικῶς, ἀλλὰ κατὰ τὸ αἴτιον, οὔτε ἀφαιρέσεως αὐτὸς ὤν, ὧν αὐτὸς ἔχει· αὐτὸ γὰρ ἀθάνατον αὐτὸς ἔχει· τὸ γὰρ ἀθάνατον, καὶ ἀκατάληπτον, καὶ ἄγνωστον, καὶ ὅσα τοιαῦτα, ἔχει, οὐχ ὡς μὴ ὢν τὸ ἐναντίον· ἀλλὰ κατὰ ἰδιότητά τινα πᾶσιν ἄρρητον καὶ ἀνεπινόητον· ἐξῄρηται γὰρ τῶν ἁπάντων, ὡς ἀφῃρημένος τῶν ὄντων, καὶ ὑπ' οὐδενὸς νοούμενος τῶν ἐν δημιουργίᾳ, ἢ καταλαμβανόμενος ὡς αὐτὸς ἑαυτὸν ἁρπά-

σας

στας διὰ τῆς ἀπειρίας· οὐ γὰρ ἔστιν αὐτῆς πέρας. σημείωσαι δὲ τὸ ἐν ἀλλήλαις εἶναι, κατά τινα μονὴν καὶ ἵδρυσιν τὰς θείας ὑποστάσεις, ὡς τό, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· οὕτω καὶ περὶ τοῦ ἁγίου πνεύματος ὁ ἀπόστολος λέγει.

Ὅπου γε καὶ τὴν ὑπερούσιον) αἱ τῶν σωμάτων ἑνώσεις, τῶν τε στοιχειωδῶς θεωρουμένων, καὶ τῶν ἄλλως πως μιγνυμένων, δυνάμεσι καὶ ποιότησι τὸ παρηλλαγμένον ἔχουσι καὶ ἕτερόν τι παρὰ τὴν τῶν ἁπλῶν φύσιν, ἡ τούτων ἕνωσις ἀποτελεῖ· ὡσαύτως καὶ ψυχικαὶ δυνάμεις τὸ ἑτεροειδὲς κατὰ τὴν κίνησιν διάφορον ἔχουσι. καὶ μὴν καὶ αἱ τῶν ἀγγέλων πρὸς τὰς θείας ἐλλάμψεις ἑνότητες, τὸ ἀνὰ μέρος καὶ ἀνάλογον ταῖς οἰκείαις τάξεσιν ἔχουσιν· ἡ δὲ ἐν τῇ ἁγίᾳ τριάδι θεότης, καὶ ὅσα ταύτης, οὐδενὶ τῶν εἰρημένων διακοπτομένη, ἢ ἑαυτῆς διαφέρουσα, εἰκότως ὑπὲρ ταύτας τὰς ἑνώσεις εἶναι δοξάζεται.

Καὶ ὑπερουράνια φῶτα) σημείωσαι, ὅτι καὶ τὰς ψυχὰς, καὶ τοὺς νόας ἅπαντας, ὑπερουράνια φῶτα καλεῖ καὶ φησὶν ἑνοῦσθαι τὰς ζώσας οὐσίας ταύτας ἁπάσας, ὡς εἴρηται ἐν τῷ παραδείγματι τῶν ἐν οἴκῳ τινὶ πολλῶν λαμπτήρων ἀλλήλοις ἀμίγως τε καὶ ἀσυγχύτως ἑνουμένων, θεοειδεῖς τε οὔσας καὶ μετεχούσας ἀναλόγως ἑαυταῖς τῆς τοῦ θεοῦ ὑπερηνωμένης ἑνώσεως· ἅς τινας, ἑνώσεις δηλονότι, ἐπὶ τὰ ἀσώματα, ἃ καὶ δι' ἀλλήλων ἀσυγχύτως χωρεῖ.

Ὑπερουσίου θεογονίας) σημείωσαι, ὅτι ὑπερούσιον θεογονίαν, καὶ πηγὴν, τὸν πατέρα καλεῖ· καὶ ὅτι οὐκ ἀντιστρέφει τὰ ὀνόματα.

Ἑνώσεις τε καὶ διακρίσεις) τὰ περὶ τῆς ἀφρεύστου τριάδος μέχρι τριῶν ὑποστάσεων προόδου νῦν θεολογεῖ, ὅτι γὰρ ὁ θεὸς καὶ πατὴρ κινηθεὶς ἀχρόνως καὶ ἀγαπητικῶς προῆλθεν εἰς διάκρισιν ὑποστάσεων, ἀμερῶς τε καὶ ἀμειώτως μεί-



Ministerio de Educación, Cultura y Deporte

νας ἐν τῇ οἰκείᾳ ὁλότητι ὑπερηνωμένος καὶ ὑπερηπλωμένος τοῦ οἰκείου ἀπαυγάσματος εἰς ὕπαρξιν προελθόντος, ὡς εἰκόνος ζώσης, καὶ τοῦ παναγίου πνεύματος προσκυνητοῦ καὶ ὑπεραενάως ἐκπορευομένου ἐκ τοῦ πατρὸς, ὡς μυσταγωγεῖ ὁ κύριος. ἀγαθότητι δὲ ἐπληθύνθη ἐπὶ τρισυπόστατον θεαρχίαν, ἡ αἰτία πάντων καὶ πηγή. ταῦτα καὶ ὁ θεολόγος γρηγόριος ἐν τοῖς κατὰ εὐνομίου λόγοις φησίν. ἔστι δὲ καὶ κατ' ἄλλον λόγον θεία διάκρισις, ἡ διὰ πλῆθος ἀγαθότητος πρόοδος τοῦ θεοῦ εἰς τὴν πολυειδείαν τῆς δημιουργίας τῆς ἀοράτου καὶ ὁρατῆς. κοιναὶ δὲ εἰσὶ τῆς τρισυποστάτου καὶ διακεκριμένης ἑνάδος αἱ δημιουργικαὶ πρόνοιαί τε καὶ ἀγαθότητες· ἡ γὰρ παμβασιλὶς τελεὰς ἐν μεθέξει τῶν δυναμένων μετέχειν γίνεται ἀσχέτως τε καὶ ἀμεθέκτως· τοῦτον γὰρ δηλοῖ ἑκάτερον· μετέχεται γὰρ ὁ θεὸς ἀσχέτως, οὐ κατεχόμενος ἐν τόπῳ τῷ μετέχοντι, οὐδὲ αἰσθητῶς μετεχόμενος, ἀλλ' ὅλος ἐν μετοχῇ ἑκάστου ὢν καὶ ἐξῃρημένος τῶν ἁπάντων, ὥσπερ φωνῆς μεγάλης γινομένης ἅπαντες μετέχουσιν οἱ παρόντες κατὰ τὴν οἰκείαν δύναμιν, καὶ ἀνὴρ, καὶ νήπιον, καὶ ἄλογα· ἀλλ' οἱ μὲν, ἐρρωμενέστερον· οἱ δὲ, ἀμυδρότερον πρὸς τὴν τῆς ἀκουστικῆς ἐνέργειαν, καὶ ἔστι μεθεκτὴ ἡ φωνὴ, καὶ ἐφ' ἑαυτῆς ἀμέθεκτος μείνασα.

Ἐκ τῶν μετοχῶν καὶ τῶν μετεχόντων) τὸ κατ' οὐσίαν μὲν ἡ θεότης οὐ μετέχεται, οὔτε νοεῖται· μεθεκτὴ δὲ ἐστὶν ἐν τῷ ἐξ αὐτῆς εἶναι τὰ πάντα, καὶ ὑπ' αὐτῆς συνέχεσθαι εἰς τὸ εἶναι.

Ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων) παραδειγματικῶς φησὶ, πῶς ἀμεθέκτως μετέχεται ὁ θεός.

Οὐκ ἔστιν ἡ σφραγὶς) ἀντίθεσις καὶ λύσις ἐκ τοῦ παραδείγματος τῆς σφραγῖδος.

Ἀπομόργματα) ἀπομόργματα ἐνταῦθα τὰ ἐκτυπώματα λέγει.

Ministerio de Educación, Cultura y Deporte

Καὶ μήτε αἰσθητά) ὡς λίθοι καὶ ξύλα, ἢ πάλιν τὰ τῆς ὑλικῆς οὐσίας, ὧν οὐδὲν ἐπιδέχεται τὴν ἐκ δακτυλίου σφραγῖδα.

Διακέκριται δὲ) σημείωσαι ὅτι διακέκριται τῆς ἁγίας τριάδος ἡ ἐνανθρώπησις τοῦ λόγου ὁλικῶς καὶ ἀληθῶς.

Τὸ καθ' ἡμᾶς) ἐνταῦθα περὶ τῆς οἰκονομίας πάλιν διαλαβὼν, τῷ θεῷ λόγῳ μόνῳ ταύτην προσάπτει, μήτε πατρὸς, μήτε τοῦ ἁγίου πνεύματος ἐπικοινωνησάντων, πλὴν κατὰ βουλὴν μόνην. σημείωσαι δὲ τὴν ἀκριβῆ τῆς οἰκονομίας διήγησιν, ὅτι οὐσιώθη ὁ ὑπερούσιος θεὸς λόγος ἀναλλοιώτως, ἐπὶ μεμένηκε θεὸς, καὶ οὐσιώθη καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς, τουτέστι, σῶμα καὶ ψυχὴν λογικὴν κατὰ ἀλήθειαν εἰληφώς· καὶ ὅτι ὁ θεὸς λόγος ἐστὶν ὁ παθὼν, δηλονότι σαρκί· καὶ ὅτι ἀνθρωπικὴ αὐτοῦ ἐστὶ θεουργία, πάντα τὰ ἐν τῇ οἰκονομίᾳ· καὶ ὅτι οὐκ ἐκοινώνησεν εἰς ταῦτα ὁ πατὴρ οὔτε τὸ πνεῦμα τὸ ἅγιον, εἰ μὴ τῇ εὐδοκίᾳ καὶ βουλήσει τῆς σαρκώσεως, καὶ εἰς τὸ συνεργάζεσθαι τῷ υἱῷ θεῷ ταῖς θεοσημείαις. σημείωσαι δὲ ταῦτα μάλιστα κατὰ νεστοριανῶν τε ἀκεφάλων καὶ φαντασιαστῶν.

Γεννικῶς ὁ ἀναλλοίωτος) πῶς λέγει τὸν λόγον παθεῖν, ὡς τὸ, Αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς ἐξεθέμεθα.

Τοῖς δὲ ὡς μυστικοῖς) κατὰ τὴν δύναμιν τὴν ἐνυπάρχουσαν ἐν τῷ ἄρτῳ τε τῷ ποτηρίῳ.

Ὑπὲρ νοερὰν ἐνέργειαν) τῶν περὶ θεοῦ λεγομένων, τὴν διάνοιαν μὲν ἀναπτύσσει ὁ ἱερὸς νοῦς, ἤγουν ἑρμηνεύει ὁ τοῖς θείοις δι' ὅλου ἀκολουθούμενος, καὶ τοῖς γηΐνοις καὶ ἐμπαθέσιν ἀνεπιθόλωτος μένων. αὐτοῖς δὲ τοῖς θείοις οὐκ ἄλλος ἐπιβαίνει, ἢ κατὰ ἀπόπαυσιν πάσης κινήσεως νοητικῆς τῶν ὄντων· τοῦτο γὰρ δηλοῖ τὸ ὑπὲρ νοερὰν ἐνέργειαν εἰπεῖν, τουτέστιν ὅταν τῷ ἀκατ-



Ministerio de Educación, Cultura y Deporte

ταλήπτῳ τοῦ θεοῦ πάντοθεν περιεχεθῇ, τότε καταλαμβάνει τὸ ζητούμενον.

Ταῖς μετοχαῖς μόναις) προσυπακουστέον, ὀνόματα. μετοχὰς δέ φησιν, ὧν μετέχομεν τὴν ἐξ αὐτοῦ τοῦ θεοῦ παροχήν.

Κρυφιότητα) ὅτι καὶ τὸ θεὸς ὄνομα, οὐ δηλοῖ οὐσίαν, οὐδὲ τί ἐστιν ὁ θεός, ἀλλ' ἐνέργειάν τινα εἰς ἡμᾶς· καὶ ὅτι ἐκ τῶν μετοχῶν τῶν ὑπὸ τοῦ θεοῦ δωρουμένων ἡμῖν, καὶ τὰς περὶ θεοῦ ὀνομασίας ποιούμεθα· τὸ δὲ τί ἐστιν ὁ θεός, πᾶσιν ἐστὶν ἀνεπινόητον· ἢ γὰρ ἡ θεία ὕπαρξις, οὕτως ἀξίως ποσῶς ὑμνηθήσεται, ὅτι πάσης ἐνεργείας, καὶ τῆς δραστικωτάτης, νοερᾶς δέ, πάντως ὑφ' ἡμῶν ἀπολυθεῖσα, δέξεται ἡμᾶς διὰ σιγῆς ἁγίας ἐπιβάλλοντας ταῖς ἐκεῖθεν ἐκφοιτώσαις δωρεαῖς· θελήματι γὰρ τὰ ὄντα παράγει, σαύτων ἡμῶν βεβαίως ἐν τῇ τοῦ ἡμετέρου νοῦ ἀδιακρισίᾳ, ἣν ἐκάλεσε πρὸ μικροῦ, γνῶσιν ἐν ἀγνωσίᾳ.

Πάλιν, ὅτι μὲν ἐστὶ πηγαία) σημείωσαι τὰ σεβάσμια καὶ φρικτὰ ἐπὶ τῆς ἀχράντου τριάδος ὀνόματα, ὅτι πηγαία θεότης, ὁ πατήρ· ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, βλαστοί εἰσι τῆς θεογόνου θεότητος, τουτέστι τοῦ πατρός, θεόφυτοι, καὶ ἄνθη, καὶ φῶτα ὑπερούσια. μᾶλλον δὲ βλαστούς φησιν εἰρῆσθαι ἐν τῇ γραφῇ, ἀπὸ τῆς τῶν ἐλαιῶν ὀπτασίας Ζαχαρίου τοῦ ἑνδεκάτου τῶν προφητῶν· δύο γὰρ κλάδους τῆς ἐλαίας φασὶν οἱ ἑβδομήκοντα· οἱ δὲ ἄλλοι ἑρμηνευταὶ στάχυας καὶ βλαστούς. φῶτα δέ, ἐν οἷς εἴρηται, πατρὸς τῶν φώτων, καὶ φῶς ἐκ φωτός. πατριὰν δὲ λέγει τὴν οἱονεὶ πατρότητα· ἐπιφέρει γοῦν, υἱότης· καὶ γοῦν φησὶν ὁ ἀπόστολος, Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· τὸ γὰρ εἶναί τε πατέρας καὶ υἱοὺς ὀνομάζεσθαι ἄνωθεν ἐρρύησεν, ἐκ τοῦ πατρὸς μὲν φύσει τοῦ υἱοῦ

ὄντος· πατρὸς δὲ πάντων, δημιουργικῶς καὶ διδασκαλικῶς· ὅθεν καὶ ἀσώματοι καὶ νοητοὶ θεῶν πατέρες, καὶ υἱοὶ διδασκαλικῶς καὶ ὑπαρκειμένως ἐν ἀγγέλοις καὶ δικαίοις, ὡς καὶ ὁ ἀπόστολος δηλοῖ, πάντων τῶν πατέρων ἄρχοντος τοῦ κυρίως πατρὸς, ἅτε καὶ τὴν τοιαύτην μέθεξιν δόντος, καὶ πάντων τῶν υἱῶν ἄρχοντος τοῦ υἱοῦ, ἅτε καὶ αὐτοῦ μεθεκτοῦ ἐν τούτῳ γινομένου, ὡς αὐτός φησιν, Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· ὅτι καλεῖται πατὴρ, ὁ αὐτὸν ἔχων υἱὸν τὸν ταῦτα εἰπόντα.

Τοῖς αἰτιατοῖς) αἰτιατὰ ἐπὶ πάντα τὰ παραχθέντα εἰς κλίσιν, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· αἴτια δὲ τὰ ὑπάρχοντα, τουτέστιν αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας τριάδος· πρόδηλον οὖν ὅτι οὐδεμία ἐμφέρεια τούτων πρὸς ἄλληλα, αἰτίων φησὶ καὶ αἰτιατῶν. καλῶς δὲ προσέθηκε τὸ ἐνδεχομένας· οὐ γὰρ ἁπάσας.

Καὶ ζωὴν εἴ τις φαίη) ὅτι τελειωτῶς καὶ οὐσιωδῶς προσένεστι τὰ τῶν αἰτίων. ὥστε οὐ καλῶς λέγομεν ζωὴν καὶ φωτίζεσθαι τὸ θεῖον· τοῦτο γὰρ τοῦ ζῆν ἡμᾶς καὶ φωτίζεσθαι αἴτιον· οὐσιωδῶς οὖν προσένεστι τῷ θεῷ, ἅπερ ἡμῖν κατὰ χάριν· τοῦτο γὰρ σημαίνει τὸ κατὰ μέθεξιν· λέγει γὰρ ὁ ἀπόστολος, Χάριτί ἐστε σεσωσμένοι. καὶ ἡμεῖς μὲν σεσωσμένοι λεγόμεθα· αὐτὸς δὲ ἡμῶν σωτήρ ἐστι. καὶ πάλιν, Ἀπὸ γὰρ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.

Ἀλλὰ καὶ τὸ πάσης θεολογίας) ὅτι θεολογίαν καλεῖ τὰ τῆς ἐνανθρωπήσεως· καὶ ὅτι καθ' ἡμᾶς θεοπλασίαν φησὶ τὴν τοῦ κυρίου Ἰησοῦ σάρκωσιν. ταῦτα κατὰ Νεστοριανῶν μάλιστα, τὸ ἀνδρικῶς αὐτὸν οὐσιωθῆναι λέγειν. ὅρα δὲ ὅτι ἐκ τῶν παρθενικῶν αἱμάτων φησὶ τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ διαπλασθῆναι. σημείωσαι δὲ, πῶς φησὶ, πρεσβυτάτοις ἀγγέλοις εἶναι τινὰς, καὶ πρῶτον αὐτῶν τινὰ εἶναι. λέγει δὲ πρεσβυτέροις ἀγγέ-



Ministerio de Educación, Cultura y Deporte

λοις ὁ θεολόγος ἰωάννης ἐν τῇ ἀποκαλύψει καὶ ἑπτὰ εἶναι τοὺς πρώτους ἐν τῷ τωβίᾳ ἀναγινώσκομεν καὶ παρὰ κλήμεντι βιβλίῳ ε. τῶν ὑποτυπώσεων. πρεσβυτάτους δὲ ἀγγέλους εἴωθε καλεῖν, τὰς ἀνωτάτω τρεῖς τάξεις, θρόνους, σεραφὶμ, χερουβὶμ, ὡς δηλοῖ ἐν τῷ περὶ τῆς οὐρανίας ἱεραρχίας λόγῳ πολλάκις. φησὶ δὲ ἐνταῦθα, μήτε τῷ πρεσβυτάτῳ τῶν ἀγγέλων ἐφικτὸν εἶναι τὸν τρόπον τῆς ἐνανθρωπήσεως.

Καὶ τῷ κλεινῷ) ἐνδόξῳ.

Καθηγεμόνι) καθηγεμόνα οἰκεῖον, τὸν ἅγιον ἱερόθεον αἰνίττεται, ὡς εὐθὺς δηλοῖ. μετὰ γὰρ τὸν παῦλον ἐκ τούτου ὠφελήθη. λέγει δὲ ὅτι ἴσως παθὼν τὰ θεῖα ἐκεῖνος, οὕτως ἐνεπνεύσθη. τί δέ ἐστιν οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθών. εἴρηται μὲν οὖν καὶ ἐν τῇ πρὸς ἑβραίους· ἔμαθε γὰρ ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. ὁ γὰρ παθὼν πεῖραν λαμβάνει τοῦ διδασκομένου, ἢ ὁ τυπτόμενος μᾶλλον τοῦ μόνον ἀκούσαντος, οὐ μὴν καὶ τυπτηθέντος ποτὲ, τίς ὁ τοιοῦτος πόνος γινώσκει, καὶ μᾶλλον ἂν παραστήσειεν, ὁποῖόν ἐστι τὸ ἄλγος· οὕτως καὶ ὁ δι' ἀποκαλύψεως μυούμενος, θειότερον ἑρμηνεύσει τὰ θεῖα. τὸ δὲ παθεῖν τὰ θεῖα, τοιοῦτόν ἐστιν· εἴρηται τῷ ἀποστόλῳ, Συνταφῶμεν τῷ χριστῷ, ἵνα καὶ συναναστῶμεν αὐτῷ καὶ συμβασιλεύσωμεν. ὁ δὲ σταυρῶν ἑαυτὸν καὶ τὴν ἑαυτοῦ σάρκα, αὐτὸς τὰ στίγματα τοῦ χριστοῦ ἐν τῷ οἰκείῳ σώματι περιφέρει· εἰκότως οὖν καὶ συμβασιλεύει τῷ χριστῷ, καὶ τὰ θεῖα αὐτοῦ θαρρεῖται μυστήρια. ὅταν καὶ ὁ ἅγιος ἱερόθεος λέγεται μὴ μόνον μαθεῖν, ἀλλὰ καὶ παθεῖν τὰ θεῖα· καὶ ὁ δι' ἀποκαλύψεως τὰ θεῖα μυούμενος, ἐξίσταται ἑαυτοῦ, καὶ καλῶς λέγεται παθεῖν, τὸ ἐπωφελὲς τοῦτο πάθος, ἵνα θεοῦ γένηται καταγώγιον. Ἄλλως. παθεῖν αὐτὸν ἔφη τὰ θεῖα, ὡς οὐ διδακτῶς διὰ λόγου τὴν περὶ τούτων δέξασθαι μύησιν λέγων, ἀλλὰ τῇ θείᾳ ἐλλάμψει ἐντυπω-

Ministerio de Educación, Cultura y Deporte

θῆναι, καὶ δεῖ ἐνσημανθῆναι τῇ διανοίᾳ τὴν γνῶσιν τῆς ὑπὲρ φύσιν, καὶ τὴν τοιαύτην τῶν θειοτέρων μύησιν συμπάθειαν ἐκάλεσεν, ἤγουν συνδιάθεσιν.

Η πάντων αἰτία) τὰ διὰ ταῦτα παρέστησι ῥήματα, πῶς καὶ ὁ υἱὸς τὰ πάντα ἐν πᾶσι, καὶ κεφαλὴ πάντων κατὰ τὸν ἀπόστολον. καὶ φησὶν, ὅτι πάντων ἐστὶ πλήρωμα καὶ συνοχεὺς, τὴν ἀλληλουχίαν τῶν δημιουργημάτων συσφίγγων, τουτέστι τὰ μέρη τῷ παντὶ, ὡς τὸ πᾶν ὤν. ὡς τοῦ παντὸς οὖν συναρμογεὺς, καὶ μέρος εἰκότως, ἐπειδὴ καὶ πᾶν μέρος τοῦ παντός ἐστι μέρος, καὶ οὔτε πᾶν, οὔτε μέρος, ὡς μηδὲν ὢν ἐξ αὐτῶν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν οὐσίαν. μέρη δὲ ὅλου τοῦ κόσμου εἰσὶ τὰ κατ' εἶδος ὁρώμενα, ἀὴρ, γῆ, φυτὰ, καὶ τὰ λοιπά. καὶ ἔστι μὲν οἷά τις τελεία λεγομένη ἡ αὐτοῦ θεότης, ὡς πρὸς ἡμᾶς τοὺς ἀτελεῖς· ὡς παρὰ Ματθαίῳ, Τέλειοι γίνεσθε, ὅτι, ἐγὼ τέλειός εἰμι. πρὸς δὲ ἀγγέλους τοὺς τελείους, οὐ τέλειος, ἀλλ' ὑπερτέλειός ἐστι· καὶ τελετάρχης ὁ υἱὸς, ὡς ἄρχων πάσης τελειότητος, ἐπειδὴ καὶ προτέλειος. οὕτω καὶ εἶδος λέγεται ἐν τοῖς ἀνειδέοις, καὶ ἀσωμάτοις, ὡς ἁπάσης τῆς εἰδοποιΐας δημιουργὸς, καὶ ἀρχὴ παντὸς εἴδους· πρὸς δὲ ταῦτα τὰ εἴδη ἀνείδεος καὶ ὑπερείδεος, ἐπειδὴ δεύτερα αὐτοῦ καὶ τὰ εἴδη καὶ αἱ ἰδέαι.

Ἀφορίζουσα) αὐτὴ τοῦ διακρίνουσα καὶ πρὸς τὸ ἀσύγχυτον διασώζουσα.

Καὶ μέτρον ἐστὶ) μέτρον ἐστὶ τῶν ὄντων, ἐπειδὴ ἐν αὐτῷ τὰ πάντα πεπέρασται· καὶ αἰὼν μάλιστα δικαίως ἂν λέγοιτο· εἰ γὰρ αἰὼν λέγεται οἱονεὶ ἀεὶ ὢν, αὐτός ἐστιν ὁ ἀεὶ ὤν· εἴρηται γάρ, Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· καὶ πάλιν, Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ τὸν οὐρανὸν μετρῶν σπιθαμῇ, καὶ τὴν γῆν δρακί· ποιητὴς δὲ αἰώνων, ἅτε τῶν ἀγγέλων ποιητὴς ὤν, ἀθανασία, παράτασις, ἀειζωΐα, αἰὼν, ἀλλ' οὐ χρό-

νος, ἀτελεύτητος καὶ ἀεὶ ἐσόμενος λέγεται. οὐ κατὰ τοῦτο οὖν λέγεται αἰών, κατὰ τὸν χρόνον τὸν τέλος ἔχοντα, ἀλλὰ κατὰ τὸ ἀεὶ ὤν, εἰς αἰῶνας τέλος οὐκ ἔχοντας.

Πλήρης, ἐν τοῖς ἐνδεέσιν) ὃ γὰρ εἶπεν ἄνω, ἀτελὴς δὲ ἐν τοῖς τελείοις, ὧδε φησίν, ὑπερπλήρης ἐν τοῖς πλήρεσι. καὶ τὸ ἀτελὴς οὖν οὕτως ὀφείλεις νοεῖν, ὑπερτελεία ἐν τοῖς τελείοις.

Καὶ ἕως φύσεως) ὁρᾷς, πῶς φησιν, ἐπειδὴ καὶ ἕως φύσεως ἐλήλυθε· φύσεως μὲν, τῆς ἡμετέρας νόησον· καὶ ὅτι τὸ φύσεως οὐ καλῶς λεγόμενον ἐπὶ θεοῦ· ἰδοὺ γὰρ πῶς φησίν, ἕως φύσεως κατῆλθε, τουτέστιν, ἕως ἐκείνου ἔφθασε τοῦ ἀτιμοτέρου καὶ οὗ ὑπὲρ αὐτὸς οὐκ ἐκέκτητο. σημείωσαι τὰς ἐμφάσεις τῶν λέξεων.

Ἀνομοιώτως) σημείωσαι, ὅτι ἀνομοιώτως καὶ ἀσυγχύτως ἐκοινώνησεν ἡμῖν καὶ ἀπαθῶς· καὶ ὅτι ἐν τοῖς φυσικοῖς ἡμῶν ἔμεινεν ὑπερφυής, καὶ ἐν τοῖς κατ' οὐσίαν ὑπερούσιος, καὶ εἶχε τὰ ἡμῶν ὑπὲρ ἡμᾶς, οἷον τὸ ἐκ παρθένου, τὸ ἀναμάρτητον, τὸ ἐν ἐξουσίᾳ θεοῦ λαλεῖν καὶ πάντα πράττειν, τὸ περιπατεῖν ἐπάνω τοῦ ὕδατος, καὶ ὅσα τοιαῦτα. σημείωσαι οὖν, ὅτι οὐδεὶς οὕτω θεολογεῖ περὶ τῆς οἰκονομίας, κατὰ νεστοριανῶν καὶ ἀκεφάλων καὶ φαντασιαστῶν.

Τὰ κοινὰ καὶ) κοινὰ δὲ λεγόμενα τὰ τῆς ἁγίας τριάδος ὀνόματα, ὅσα ἐκ τῶν αὐτῆς δωρεῶν τῶν εἰς τὰ μετ' αὐτὴν ὀνομάζεται· ἅς τινας δωρεὰς, διακρίσεις φησί, καὶ οἱονεὶ πληθυσμούς.

Πληθύεται δὲ ἑνικῶς) τοῦτο κατὰ φαντασιαστῶν, πολλαπλασιάζεσθαι λέγεται τὸ ἕν· ἐπειδὴ γὰρ ἐξ αὐτοῦ ἅπαντα, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἐκλῖσαι, καὶ αὐτὸς ἐστι κεφαλὴ πάντων τῶν ὄντων, καὶ αὐτὸς τὰς ὅλας οὐσίας παρήγαγε, εἰκότως πολλαπλασιάζεσθαι λέγεται διὰ τῶν παρ' αὐτοῦ γινομένων, ὅταν καὶ

Ministerio de Educación, Cultura y Deporte

πάντων ὑποταττομένων τῷ πατρὶ, αὐτὸς λέγεται διὰ τῶν παρ' αὐτοῦ γινομένων, τῷ πατρὶ ὑποτάττεσθαι, ὡς φησὶν ὁ ἀπόστολος, Τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται. καὶ ὁ τοιοῦτος ἐν τῷ πληθυσμῷ τῆς πάντων παραγωγῆς ἔμεινεν εἷς καὶ ὁ αὐτὸς ἐν τῇ ἀνελαττώτῳ χύσει τῶν αὐτοῦ μεταδόσεων, ἐν τῷ παντὶ μέρος ὤν, καὶ μηδὲν ὢν τοῦ παντός· ἔστι γὰρ ὑπερούσιος, καὶ ἡμῖν ἀνέφικτος. ἑρμηνεύει δὲ αὐτὸ ὑποκάτιων.

Καὶ τῇ ἑνιαίᾳ) ἑνιαίαν ἔφη τὴν ὅλων παραγωγὴν, δηλῶν ἅμα τῷ βούλεσθαι, καὶ οὐ κατὰ μικρόν τι καὶ μερικῶς κινηθῆναι, ἤτοι πρὸς τὸ εἶναι ἐλθεῖν τὰ γενόμενα. ἀνελάττωτον δὲ μετάδοσιν, ἤτοι ὅτι κτίζων τὰ ὄντα ὁ θεὸς, οὐδὲν τῶν οἰκείων μειοῖ ἀγαθῶν.

Ἐννοήσας ὁ κοινὸς ἡμῶν) κοινὸς καθηγεμὼν καὶ χειραγωγὸς, ὁ ἀπόστολος παῦλος δηλονότι· δι' αὐτοῦ γὰρ ἐπίστευσεν, ὡς ἔγνωμεν ἐν ταῖς πράξεσι. καὶ σημειωτέον, ὅτι καὶ ὁ ἅγιος ἱερόθεος τῷ ἁγίῳ παύλῳ ἐμαθητεύθη.

Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι) τὸ καὶ θεοὶ πολλοὶ καὶ κύριοι ὦσι, πλὴν ἕνα εἶναι τὸν ἀληθῶς θεὸν, καὶ πατέρα, καὶ ἕνα τὸν ἀληθῶς κύριον ἰησοῦν, τοῦτο δηλοῖ, ὅτι ἡ πάντων αἰτία, καὶ δημιουργὸς θεότης κατὰ μετάδοσιν ἀμέριστον καὶ ἀσκέδαστον τῆς ἐπωνυμίας τῆς οἰκείας θεότητος καὶ κυριότητος τοὺς λεγομένους θεοὺς καὶ κυρίους παρήγαγεν, οὐ κατακερματισθείσης τῆς θεότητος εἰς μέρη θεοτήτων, ὡς χρυσὸς εἰς νομίσματα πολλὰ, οὔτε τῶν πολλῶν θεῶν συμπληρούντων τὴν αὐτοῦ θεότητα, ὃν τρόπον τὰ πολλὰ εἴδη, τὸν ἕνα κόσμον· ἀλλὰ πληθύνεσθαι λέγεται ὁ θεὸς, τῷ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματι, προνοητικαῖς προόδοις, πολλαπλασιαζόμενος μὲν, μένων δὲ ἀμερὲς ἕν, ὥσπερ ἥλιος ἀκτῖνας πολλὰς ἐκπέμπων, καὶ μένων ἐν τῇ ἑνότητι· εἴρηται γὰρ καὶ περὶ τοῦ ἡλίου τῆς δι-

Ministerio de Educación, Cultura y Deporte

καιοσύνης, ὁ καθ' ἡμέραν μεριζόμενος, ὁ μὴ δαπανώμενος. καλῶς δὲ καὶ ἐπὶ τῶν θεῶν εἴρηται, τὰς ἑνώσεις τῶν διακρίσεων ἐπικρατεστέρας εἶναι· καὶ γὰρ οὐ δεῖ τὸν νουνεχῶς ἀκροώμενον περὶ θεοῦ ἑνάδα, περὶ αὐτοῦ ἀκούοντα ὑπονοεῖν ἀσθένειαν, οὔτε ἁπλῶς ὡς ἀδύνατον· οὐδὲν γὰρ ἐπὶ θεοῦ οἰκείως παρ' ἡμῶν λέγεται τῆς ἰδιότητος ἐκείνης ἐφικνούμενον, οὔτε κατὰ στέρησιν, ὡς ἀθάνατος, καὶ τὰ ὅμοια· οὔτε κατὰ θέσιν, ὡς ζωὴ τυχὸν, καὶ τὸ ἕν· ἀλλὰ τὸ ἓν, ὡς πᾶσιν ἀσύμβλητον ῥητέον ὅπερ ὡσαύτως ἔχει καὶ ἐν ταῖς ἀνεκφοιτήτοις τῆς οἰκείας ἑνάδος τῶν λοιπῶν ὑποστάσεσι· μένει γὰρ ὁ αὐτὸς, κἂν τὸ βούλημα δοκῇ διακρίνεσθαι εἰς τὴν τῶν λοιπῶν παραγωγὴν πάσης οὖν διακρίσεως, τουτέστιν εἰς τὸ εἶναι τὰ πάντα παρόδου περαιτία δὲ καὶ ἐπικρατεστέρα ἡ τοῦ θεοῦ ἀμέριστος ἑνάς. ἐπὶ δὲ τῶν αἰσθητῶν, τὸ ἐναντίον· οὐδὲ γὰρ αὐτῶν ἐστὶν ἑνὰς, ἀλλ' αἱ διακρίσεις τῶν στοιχείων προϋποῦσαι, σύνδρομοι γινόμεναι καὶ ἑνούμεναι, δευτέρας τὰς ἐκ τῆς συνθέσεως ἑνώσεις ἐργάζονται. ἐπὶ δὲ τῶν θεῶν, οὐχ οὕτως· ἐπὶ αὐτῶν γὰρ προϋποῦσα ἡ ἕνωσις, τὰς διακρίσεις βουλήματι δευτέρας ποιεῖ.

Καὶ μετὰ τὴν τοῦ ἑνὸς) ἑνώσεις μὲν ἐπὶ τῶν θεῶν φησὶν, ἤτοι τὰ ἑνιαίως τε καὶ μοναδικῶς ἐπὶ τῆς θεότητος θεωρούμενα, αἳ δὴ γε δηλαδὴ ὧν προϋπεστείλατο ἰδιοτήτων, τουτέστι πατρότητος, υἱότητος, καὶ τῆς ἐκ τοῦ πνεύματος ἐκπορεύσεως· διακρίσεις δὲ, τὸ πολλὰ εἶναι τὰ τῶν θεῶν μετέχοντα δωρεῶν. προκατάρχουσι τοίνυν καὶ ἐπικρατοῦσι τὰ τῶν ἑνώσεων· οὐ γὰρ ἐκ τῶν πολλῶν συνήχθη τὰ τῆς μιᾶς θεότητος καὶ κυριότητος, ἀλλὰ ἐκ τοῦ ταύτης μοναδικοῦ, ὁ ἐν ἐκείνοις πληθυσμὸς θεωρεῖται.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. γ.

ΤΗΝ ἀγαθαρχικὴν) τὴν ἀρχηγὸν πάσης ἀγαθότητος.

Οὐ πάντα δὲ) πῶς οὐ πάντα πάρεστι τῷ θεῷ, φησὶ μὲν καὶ αὐτὸς, νοήσεις δὲ αὐτὸ καὶ ἐκ θείου χρησμοῦ, Ἐγγίσατε πρός με, καὶ ἐγὼ ἐγγιῶ πρὸς ὑμᾶς, λέγει κύριος.

Ἡμᾶς οὖν αὐτοὺς) σημείωσαι, ὅτι ἡ εὐχὴ ἡμᾶς ἀνάγει πρὸς τὸν θεὸν, οὐκ αὐτὸν πρὸς ἡμᾶς κατάγει. σημείωσαι δὲ καὶ τὰ παραδείγματα ὡραῖα ὄντα.

Πολυφώτου σειρᾶς) καλῶς ἀπείκασεν οὐρανίᾳ σειρᾷ τὴν καθ' ἡμᾶς προσευχήν· ὥσπερ γὰρ ὁ εἰς ὕψος οὐρανοῦ ἀνιέναι θέλων ἐπιδράττεται ταῖς χερσὶν ἰσχυρῶς τῆς σχοίνου ταύτης.

Πεισμάτων) σχοινίων.

Τὴν ἁπανταχῆ) πῶς πανταχοῦ πάρεστι, καὶ οὐδαμοῦ ὁ θεὸς, εἴρηται ἡμῖν ἀνωτέρω ἐν τῇ ἐξηγήσει ἧς ἡ ἀρχὴ, Θέσιν φασὶν οἱ φιλόσοφοι. ὥσπερ οὖν ὁ κατὰ μικρὸν ἑαυτὸν τῆς γῆς κουφίζων ταῖς χερσὶ, δοκεῖ μὲν καθέλκειν τὴν σειρὰν, αὐτὸς δὲ πρὸς ὕψος αἴρεται τῇ κατὰ μικρὸν ἀναβάσει· οὕτω καὶ ὁ ἐκτενῶς προσευχόμενος διὰ τῶν πράξεων, ἃς ὁ λόγος χεῖρας καλεῖ, τῇ κατὰ μικρὸν ἐργασίᾳ καὶ προσευχῇ τὸν νοῦν αὐτοῦ πρὸς θεὸν ἀνυψοῖ· ἐὰν δὲ τὰς χεῖρας ἀπολύσωμεν τῆς σειρᾶς, καὶ μὴ φροντίσωμεν τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πίπτομεν ἐξ ὕψους. τὸ αὐτὸ καὶ περὶ τῆς νηὸς, ἵνα νοήσωμεν ναῦν τὴν ἡμῖν διακειμένην ῥιπιζομένην τοῖς τοῦ βίου ἀνέμοις· θάλασσαν δὲ, τὸν βίον τὸν γέμοντα πολλῶν χειμώνων· πέτραν δὲ, τὸν χριστὸν, ὃν κρατοῦντες ἀσάλευτοι διαμένομεν πρὸς αὐτὸν, τὸν βίον

ἡμῶν ἕλκοντες.

Τοῦ κλεινοῦ) ἐνδόξου.

Εἰκαιολογῆσαι) ματαιολογῆσαι.

Στοιχειωθέντας) στοιχειωθέντας λέγει, ἀντὶ τοῦ ὠφεληθέντας. ἰστέον δὲ, ὅτι μετὰ παῦλον ἐμαθητεύθη τῷ ἁγίῳ ἱεροθέῳ. ὑφαρπάζοντας δὲ λέγει, ἀντὶ τοῦ κρυφίως ἰδιοποιουμένους καὶ σφετεριζομένους.

Πρεσβυτικῶς) τὸ πρεσβυτικῶς μὲν, ἴσως ἔλαβεν, ἀντὶ τοῦ ἐμπείρως, καὶ ἐπιστημονικῶς· συνοπτικοὺς δὲ ὅρους φησὶ, τοὺς σύντομον ἔχοντας τὴν θεωρίαν· τοῦτο γὰρ ἐδήλωσε καὶ ἑνιαίας εἰπών. συνελίξεις δέ φησι, τὰς δι' ὀλίγων ἐκφράσεις.

Ὡς οὖν ἡμῖν) τουτέστιν ὡς δυνατὸν ἐμοὶ, καὶ αὐτὸς προέτρεψας ἑρμηνεῦσαι, καὶ ὅσοι καθ' ἡμᾶς διδάσκαλοι οὕτως ἡρμήνευσαν. αὕτη ἡ σύνθεσις τοῦ ὑπερβατοῦ.

Δεύτερα λόγια) σημείωσαι, ὅτι τὰ τοῦ ἁγίου ἱεροθέου συγγράμματα, ὡς δευτέρας ἁγίας γραφὰς νομιστέον.

Αὐτοπτικὴν) τὴν ἀνεπικάλυπτον καὶ ἐμφανεστέραν κατανόησιν λέγει.

Πρεσβυτικῆς) ὅτι ἡ πρεσβυτικὴ ἀξία, τελειοτέρα καὶ διδασκαλικωτέρα πάντων ἱερέων ἐστί. ὅτι δὲ ἔστι πρεσβυτική, νόησις ἐξ ἡσαΐου λέγοντος, Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἥξει, καὶ σώσει ἡμᾶς. καὶ ἐκ τῆς τοῦ ἁγίου ἰωάννου ἀποκαλύψεως, ὃς εἴκοσι τέσσαρας πρεσβυτέρους εἶπεν ἑωρακέναι ἐν οὐρανοῖς περὶ τὸν τοῦ θεοῦ ἀνεκλάλητον θρόνον.

Τοῦ ζωαρχικοῦ) ζωαρχικὸν καὶ θεοδόχον σῶμα, τάχα τὸ τῆς ἁγίας θεοτόκου λέγει, τότε κοιμηθείσης. σημείωσαι δὲ καὶ τὸ, ὁ ἀδελφόθεος ἰάκωβος· καὶ ὅτι συμπαρῆν πέτρῳ καὶ ἰακώβῳ τοῖς ἀποστόλοις ὁ θεῖος οὗτος ἀνήρ.

Ministerio de Educación, Cultura y Deporte

Τῶν θεολόγων) περὶ τῶν ἁγίων ἀποστόλων λέγει.

Τῆς θεαρχικῆς ἀσθενείας) θεαρχικὴν ἀσθένειαν ἐνταῦθά φησι, τὴν ἑκούσιον τοῦ υἱοῦ ἄχρι σαρκὸς, ἁμαρτίας δίχα, συγκατάβασιν· ἁμαρτίαν γὰρ πάντη ἀγνοήσας, κατηξίωσεν ὑπὲρ ἡμῶν, μὴ ἐκστὰς τῶν οἰκείων, ἀναμαρτήτως ἁμαρτία γενέσθαι, ἵν' ἡμᾶς τοὺς δουλωθέντας τῇ ἁμαρτίᾳ, διὰ τῆς δι' ἑαυτοῦ ἡμῶν υἱοθεσίας, εἰς τὴν ἀρχαίαν ἐπαναγάγῃ ἐλευθερίαν· πλούσιος γὰρ ὢν θεότητι, πτωχεύει τὴν πλουτοποιὸν πτωχείαν, ἀναλαβὼν ὑπερφυῶς τὴν ἡμῶν σάρκα, ἵνα ἡμεῖς τὴν ἐκείνου πλουτήσωμεν θεότητα, καὶ ἐν μορφῇ θεοῦ καὶ θεὸς κατ' οὐσίαν ὑπάρχων, τὴν τοῦ δούλου δι' ὑπερέκχυσιν ἀγαθότητος ὑπέδυ μορφὴν, λόγος ἁπλοῦς ὢν, ἐνυπόστατος καὶ γεγονὼς ἀτρέπτως σάρξ· ἔτι πρὸς τούτοις, καὶ πᾶσαν τὴν ἔνσαρκον αὐτοῦ πενιχρὰν πολιτείαν, τὴν φάτνην, τὴν εἰς Αἴγυπτον φυγὴν, τὴν μετὰ πορνῶν καὶ τελωνῶν ἀδιάφορον συνδιαγωγὴν, τὴν ἐκλογὴν τῶν πτωχοτάτων ἁλιέων, τὸ ἄοικον αὐτοῦ, τὸ αὐτοσχέδιον καὶ ἀπεριπαράσκευον πάντη τῆς ὅλης αὐτοῦ ἐνσάρκου ζωῆς, τὸν ἄτιμον ἐπὶ σταυροῦ θάνατον· ἐπικατάρατος γὰρ πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. τὴν μετὰ τῶν κακούργων λῃστῶν συναρίθμησιν, τὰς διαπερονήσεις τῶν ἥλων, τὴν διὰ τῆς λόγχης νύξιν τῆς πλευρᾶς, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα, τὸ ὄξος, τὴν χολὴν, τὸν ἀκάνθινον στέφανον, τοὺς διαπαιγμοὺς καὶ διαγελασμοὺς, τὰς γονυπετήσεις, τὴν εὐτελεστάτην κηδείαν τε καὶ ταφήν. τοῦτο τὸ ὡσανεὶ μωρὸν καὶ ἀσθενὲς τοῦ θεοῦ, τῷ λόγῳ τῆς οἰκονομίας, σοφώτερον καὶ ἰσχυρότερον ἀσυγκρίτως, τῶν ἀνθρώπων, τῇ ὑπὲρ δύναμιν καὶ ὑπέρσοφῳ ἐκνικήσει τοῦ κρείττονος διαπρυσίως ἀπεδείχθη ἀφθέγκτῳ σιγῇ δι' ἔργων ἐκβοώμενον πάσῃ τῇ κτίσει ἀκαταλήπτως· εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως κτ.

Ministerio de Educación, Cultura y Deporte

παῦλον τὸν θεσπέσιον. Εἰς τὸ αὐτό. καλῶς τὸ τῆς ἀσθενείας τῆς θεαρχικῆς εἴρηκε· διὰ γὰρ τὴν πρὸς ἡμᾶς ἑκούσιον συγκατάβασιν, πάντα ὑπομείνας ἄχρι θανάτου, θανάτου δὲ σταυροῦ, καὶ τὰς ἀσθενείας ἡμῶν αὐτὸς αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν, καὶ τὸ πάθος αὐτοῦ ἴδιον λέγεται, κατὰ τὴν τοῦ πέτρου φωνὴν τὴν λέγουσαν, Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί· καί, Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ὅθεν καὶ κυριοκτόνοι οἱ ἰουδαῖοι λέγονται.

Ὑμνολόγος κρινόμενος) ὅτι καὶ ψαλμοὺς ἔλεγον τότε ἐμμελεῖς οἱ περὶ τὸν ἅγιον ἱερόθεον καὶ ᾠδάς, ὡς δηλοῖ καὶ τὸ ὑμνολογεῖν καὶ τὸ ὑμνῳδεῖν· καὶ ὅτι, τὰ μὲν ὑψηλὰ καὶ μυστικά, ἄρρητα τοῖς πολλοῖς δεῖ φυλάττειν· ὁμιλεῖν δὲ καὶ διδάσκειν δεῖ τοὺς πολλούς, τὰ δυνατὰ καὶ εὐαπόδεκτα.

Τῶν θείων) γραφῶν δηλονότι καὶ θεωρημάτων.

Διὰ περιωπὴν εὐλάβειαν) ὅτι εὐλαβὲς τὸ μὴ ζητεῖν τὰ θειότερα.

Εἰλήφαμεν) σημείωσαι, ὅτι οὐ δεῖ τῆς ἐνδεχομένης τῶν θείων γνώσεως ἀμελεῖν, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι· καὶ ὅτι κατὰ φύσιν οἱ νόες ἔφεσιν ἔχουσι πρὸς τὴν εἰσχωροῦσαν τὴν ὑπερφυᾶ θεωρίαν.

Τὰ μὲν ὑπὲρ ἡμᾶς) ὅτι οὐ δεῖ τὰ ὑπὲρ ἡμᾶς πολυπραγμονεῖν, οὐδὲ ἀμελεῖν τῆς θείας γνώσεως, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι τῶν ἐνδεχομένων· εἴρηται γάρ, Ὑψηλότερά σου μὴ ἐρεύνα, ἃ προσετάγη σοι, ταῦτα διανοοῦ.

Ἐγκελευομένη) κατὰ τὸν ἀπόστολον, Ταῦτα παράθου πιστοῖς ἀνθρώποις.

Τούτοις οὖν καὶ ἡμεῖς) σημείωσαι, πόθεν ἐπὶ τὸ συγγράφειν ἦλθεν.

Ministerio de Educación, Cultura y Deporte

Ἱεροθέῳ) ὅτι ἐν τοῖς λεχθησομένοις τὰ Ἱεροθέου ἑρμηνεύει.

## ΚΕΦΑΛ. δ.

ΕΙΕΝ δὴ ἴωμεν) ἄγε δὴ ἴωμεν.

Ἀφορίζουσι) τὸ μὲν ἀφορίζουσιν, ἀντὶ τοῦ ἀνατιθέασιν ἐκληπτέον· τὸ δὲ ἀπὸ πάντων δηλοῦσθαι τὴν θείαν ἀγαθότητα, τὸ πάντας ἐξ αὐτῆς παρῆχθαι πρὸς ὕπαρξιν δηλοῖ.

Ὡς οὐσιῶδες) ὅτι οὐσιῶδες ἀγαθὸν αὐτὸ τὸ θεῖον, καὶ ὅτι τοῦ ἀγαθοῦ πάντα τὰ ὄντα μετέχει, ὡς τοῦ ἡλίου τὰ ποιητά.

Ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος) μηδεὶς ὑπολαβέτω πρὸς τὸ τοῦ ἡλίου παράδειγμα ὁλοκλήρως τὰ περὶ θεοῦ κρίνειν τὸν μέγαν Διονύσιον· ἀλλ' οὕτω νοείσθω, ὥσπερ ὁ ἥλιος, οὐκ ἄλλο τι ὢν παρὰ τὸ φῶς, οὐ συμβατὸν ἔχει τὸ φῶς· καὶ ὡς ἄλλο τι ὢν ἢ ψυχικῶς προαιρέσει τοῦ ἐνεργεῖν ἔσωθεν λαμβάνει τὸ φῶς, καὶ διαδίδωσιν εἰς πάντα· τοὐναντίον γὰρ οὔτε ψυχικὸς ὤν, οὔτε προαίρεσιν ἔχων ἐνεργεῖ· ἄλογος γάρ· καὶ οὐδὲ ἑτέρωθεν τὸ φῶς λαμβάνων· αὐτὸ γὰρ τοῦτο φῶς ἐστὶ καὶ φωτίζει· οὕτω χρὴ τοῦτο μόνον καὶ ἐπὶ θεοῦ νοεῖν, ὅτι ὁ θεὸς τὸ ἀγαθὸν οὐ συμβεβηκότως ἔχει, καθάπερ τινὰ ποιότητα, ὡς ἡμεῖς τὰς ἀρετάς· ἀλλ' οὐσία τοῦ ἀγαθοῦ αὐτὸς ὁ θεὸς ὑπάρχων, ὥσπερ καὶ τὸ φῶς, οὐσία ἡλίου, καὶ ὡς αὐτὸ τὸ ἀγαθὸν ὢν ὁ θεὸς ἐκτείνει περὶ πάντας τὴν τῆς ἀγαθότητος αἴγλην, διὰ τοῦ ἐνεργῆσαι τοῖς φωτιζομένοις· ὅθεν φησὶ τὸ τοῦ ἡλίου παράδειγμα, ὡς σκοτεινὴν καὶ σχεδὸν ἀφανῆ εἰκόνα τοῦ παντελῶς ἀκοινωνήτου ἀρχετύπου ἔχει· εἰ γὰρ αἱ εἰκόνες ἀλήθειαν εἶχον,

Ministerio de Educación, Cultura y Deporte

οὐκέτι ἦσαν παραδείγματα, ἀλλ᾽ ἀρχέτυπα.

Αἱ νοηταὶ καὶ νοεραὶ) κατὰ κυριότητα ἕτερον ἐστὶ νοητὸν, καὶ ἕτερον νοερόν· τὸ γὰρ νοητὸν, τροφὴ οἷά τις τοῦ νοεροῦ ἐστὶν, εἴπερ τὸ νοούμενον ὅ ἐστι νοητὸν, μεῖζόν ἐστι καὶ προεπινοούμενον τοῦ νοοῦντος, ὅ ἐστι νοερόν. τὰ μὲν οὖν ὑποκείμενα καὶ προσεχῆ τῷ θεῷ τάγματα, νοητὰ κυρίως λεκτέον· τὰ δὲ ὑποβεβηκότα, νοερὰ, ἅτε νοοῦντα τὰ ὑποκείμενα. οὐχ ὅτι δὲ νοητά ἐστι τὰ νοούμενα, νομιστέον αὐτὰ μὴ νοεῖν· νοεῖ γὰρ καὶ αὐτὰ, ἐπειδὴ νόες εἰσὶ καὶ οὐσίαι, ζωῆς καὶ νοῦ ἀνωτάτου δημιουργηθεῖσαι, ἀλλὰ καὶ ἐνέργειαι ἐκεῖ ἐνυπόστατοί εἰσι καὶ οὐσίαι· πᾶσα γὰρ κίνησις καὶ ἠρεμία ἐκεῖ μέντοι ἐνυπόστατοί εἰσι, καὶ δυνάμεις ζῶσαι, καὶ τῶν ῥευστῶν καὶ σωματικῶν ἀλλοιώσεων ὑπέρτεραι· διὸ νοοῦνται μὲν, ὡς ἄϋλοι· νοοῦσι δὲ τὰ ὄντα, ὡς νόες ἀσώματοι καὶ ὑπερκόσμιοι ἄνωθεν ἐλλαμπόμενοι τοὺς περὶ τῶν ὄντων λόγους, καὶ διαβιβάζοντες αὐτοὺς μυστικῶς εἰς τοὺς ὑποβεβηκότας ἀγγέλους νοητῶς καὶ ἀποκαλυπτικῶς· δύναται δὲ καὶ ἄλλως νοῆσαι τὸ δυνάμεις καὶ ἐνέργειαι· δυνάμεις μὲν γὰρ, ὅτι καὶ μήπω τῶν ἐν τῇ κτίσει φανέντων δυνάμει, πάντα ἐν τῷ θεῷ προϋφεστήκει μέλλοντα παράγεσθαι δι᾽ αὐτοῦ εἰς τὸ εἶναι· ἐνέργειαι δὲ, ὅτι καὶ πρὸς ἔργον ἡ δημιουργία παρήχθη. σημείωσαι δὲ καὶ τὸ τῆς ῥευστῆς ἀλλοιώσεως ὡς ἡρμηνεύουσα, ἐπειδὴ τρεπτοὶ καὶ οἱ ἄγγελοι, κατὰ γνώμην δηλονότι, καὶ οὐκ οὐσίαν, ὡς μαρτυρεῖ ὁ διάβολος, καὶ τὸ τάγμα αὐτοῦ, πεσὼν ἐκ τοῦ οὐρανοῦ, ὡς καὶ ἐν τῷ Ἰὼβ ἔχομεν.

Φθορᾶς καὶ θανάτου) ταῦτα γὰρ σωματικὰ ἴδια.

Οἰκείως ἐλλάμπονται) ὅτι τὰ ἀσώματα καὶ οὐράνια νοοῦνται καὶ νοοῦσι.

Καὶ φρουρὰ καὶ ἑστία) μονὴ καὶ ἑστία ἐκ παραλλήλου ταὐτὸ σημαίνουσι. Φίλων ὁ Ἰουδαῖος ἐν τῷ περὶ τῆς φλογίνης ῥομ-

φαίας

φαίας καὶ τῶν χερουβὶμ λόγῳ φησὶν οὕτως· Ἡ δὲ μονὴ τῶν τοῦ κόσμου μερῶν ἑστῶσα παγίως, ἑστία πρὸς τῶν παλαιῶν εὐθυβόλως ὠνόμασται. τοῦτο δὲ καὶ αὐτῷ φησί, περὶ τὸ τέλος τοῦ πρώτου κεφαλαίου ἐν τῇ ἐκλη παραγραφῇ.

Ἐκεῖθεν αὐτοῖς) σημείωσαι τὰ περὶ τῶν ἀγγέλων, καὶ ὅτι τὰ ἄϋλα καὶ ἐν ἀλλήλοις χωρεῖ ἀσυγχύτως, καὶ ἀποχωρεῖ, καὶ οἱονεὶ βαθμοὶ καὶ τάξεις εἰσὶν πρῶται καὶ δεύτεραι· καὶ ὅτι οἱ θεῖοι νόες ἐκεῖ περὶ ἑαυτοὺς ἑλίσσονται, οὐχ ἕλιξιν τινὰ σωματικήν, ἀλλ' ὑπερκόσμιον καὶ νοεράν, καὶ οἵαν πέφυκε νοῦς ἑλίττεσθαι, ἐξ ἑαυτοῦ περιιὼν εἰς ἐπινοήσεις, καὶ εἰς ἑαυτὸν ἀνασκέφων, οὐ μὴν ἔξω ἑαυτοῦ χωρῶν σκεδασμοῖς καὶ μερισμοῖς. τοῦτο αἰνίττονται καὶ οἱ παρὰ τῷ θεσπεσίῳ Ἰεζεκιὴλ τροχοὶ πολυόμματοι· καὶ ὅτι περὶ τὸν θεὸν ἔρωτα ἐν ταὐτότητί ἐστι καὶ ἀκρότητι. ταὐτότητα δὲ νοητέον, τὴν ἀναπόστατον πρὸς θεὸν προσοχήν· ἀκρότητα δὲ, τὴν τῆς νοήσεως αὐτῶν καὶ οὐσίας ἤδη πως εἰς ἕνωσιν πρόοδον νόησον· καὶ τὰς ἑνώσεις δὲ, τὰς πρὸς ἀλλήλας τῶν νοητῶν, τὸν πρὸς ἀλλήλους θεοπρεπῆ νόησον ἔρωτα, ὃς θεῖος ὢν καὶ ἑνοποιὸς συνάπτει αὐτούς, οὐ σωρηδὸν συγκομίζων, ἀλλ' ἀγαπητῶς συνδεσμῶν. τῶν δὲ ὄντων καὶ τῶν νοητῶν, ὡς καὶ τῶν αἰσθητῶν ὁμωνύμως λεγομένων, τὰ μὲν ἐστιν ἡνωμένα καὶ ἀλληλουχούμενα· τὰ δὲ, διῃρημένα καὶ ἐν παραθέσει, οἷον σωρηδόν· καὶ νοητῶν μὲν ἡνωμένα, οἷον ζῶον, καὶ φῶς, καὶ νοητὸς κόσμος, καὶ ὅσα τοιαῦτα· διῃρημένα δὲ καὶ ἐν παραθέσει, οἷον στρατιά, τάξις, πατριά, χορός. ἐπὶ δὲ αἰσθητῶν, ἕνωσις, ζῶον, δένδρον, κόσμος· διαίρεσις δὲ, κατὰ σωρείαν, ποίμνη, δῆμος, σωρός, χορός.

Ἐν τῷ περὶ τῶν ἀγγελικῶν) ἰδοὺ ἄλλο πόνημα διονυσίου ζητεῖται, περὶ τῶν ἀγγελικῶν ἰδιοτήτων καὶ τάξεων.

Αἱ ἀγγελοπρεπεῖς) ἀγγελοπρεπεῖς καθάρσεις φησὶν,



Ministerio de Educación, Cultura y Deporte

δὲ τὴν ἡσαΐου, τὴν ἰεζεκιὴλ φαγόντος ἐν ἐκστάσει τὴν κεφαλίδα τοῦ βιβλίου. τελεσιουργίαν δὲ ἀγγέλων λέγει, ὡς ἐπὶ τοῦ δανιὴλ, καὶ τοῦ ἀγγέλου τοῦ ἑρμηνεύσαντος αὐτῷ, καὶ περὶ τοῦ ποιμένος τὸν ἑρμᾶν τελειώσαντος, ὡς ἐκεῖ ἀνέγνωμεν ἐν τῷ ποιμένι· ἀλλὰ καὶ αὐτοὶ οἱ ἄγγελοι πῶς καθαίρονται καὶ τελεσιουργοῦνται, φησὶν ἐν τῷ περὶ οὐρανίας ἱεραρχίας λόγῳ.

Καὶ εἶτ᾽ ἀγγέλοις) διὰ τί ἄγγελοι λέγονται· καὶ ὅτι καὶ αὐτοὶ φῶτα.

Αἱ ψυχαὶ) σημείωσαι, ὅτι αἱ ψυχαὶ ἄλλαι μετὰ τοὺς ἀγγέλους εἰσὶν ὑποβεβηκυῖαι αὐτῶν· καὶ ὅτι ἀθάνατοί εἰσιν, ἅτε κλιθεῖσαι οὐσιώδεις ζωαί· καὶ ὅτι διὰ τῶν ἀγγέλων αἱ ψυχαὶ χειραγωγοῦνται, αἱ ζωὴν ἀγγελικὴν ἐπιτηδεύουσαι· οὕτω καὶ ἐν τῷ ποιμένι ἀνέγνωμεν.

Ἀγαθαρχίαν) σημείωσαι, ὅτι ἐπὶ τὴν πάντων τῶν ἀγαθῶν ἀγαθαρχίαν ἀνάγονται αἱ τῶν δικαίων ψυχαὶ, ἤγουν ἐπὶ τὸν θεὸν· καὶ ἐν μετουσίᾳ τῶν ἐλλάμψεων αὐτοῦ γινόμεναι, πεπαρρησιασμένως πρεσβεύουσιν.

Ἐν τοῖς περὶ ψυχῆς) ζήτει τὰ περὶ ψυχῆς.

Ἀλόγων ψυχῶν) ἀλόγων ψυχῶν καὶ αἰσθητικῶν φησί· καὶ σημείωσαι, ὅτι ἄλλο ψυχὴ, καὶ ἄλλο ζωή.

Ἀμφιβίως λαχόντα) τὰ ἑρπετὰ λέγει ἀμφιβίως λαχόντα, ὡς βάτραχοι, καὶ ὀκτάποδες. ἐγκεχωσμένα δὲ, ὡς ἀσπάλακες, καὶ ὅσα τοιαῦτα. σημείωσαι δὲ, ὅτι αἱ ψυχαὶ ἄλλαι εἰσὶ μετὰ τοὺς ἀγγέλους ὑποβεβηκυῖαι αὐτῶν· καὶ ὅτι ἀθάνατοί εἰσιν, ἅτε κλιθεῖσαι οὐσιώδεις ζωαί· καὶ ὅτι διὰ τῶν ἀγγέλων αἱ ψυχαὶ χειραγωγοῦνται, αἱ ζωὴν ἀγγελικὴν ἐπιτηδεύουσαι, καθὰ καὶ ἀνωτέρω λέλεκται.

Δι᾽ αὐτὸ τῆς οὐσιώδους ἕξεως) καὶ ἤδη ἄνω εἴπομεν, ὅτι ἕξις ἐστὶ ποιότης ἔμμονος. ὅσα οὖν ἐστιν ἄζωα καὶ ἄψυχα,

Ministerio de Educación, Cultura y Deporte

διὰ τὴν ἀγαθότητα τοῦ θεοῦ οὕτω παρήχθη, πεποιωμένα ἑκτικῶς, οἷον λίθοι διάφοροι, καὶ γῆ, καὶ τὰ μεταλλικὰ περί τι χρήσιμον ποιωθέντα, καὶ ὅσα περὶ τὴν ἰατρικὴν καὶ τὴν ἡμῶν χρῆσιν. ταῦτα οὖν οὐκ ἔξωθεν τὴν ἕξιν κτῶνται, ἀλλ' ἐν τῇ οὐσίᾳ καὶ τὴν τῆς ἕξεως ποιότητα θεόθεν ἔλαχον.

Εἰ δὲ καὶ ὑπὲρ πάντα) ὅρα πῶς αἱ στερήσεις ἐπὶ θεοῦ ὑπερβολαί εἰσι θέσεων δραστήριοι, καὶ ὡς ἀνείδεος, ἀνούσιος, ἄζωος, ἄνους· ταῦτα γὰρ ἔννοιαν ἔχοντα τοῦ μὴ ὄντος, ὅμως ἐν τῷ θεῷ τῷ ὑπερουσίως ὄντι κατὰ τὴν ἀφαίρεσιν ἁπάντων· οὐδὲν γάρ ἐστι τῶν ὄντων· ὑπεροχικῶς νοοῦνται. ἐν δὲ τοῖς ἑξῆς, τελειότερον αὐτὸ σαφηνίζει.

Καὶ αὐτὸ τὸ μὴ ὄν) πῶς τὸ μὴ ὂν ἐφίεται τοῦ ἀγαθοῦ· εἰ γὰρ μή ἐστιν αὐτό, πῶς ἐφίεται· λέγομεν, ὅτι τὸ μὴ ὂν ἐνόησεν εἶναι τὸ κακόν, ὡς κάτω ἀποδείκνυει ὅτι καὶ αὐτὸ τὸ λεγόμενον κακόν, τοῦ ἀγαθοῦ ἕνεκα γίνεται.

Καὶ τῶν οὐρανίων) τὸ αἴτιον τῶν οὐρανίων ἀρχῶν καὶ ὑποπερατώσεων φησὶν εἶναι τὴν ἀγαθότητα τοῦ θεοῦ· καὶ ταῦτα γὰρ δι' ἀγαθότητος ὑπερβολὴν παρήγαγεν ὁ θεός. ἀρχὰς δὲ οὐρανίας καὶ ὑποπερατώσεις νοητέον, τὴν ὡς ἐκ σημείου, ἤτοι κέντρου, τοῦ θελήματος τοῦ θεοῦ κυκλικῶς ὑποστᾶσαν τῶν οὐρανῶν σφαιροειδῆ δημιουργίαν· τὸ γὰρ κυκλικὸν σχῆμα ἀρχόμενον ἐξ ἑαυτοῦ, εἰς ἑαυτὸ περατοῦται· τὴν δὲ οὐρανίαν οὐσίαν ἀναυξῆ καὶ ἀμείωτον φησίν, ὡς τελείως ἔχουσαν καὶ αὐτάρκως πρὸς ὃ γέγονε· διὸ καὶ ἀλλοίωτον αὐτὴν λέγει, ἐξ οὗ γέγονεν, οὐ παρατραπεῖσαν. τέλειον δέ ἐστιν, ὃ μήτε αὔξει, μήτε μειοῦται. ὑποπερατώσεις δὲ αὐτὰ κέκληκε, καὶ οὐκ ἀποπερατώσεις, διὰ τὸ σφαιρικὴν μὲν εἶναι τὴν κίνησιν· οὐ κυρίως δὲ πέρας ἔχειν, ἀλλ' οἱονεὶ πέρας τὴν ἐπὶ τὸ αὐτό, ὥσπερ ἀπὸ τινὸς ἀρχῆς ἐπί τι, οἷον πέρας φέρεσθαι τυχὸν ἀνατολήν. ση-



Ministerio de Educación, Cultura y Deporte

μείωσαι δὲ, ὅτι καὶ κινεῖσθαι ἀψόφως φησὶ καὶ ἀνεπαισθήτως τὸν οὐρανόν. τὸ δ' ἄλλων ἀστέρων μεταβατικῆς πολυκινησίας, περὶ τῶν πλανήτων φησί. σημείωσαι δὲ καὶ τοῦτο, ὅτι αὐτοὺς μόνους ἐδέξατο κινεῖσθαι. σημείωσαι δὲ, τὸ πόθεν αἱ χρονικαὶ ἀριθμήσεις.

Ἀφορίζουσι) πλέως ὁρίζουσιν.

Ἐπέκεινα θεότητος) τοῦτο καὶ ἐν τοῖς ἄνω παρέγραψα, ὅτι καὶ ἐν τοῖς πᾶσιν ὁ θεὸς, καὶ οὐδὲν τῶν ἁπάντων. ἐνταῦθα δὲ, τὸ πλέον φησὶν, ὅτι καὶ ἔτι ὑπὲρ πάσας τὰς οὐσίας ἐστὶν, ὅπερ λέγει κατωτέρω, ὅτι καὶ τῶν μὴ ὄντων ἐστὶ πληρωτικός. ὅρα δὲ πῶς λέγει μήτε τῶν ἄνω φθανουσῶν αὐτῆς τὴν ὑπεροχὴν, μήτε τῶν κάτω, ταύτην διαβαινουσῶν, τουτέστιν, οὔτε ἀρχὴν, οὔτε πέρας ἔχει τὸ θεῖον τῶν οὐρανίων καὶ ὑπερτέρων δυνάμεων ταύτην μὴ καταλαβουσῶν, οὐχ ὅτι, ἐστὶ μὲν, οὐ κατελήφθη δὲ· μὴ ὑπονοήσῃς· ἀλλ' ὅτι αὐτὸ οὔτε ἐστί· τοῦτο γάρ ἐστιν, ἡ ἐν ἀγνωσίᾳ γνῶσις· ὑπέρτεροι γὰρ γινόμενοι, καὶ διὰ φιλοθείας ἑνωθέντες ταῖς ἄνω δυνάμεσι, γινώσκομεν ὅτι μετὰ πάντων τὴν θείαν ἀγνοοῦμεν φύσιν.

Καὶ φωτίζει) τουτέστι τὰ χωροῦντα τὴν ὁλότητα αὐτοῦ πρὸς τὸ μέτρον, ὃ χωροῦσι. διὸ καὶ μέτρον εἶναι λέγεται τῶν ὄντων· ἢ ὅτι τὴν ἀρχὴν καὶ τὸ πέρας ἁπάντων ἐπίσταται, ὡς μόνος δημιουργός· ἑαυτὸν γὰρ παρακατιὼν ἑρμηνεύει.

Καὶ τάξις) τάξις διὰ τοῦτο λέγεται ὁ θεὸς, ἢ ἐπειδὴ μετ' εὐταξίας τὰ πάντα ἐδημιούργησεν· ἢ ὅτι πίστει παρὰ τῶν εἰς αὐτὸν φοιτώντων χωρεῖται, μήτε τῷ πληθυσμῷ τοὺς ἀσθενεστέρους καταβαπτίζων, μήτε τῇ συγκαταβάσει ἐπὶ τὸ ἔλαττον παρὰ τῶν ἀνωτέρων χωρούμενος, ἀλλὰ πρὸς τὸ ἑκάστου ἀγγεῖον οὕτως ἐν ἑκάστοις πηγάζων τὴν ἀγαθότητα.

Κατὰ πολλοστὸν ἀπήχημα) ὥσπερ ὁ αἰσθητὸς ἥλιος πάντα

Ministerio de Educación, Cultura y Deporte

τὰ ὁρατὰ φωτίζει, καὶ τὰ μὴ μετέχοντα τοῦ φωτὸς αὐτοῦ δι' οἰκείαν ἀσθένειαν οὐ μετέχει· οὕτω καὶ ἐπὶ τοῦ θεοῦ, πάντες παρ' αὐτοῦ ἀγιάζονται ὅσοι βούλονται. καλῶς δὲ τὸ ἀπεμφαῖνον τῶν ἐπὶ τῷ ἡλίῳ λεγομένων, εὐθὺς ἐθεράπευσεν ὁ θεῖος Διονύσιος· ἐπειδὴ γὰρ ἐμφανῆ εἰκόνα τῆς ἀγαθότητος τοῦ θεοῦ, τὸν ἥλιον εἶπε τὸν ἄψυχον, τὸ δημιούργημα τοῦ δημιουργοῦ καλέσας εἰκόνα, πρῶτον μὲν παράχρημα ἐπήγαγε, κατὰ πολλοστὸν ἀπήχημα. ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ, πλεώτερον αὐτὸ σαφηνίζει. τί δέ ἐστι πολλοστὸν ἀπήχημα, λεκτέον· ὥσπερ γὰρ εἴ τις μέγα βοήσας καὶ ἀνακράξας εἴποι τι· καὶ οἱ μὲν παρεστῶτες ἐρρωμένοι τὰς ἀκοὰς, καὶ τῆς βοῆς καὶ τοῦ λεχθέντος ἀκούουσιν· οἱ δὲ βραχὺ ἀφεστῶτες, ὅσον ἀπέχουσι, τοσοῦτον ἀσθενέστερον τοῦ φθέγματος ἀκροῶνται· οἱ δὲ ἐπὶ μεῖζον διάστημα κεχωρισμένοι, πολλοστόν τι μέρος καὶ ἀμυδρότατον τοῦ ἀπηχήματος λαμβάνουσιν, ὡς φωνῆς μὲν ἀσήμου τινὸς ἀκοῦσαι, μὴ νοῆσαι δὲ τὸ ἐκφωνηθέν. τοσοῦτον ἐστὶν ὑπολαβεῖν τὸ ἡλιακὸν φῶς τῷ ἀληθινῷ, ὡς καὶ ἀσύμβλητον εἶναι τὸ μέσον.

Ἀλλὰ καὶ πρὸς τὴν γένεσιν) μὴ νομίσῃς τὸν ἥλιον γενέσεως, ἢ ζωῆς, ἢ τροφῆς, ἢ αὐξήσεως, ἢ τελειότητος αἴτιον εἶναι τῶν ὄντων τινός· ὥσπερ οὐδὲ ἄλλο τι στοιχεῖον, εἰ καὶ σφόδρα τύχοι τῶν ἀναγκαίων, οἷον τὸ ὕδωρ· δυνατὸν γὰρ ἡμᾶς διαγενέσθαι, καὶ ἡλίου χωρὶς, καὶ ὕδατος, εἰ καὶ μὴ τελείως, ἀλλ' οὖν ἱκανὸν χρόνον· ἀλλ' εἰδὼς ὁ θεὸς, ὅτι τὸ μὲν ψυχρὸν, ἄγονον παντελῶς· τὸ δὲ μεμετρημένως θερμὸν, γενεσιουργεῖ. καὶ ὅτι τὰ φυτὰ καὶ τὰ σπέρματα θερμότητος δεῖται, ὡς καὶ τὰ σώματα πάντα τὰ ζωὴν ἔχοντα, εἴτε αἰσθητικὴν, εἴτε φυτικήν· καθαίρονται δὲ πολλὰ, ὡς καὶ εἰς λευκότητα φέρεσθαι, ὡς ἐσθῆτες καὶ ἄλλα· ἀνανεοῖ δὲ καὶ τὰ ψυχθέντα σπέρματα· τούτου χάριν τὸν ἥλιον οὕτως ἔχειν φύσεως ἐποίησεν, ἵνα τὰ εἰρημένα πάντα



Ministerio de Educación, Cultura y Deporte

ποιῇ ἐκ τοῦ δημιουργοῦ, τὸ δύνασθαι λαβὼν οὐκ ἐκ προαιρέσεως ἰδίας, ἢ δυνάμεως. τοῦτο τελείως φησὶν ὁ ἅγιος διονύσιος, ἑαυτὸν ὥσπερ ἐπεξηγούμενος κατωτέρω ἐν τῷ τέλει τοῦ πέμπτου κεφαλαίου, καὶ ἐν τῷ τέλει τοῦ ἕκτου, νόει ἀσφαλῶς, καὶ μὴ διαστρέφου.

Μέτρον ἐστὶ) μέτρον διὰ τοῦτο λέγεται ὁ ἥλιος καὶ ἀριθμὸς ὡρῶν, ἐπειδὴ τῆς ἡμέρας ἀρχή. ἡ δὲ ἡμέρα ἀνακυκλουμένη, τὸν χρόνον ποιεῖ. διὰ τοῦτο μέτρον ἐκλήθη, οἷα τὴν ἡμετέραν μετρῶν ζωήν· λέγει γὰρ παντὸς τοῦ καθ᾽ ἡμᾶς χρόνου.

Αὐτὸ γάρ ἐστι τὸ φῶς) σημείωσαι, ὅτι ὁ ἥλιος καὶ τὰς τρεῖς ἡμέρας τὰς πρὸ τῆς αὐτοῦ ποιήσεως ἐφώτιζεν ἀσχημάτιστος ὢν· καὶ ὅτι τὸ πρωτόκλιτον φῶς τῇ τετάρτῃ ἡμέρα μετεσχηματίσθη εἰς ἥλιον· καὶ ὅτι ἡμερῶν τριάδα φησὶν, ὡς καὶ ὁ μέγας βασίλειος ἐν τῇ ἑξαημέρῳ σαφῶς φησίν· ἐκεῖνο δὲ μὴ παραδράμῃς, ὅτι τὰ προειρημένα, οὐ περὶ τοῦ ἡλίου, ἀλλὰ περὶ τοῦ σχηματισθέντος εἰς ἥλιον πρωτοκλίτου φωτὸς ἐρρήθη.

Ὡς ἐναρχικὴ) τουτέστιν ἀρχὴ καὶ αἰτία τῆς πρὸς τὸ ὄντως ἑνώσεως ἢ ὁμοιώσεως.

Καὶ οὗ ἐφίεται πάντα) ὅρα πῶς διαιρεῖ τὰ ὄντα πάντα, καὶ περὶ τὸν πάντων ὄντα βασιλέα, οὗ καὶ τὰ ὄντα ἐφίεται πάντα. φησὶν οὖν πρότερον νοερά, εἶτα λογικά. νοερὰ οὖν εἰσὶ, τὰ μὴ μεμιγμένα σώμασιν, οἷον αἱ ὑπερκόσμιοι δυνάμεις πᾶσαι· λογικὰ δὲ, αἱ ἀνθρώπιναι ψυχαὶ, αἱ τὴν σχέσιν ἔχουσαι πρὸς τὸ σῶμα, καθὼς ἐστὶν ὁ αἰσθητὸς ἄνθρωπος· εἰ γὰρ ὁ ἔσω ἄνθρωπος μόνον ἐνεργεῖν κατὰ τὸν ἀπόστολον, τουτέστιν ἡ ψυχὴ, μὴ τὴν πᾶσαν ἔχουσα σχέσιν πρὸς σῶμα, τότε νοερὸς ὁ ἄνθρωπος. οὐ μὴν λογικῶς καλοῖτο ἂν κατὰ τὸ πᾶν ζῶον τὸ ἐκ σώματος καὶ λογικῆς ψυχῆς συνεστώς· γνωστικῶς δὲ φησὶ τὰ νοερὰ καὶ λογικὰ ἐφίεσθαι τοῦ θεοῦ, ὡς φύσει προσιούσης

Ministerio de Educación, Cultura y Deporte

αὐτοῖς τῆς ὀρέξεως ταύτης, τοῦ γνῶναι τὸν τῶν πάντων βασιλέα, καὶ μετέχειν τῆς ἀγαθότητος αὐτοῦ, διὰ τὸ εἶναι τὴν ψυχὴν γνωστικὴν, καὶ λογικήν. καλῶς λέγεται, καὶ ἡ ἔφεσις τοῦ ἀγαθοῦ. τὰ δὲ ἄλογα ζῶα, κατ᾽ αὐτὴν τὴν αἰσθητικὴν δύναμιν, ζωῆς ἐφίεται· διὸ καὶ τοῦ ἀγαθοῦ· τὰ δὲ ἀναίσθητα, οἷον τὰ φυτὰ καὶ τὰ ἄψυχα καὶ ἄζωα, ἐφίεται μὲν φυσικῶς τοῦ ἀγαθοῦ, οὐ μὴν ἵνα καὶ γνῷ αὐτὸ, ἀλλ᾽ ἵνα μείνῃ, ὅπερ ἐστὶ μόνον τῇ φυσικῇ ἐφέσει συνεχόμενα παρὰ τοῦ ἀγαθοῦ εἰς τὸ εἶναι αὐτά.

Πάντα ἀολλῆ ποιεῖ) ἀολλῆ συνηθροισμένα. ὅτι ὁ ἥλιος λέγεται παρὰ τὸ ἀολλῆ ποιεῖν καὶ συνάγειν τὰ διεσκεδασμένα, καὶ ὅτι ἀναιρεῖ τὸ εἶναι θεὸν τὸν ἥλιον, εἰ καὶ πολλὰ εἴπομεν τῶν δυσχερῶς διαστρεφομένης δοκοῦντα ἐναντία εἶναι.

Κατὰ τὸν τῆς παλαιότητος) κατὰ τὸν τῆς παλαιότητος λόγον, ἢ ὅτι Ἕλληνες ὑπῆρχον, καὶ ὁ θεῖος Διονύσιος, καὶ ὁ θεῖος Τιμόθεος, ὡς ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων δηλοῦται· ἢ τὸν μωρὸν τῶν Ἑλλήνων λόγον φησί· παλαιὸν γὰρ καὶ ἀρχαῖον τὸν ἥλιον ἔλεγον, ὡς ἐν τῇ κωμῳδίᾳ εἴρηται.

Ἀνακαθαίρειν) εἴρηται γὰρ, Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Ὅτι ἠγάπησαν πολὺ) τῷ γὰρ ἀγαπῶντι πολὺ, πολὺ καὶ δοθήσεται· τῷ δὲ ἔλαττον, πρὸς τὸ μέτρον τῆς ἀγάπης· ὅπερ λέγει αὐτῷ, ὅτι τάξις καὶ μέτρον ἡμῶν ἐστὶν ὁ θεός.

Καὶ ὑπερκόσμιον) τὸ ὑπερκόσμιον εἰρῆσθαι νοῶ, ὡς τινῶν μὲν ὑπὲρ τοὺς πάντας κόσμους ὄντων νόων ἁγίων ἀνωτάτω, τάξεων ἀγγελικῶν· τινῶν δὲ ἐπικοσμίων, τουτέστι τῶν ἐπὶ τῇ λειτουργίᾳ τῶν κόσμων, εἰς διοίκησιν αὐτῶν τεταγμένων τῶν παρὰ τισὶ καὶ κοσμαγωγῶν λεγομένων· τινῶν δὲ ἐγκοσμίων νόων ὄντων, ἀνθρώπων τε καὶ ἀγγέλων, ἐθναρχῶν τε καὶ πλιν-



Ministerio de Educación, Cultura y Deporte

χων· καὶ ἐπὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἁγίων, ὡς ἐν τῇ ἀποκαλύψει φησὶν ὁ θεῖος ἰωάννης, καὶ ἐπὶ τῶν ἑτέρων κοσμικῶν διατάξεων· καὶ ὁ ψαλμῳδὸς δέ φησι, Παρεμβαλεῖ ἄγγελος κυρίου. ὑπερκόσμιός ἐστιν, ὁ πνευματικός· περικόσμιος, ὁ ψυχικός· ἐγκόσμιος, ὁ σαρκικός. Ἄλλως. ὑπερκόσμιός ἐστιν, ὁ καὶ τὴν θεολογίαν κατορθώσας· περικόσμιος, ὁ τὴν φυσικὴν θεωρίαν· ἐγκόσμιος, ὁ τὴν πρακτικὴν ἀρετήν.

Πάντα συνάγουσα) ὁμοῦ πάντα ποιοῦσα, καὶ θάλπουσα, καὶ αὔξουσα, καὶ μεταποιοῦσα.

Διαιρετική) διαιρεῖ γὰρ ἀπὸ τοῦ θεοῦ ἡ ἄγνοια, ὡς μᾶλλον τὸ φῶς συνάγει, καὶ ἀολλῆ ποιεῖ, ὡς ἔφη ἄνω.

Δοξασμάτων) τῶν εἰδώλων, καὶ τῆς αὐτῶν πολυθεΐας.

Φαντασίας) φαντασίας φησὶ, τὰς πλασματώδεις ἐννοίας περὶ τὰ αἰσθητὰ, ἢ ὡς αἰσθητά.

Καὶ ὡς καλὸν) καλὸς μὲν εἴρηται ὁ θεὸς καὶ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων, ὥσπερ οὖν καὶ κάλλος λέγεται. καὶ ὁ δαβίδ, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. λέγεται δὲ καλὸν, καὶ τὸ κάλλους μετέχον. καὶ σημείωσαι πῶς διαιρεῖται τὸ καλὸν καὶ τὸ κάλλος ἐπὶ τῶν ὄντων, εἰς μετέχοντα καὶ εἰς μετεχόμενα· ἐπὶ δὲ τοῦ θεοῦ, οὐχ οὕτως· κάλλος μὲν γὰρ λέγεται, διὰ τὴν ἐξ ἑαυτοῦ διαδιδομένην πᾶσι καλλονὴν, καὶ ὅτι πάντα πρὸς ἑαυτὸ καλεῖ· καλὸν δὲ, ὡς ἀεὶ ὂν καὶ μηδέποτε μειούμενον ἢ αὖξον.

Μεθ᾽ ἑαυτοῦ μονοειδὲς) μονοειδὲς καλόν ἐστιν ὁ θεὸς, ἐπεὶ μήτε σκεδάννυται εἰς ἕξεις καὶ διαφορὰς καλλοποιοὺς, μήτε, πρὸς ἐνίους μὲν τὸ καλὸν κέκληται· πρὸς ἐνίους δὲ, οὔ· ἀλλ᾽ ἀτρέπτως αὐτὸ τὸ καλὸν ἀνάρχως καὶ ἀπολύτως, ἀνεπιτηδεύτως, καὶ ὡσαύτως ἀεὶ ἐστὶ καὶ διὰ τοῦτο προέχειν ἐν ἑαυτῷ λέγεται τὴν καλλονὴν, ὡς καὶ περὶ τῶν δημιουργημάτων πηγή.

Ministerio de Educación, Cultura y Deporte

καὶ ἀρχὴ, καὶ αἴτιον ὂν τοῦ καλοῦ· ὅθεν καὶ ὑπεροχικῶς ἔχει τὸ καλόν· καὶ γὰρ πολλὰ καλά, ἀλλ' ἐξ αὐτοῦ εἰσὶ καλά, καὶ οὐδὲ κατ' αὐτὸν καλά. πόθεν. ὅς γε ἀναιτίως καλὸν, αὐτὰ δὲ αἰτιατῶς καὶ κατὰ μετοχήν· ἑνοειδῶς γὰρ ἐστὶ καλὸν ὁ θεός, ἐπεὶ ἐξ αὐτοῦ τὰ μετ' αὐτὸν καλὰ, καὶ ὡς ἐν ποιότητι κεκλημένα τὸ καλόν.

Ἐκ δὲ καλοῦ τούτου) τὸ, Ἰδοὺ πάντα καλὰ λίαν, καὶ τὸ κατὰ τὸν Ζαχαρίαν, πᾶν, εἴ τι καλὸν αὐτοῦ, ἐκεῖθεν ἐκ τοῦ ἀναιτίου καλοῦ γέγονε· διὰ γὰρ τὸ καλόν, αἱ τῶν στοιχείων γεγόνασιν ἀλληλουχίαι, ἃς ἐφαρμογὰς φησί. καὶ αἱ τῶν ὄντων εὔτακτοι συνδέσεις διαρκοῦσι, λεγόμεναι φιλίαι καὶ κοινωνίαι πάντων ἐναρέτων λογικῶν, αἱ πρὸς θεόν που διαμονήσεις, ὡς ἡ τῶν πρωτοτόκων ἐκκλησία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ἐπὶ δὲ τῶν ἀλόγων, αἱ ἀγελαῖαι συνδιαγωγαί· ἐπὶ δὲ τῶν ἀψύχων, αἱ πρὸς ἄλληλα ἑκτικαὶ συμπάθειαι. πάντα οὖν ἥνωται τῷ καλῷ, τῇ μεθέξει πρὸς τὸν αἴτιον ἐπεστραμμένα.

Καὶ πέρας πάντων) πέρας πάντων λέγεται ὁ θεός, καὶ ὡς συνέχων πάντα, καὶ ὡς πάντων εἰς ἀσφάλειαν περιδεδραγμένος, καὶ ὡς αὐτοῦ γε ἕνεκα πάντων εἰς τὸ εἶναι παραχθέντων, καὶ ἑτέρου τινὸς εἰς τὸ τετελέσθαι οὐ δεομένων· ὅθεν ὡς ἀρχὴ πάντων, ἅτε αἴτιος, λέγεται. οὕτω καὶ μέσον, ὡς τὴν εἰς τὸ συνεστάναι παράτασιν διδούς· καὶ τελευτὴ, ὡς ἐν τῷ θελήματι αὐτοῦ περατουμένων τῶν ὄντων, ἐφ' ὃν καὶ ἐπέσχαται, καθὸ καὶ τελικὸν αὐτὸν φησὶν, ὡς ἀρχὴν ὄντα καὶ τέλος, κατὰ τὸν θεολόγον Ἰωάννην ἐν ἀποκαλύψει. καὶ παραδειγματικὸν, ὡς πάντων τῶν ἐσομένων τοὺς προορισμοὺς ἐν ἑαυτῷ προειληφότα, καὶ πρὶν ἢ παραγαγεῖν, ὡς φησὶν ὁ ἀπόστολος, Οὓς καὶ προώρισε, καὶ τὰ ἑξῆς· ταῦτα γὰρ ὁ ἅγιος Διονύσιος παραδείγματα ἐνόησε, τὸ προωρίσθαι ἐν ἑαυτῷ προγνωστικῶς τὰ

Ministerio de Educación, Cultura y Deporte

ἐσόμενα, καὶ πρὶν παραχθῆ, τουτέστι πρὶν ἀφορισθῇ καὶ διακριθῇ διὰ τῆς περιεχούσης τὰ πάντα ἑνιαίας προγνώσεως τοῦ θεοῦ. ταῦτα εὑρήσεις καὶ ἐν τῷ ἑξῆς πέμπτῳ κεφαλαίῳ. σημείωσαι δὲ, ὅτι ταὐτὸν εἶναι φησὶ τῷ ἀγαθῷ τὸ καλόν.

Ὅτι καὶ τὸ μὴ ὂν) πῶς δύναται τὸ μὴ ὂν μετέχειν τοῦ ἀγαθοῦ· εἰ γὰρ μὴ ὑπέστι αὐτῷ, οὔτε ἔφεσιν ἔχει, οὔτε μετοχὴν πρός τι τῶν ὄντων. λεκτέον οὖν, ὅτι τὸ μὴ ὂν διαφόρως νοεῖ ὁ θεῖος οὗτος ἀνήρ· ποτὲ μὲν γὰρ αὐτὸ τὸ θεῖον οὕτω καλεῖ, ὡς μηδὲν ὂν τῶν ὄντων· ποτὲ δὲ, τὴν ὕλην. ἔστι δὲ ὅτε καὶ τὸ κακὸν οὕτω καλεῖ κατὰ διαφόρους ἐννοίας. ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ ὕλη μετέχει τοῦ ἀγαθοῦ, καθὸ μεταβάλλεται εἰς εἶδος, καὶ ἀπαλλάττεται τῆς περὶ αὐτὴν ἀμορφίας· ἢ ὅτι τὸ κακὸν μετέχει τοῦ ἀγαθοῦ, καθὸ προαιρέσει καλῇ καὶ αὐτὸ τὸ δοκοῦν θέλει κακὸν εἶναι, καὶ ὅτι ἀεὶ βούλεται εἶναι τὸ κακόν. πᾶν δὲ τοῦ εἶναι ἐφιέμενον, τοῦ ἀγαθοῦ ἐφίεται· ἀνωτέρω δὲ περὶ δύο φύλλων, τὸν θεὸν φησὶ καὶ ὑπὲρ τὰ ὄντα εἶναι. οὐκοῦν καλῶς ἂν εἴποι τις τὸ τὸν θεὸν ὑπὲρ τὰ ὄντα εἶναι, καὶ τὸ μὴ ὂν μετέχειν τοῦ ἀγαθοῦ, ὡς καὶ ὑπὲρ τὰ ὄντα ὄντος, καὶ μηδὲν ὄντος τῶν ὄντων. σημείωσαι ἀναγκαῖον, πῶς φησι, τὸ μὴ ὂν εὑρίσκεται καλὸν καὶ ἀγαθὸν, ὅτε περὶ θεοῦ λέγεται· ὁ γὰρ θεὸς καὶ ὂν λέγεται, καὶ μὴ ὂν, ὡς οὐδὲν ὂν τῶν ὄντων, ἀλλ᾽ ὑπερῃρημένος ἀγνώστως τῶν ἀπάντων· οὐ γάρ ἐστί τι τὸ γινώσκον κατὰ τί οὐδέν ἐστιν ὁ θεός.

Αἱ οὐσιώδεις ὑπάρξεις) καλῶς τὸ οὐσιώδεις ὑπάρξεις καθ᾽ ἑαυτὰς αἱ ὕπεραι τῶν οὐσιῶν εἰσί· νῦν δὲ ἐπειδὴ περὶ τῶν κτιστῶν φησιν, εἰκότως ταῖς ὑπάρξεσι προσέθηκε τὸ οὐσιώδεις. ἑνώσεις δὲ λέγονται, οὐχ ὅτι συνέκειντο φυρηδὸν ἔν τι ἀποτελοῦντα, ἀλλ᾽ ὅτι πηγὴ αὐτῶν καὶ ἀρχὴ ἦν ὁ θεὸς, καὶ ἐξ αὐτοῦ παρήχθησαν ἐν ἀμφάντα καὶ ὑποστάντα καθ᾽ ὑπόβασιν ἅπαντα τὰ ὄντα, ὡς καὶ εἰς διακρίσεις ὑποστάσεων φαίνεσθαι.

Ministerio de Educación, Cultura y Deporte

ταυτότητες δὲ εἰσὶν αἱ ἀναγωγοὶ καὶ ἑνωτικαὶ πρὸς θεὸν δυνάμεις τῶν νοητῶν, ὡς καὶ ὁμοιότητες· ἐπειδὴ καὶ ἐξ αὐτοῦ εἰσὶ καὶ προσεχεῖς αὐτῷ. ἑτερότητες δὲ καθὸ καταγωγὸς οὖσα ἡ ἑτερότης, καὶ μεριστὴ, ἐν ταῖς ὑποβεβηκυίαις καὶ ἐσχάταις προόδοις τοῦ θείου θελήματος εἰς ὁρατὰ ἐπληθύνθη. ἀνομοιότητες δὲ πάλιν, ἐπειδὴ τὸ γινόμενον ἕτερον ἂν εἴη τοῦ δημιουργήσαντος κατὰ πάντα, καὶ οὐκ ἐμφερές. κοινωνίαι δὲ, τῶν ἐναντίων αἱ τῶν στοιχείων εἰσὶ κράσεις· ἐκ γὰρ τῶν τεσσάρων στοιχείων εἰσὶ τὰ σώματα πάντα. ἀλληλουχίαι δὲ, τῶν ὁμοστοίχων εἰσὶν αἱ τῶν κόσμων, τοῦ τε ὁρατοῦ καὶ τοῦ νοητοῦ, καθ' ὑπόβασιν κατατάξεις, ἐκ μιᾶς οὐσίας τῆς ὕλης εἰς σώματα πληθυνθεῖσαι στερεωμάτων, καὶ οἱονεὶ σειραὶ, ἀλλήλων ἐχόμεναι. ἐκ τούτων νοήσεις καὶ τὰ ἑξῆς. ἀσυμμιξίαι δὲ, τῶν ἡνωμένων εἰσὶν, ὡς ἐπὶ τῆς τοῦ ἀνθρώπου φύσεως κοινότητος, καὶ τῆς καθ' ἕκαστον ἄνθρωπον ἰδιότητος· τῷ μὲν γὰρ κοινῷ τῆς οὐσίας λόγῳ πάντες ἡνώμεθα· τῇ δὲ καθ' ἕκαστον ἰδιότητι, τὸ ἀσύμμικτον ἔχομεν.

Αἱ στάσεις πᾶσαι) στάσεις καὶ κινήσεις λέγει τρεῖς, ἃς καὶ καταλέγει, νόων, καὶ ψυχῶν, καὶ σωμάτων. δεῖ τούτων προσφόρως νοεῖν. οἱ μὲν οὖν νόες ἵστανται καὶ κινοῦνται ὡς ἡσαΐας φησὶ, καὶ ἰεζεκιὴλ περὶ τῶν σεραφὶμ καὶ χερουβίμ· ἐπειδὴ αὐτοί εἰσιν οἱ ἀναβαίνοντες καὶ καταβαίνοντες ὡς φησὶ μωϋσῆς· τὸ μὲν γὰρ ἐπεστράφθαι ἀλήκτως ἐπὶ τὸν θεὸν, καὶ ἱδρύσθαι ἐν τῇ πρὸς αὐτὸν ἀνατάσει, καὶ ἀποστέλλοιντο καὶ καταβαίνοιεν ἐπὶ τὰ ὑποβεβηκότα, προνοίας χάριν τῶν ὠφεληθησομένων, τοῦτο ἐστὶ τὸ ἑστάναι βεβαίως ἐν τῇ πρὸς θεὸν ἐγγίσει, καὶ κινεῖσθαι εἰς τὰς περὶ τοὺς εὐεργετουμένους διακονίας. κινοῦνται δὲ καὶ ἐν τῷ νοεῖν τὰ ὑποβεβηκότα, καὶ ἑστᾶσιν ἐν τῷ νοεῖσθαι παρὰ τῶν καταδεεστέρων, ὡς νοητά, μένοντα ἐν τῇ οἰκείᾳ ταυτότη-

πη· φρουραὶ γάρ εἰσιν ἑαυτῶν καὶ μοναί· καὶ εἰς ἑαυτὰ οἰκειοῦνται, καὶ ἐφ' ἑαυτὰ συνεστραμμένα καὶ ἀσκέδαστα ἐπὶ τὰ ἀγλότερα τῆς θεοσεβείας. καὶ γοῦν πάντα τὰ καταδεέστερα ἐπέστραπται ἐπὶ τὰ ὑπερβεβηκότα. αἱ δὲ κινήσεις τῶν νόων καὶ ψυχῶν τροχοειδεῖς εἰσὶ καὶ κυκλικαί, ὡς καὶ Ἰεζεκιὴλ φησίν, ἐπείπερ ἐξ ἑαυτῶν προΐασι καὶ εἰς ἑαυτὰ ἐπαναστρέφουσιν ἀεὶ προόδευτα ἑαυτῶν. καὶ ταῦτα μὲν, ἐπὶ τῶν ἀσωμάτων· στάσις δὲ καὶ κίνησις, ἐπὶ τῶν σωμάτων νοηθήσεται, μενούσης μὲν τῆς ὕλης ἐν ὑποκειμένῳ· κινουμένης δὲ, εἰς τὰς τῶν γινομένων ἐξ αὐτῆς τροπὰς καὶ μεταλλαγὰς σωμάτων ἐμψύχων τε καὶ ἀψύχων.

Κυκλικῶς μὲν) σημείωσαι πῶς κινοῦνται τὰ οὐράνια κυκλικῶς, καὶ κατ' εὐθεῖαν καὶ ἑλικοειδῶς· καὶ πῶς νοεῖται ψυχῆς ἑλικοειδὴς κίνησις.

Οἱ θεῖοι νόες κινοῦνται,

ἢ κυκλικῶς, ἢ κατ' εὐθεῖαν, ἢ ἑλικοειδῶς.

Ψυχῆς δὲ κίνησις) ἐπειδὴ καὶ ὡς ἄνω προεγράψαμεν, νοερὰ μέν εἰσι, τὰ νοοῦντα· νοητὰ δὲ, τὰ νοούμενα· τροφὴ δὲ τῶν νοερῶν, τὰ νοητά· εἰκότως οὖν ἐπὶ ψυχῆς νοερὰς φησὶ δυνάμεις αὐτῆς, ὡς μόνον νοούσης τὰ ὑπερβεβηκότα· αὕτη γὰρ ὑπ' οὐδενὸς νοεῖται· καὶ πάντων τῶν νοητῶν ἐσχάτη ἐστί. δυνάμεις δέ εἰσι ψυχῆς, αἱ πρὸς τὰς αἰσθήσεις ἐπιτηδειότητες.

Ελικοειδῶς δὲ) ὁρᾷς ἐντεῦθεν, πόση διαφορὰ ψυχῆς πρὸς τὰ νοητά· τὰ μὲν γὰρ, νοερῶς καὶ ἑνιαίως, τουτέστι κατ' ἀθρόαν ἐπιβολὴν, νοεῖ τὰς ὑπερκειμένας θείας ἐλλάμψεις, κατὰ τὸ αὐτῶν μέτρον ἀποκαλυπτομένας. ἡ δὲ ψυχὴ, λογικῶς καὶ διεξοδικῶς, τουτέστιν εἰς μερικὰ μεριζομένη, καὶ ἐκ μετοχῆς διδασκομένη· ὁ γὰρ νοῦς εἰς λογισμοὺς κατιὼν, οὕτω μερίζεται

Ministerio de Educación, Cultura y Deporte

καὶ δέεται τοῦ διὰ πλειόνων παραδειγμάτων, διεξοδεύοντος λόγου πρὸς παράστασιν τοῦ νοουμένου, τὸ ὑπεραναβεβηκός. συμμίκτως οὖν ἐνεργεῖ ψυχὴ τὸ μεταβατικῶς, ὅτι καὶ νοερῶς νοεῖ· τοῦτο γὰρ οἰκεῖον ψυχῆς, καὶ ὅτι ἔξωθεν ἐπὶ τὰ ὑψηλότερα χειραγωγεῖται· ἐκ γὰρ τῶν δευτερείων ἀναβαίνει.

Αἱ ψυχαὶ αἱ λογικαὶ κινοῦνται,

ἢ κυκλικῶς, ἢ ἑλικοειδῶς, ἢ κατ' εὐθεῖαν.

Τούτων οὖν, τὸ τῶν αἰσθητῶν) ὅρα, ὅτι καὶ τῶν αἰσθητῶν τρεῖς φησὶν εἶναι τὰς κινήσεις· τὴν κυκλοειδῆ, καὶ τὴν ἑλικοειδῆ, καὶ τὴν κατ' εὐθεῖαν. παραγόμεθα δὲ ταύτας νοεῖν ἐκ τῶν περὶ ψυχῆς εἰρημένων, κυκλικὴν μὲν αὐτήν, ὅταν τὰ αἰσθητὰ αὐτὰ κατὰ τὰς οἰκείας δυνάμεις καὶ ποιότητας ἐνεργῇ· οἷον πῦρ θερμαῖνον, καὶ ὕδωρ ψύχον, καὶ τὰ ἑξῆς ὁμοίως. ἑλικοειδῶς δέ, ὅταν μεταβατικῶς ἐνεργῇ, οἷον ἐξ ὑδάτων ἰχθύες, καὶ πετεινά, τὸ ἡ ῥάβδος Μωϋσέως εἰς ὄφιν, καὶ τὰ τοιαῦτα. κατ' εὐθεῖαν δέ, ὅταν αὖθις εἰς τὰς οἰκείας ἀρχὰς ἀνατρέχῃ, οἷον ὅταν μετὰ διάλυσιν τῶν γινομένων πάλιν εἰς τὰ στοιχεῖα τὰ φθειρόμενα ἀναλύηται.

Καὶ κίνησιν) κίνησιν ἄν τις παραχθείη νοῆσαι τῶν αἰσθητῶν τὴν ἀλλοίωσιν καὶ τὴν φθοράν· ἐξ οὗ γὰρ ἡ στάσις, τούτων σημαίνει τὴν γένεσιν, πρόδηλον ὡς ἡ κίνησις τὸ ἐναντίον ἐμφαίνει· σημείωσαι οὖν, ὅτι καὶ τὰ ἀλλοιούμενα, καὶ τὰ φθειρόμενα, ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ὁρᾷ.

Δι' ὃ πᾶσα στάσις) δι' ὃ ἀγαθὸν καὶ καλὸν δηλονότι.

Πᾶν ἕν, καὶ πλῆθος) πῶς νοηθήσεται τὸ πᾶν ἓν τὸ πλῆθος, ὑπόθου τὸν πάντα κόσμον, φυτὸν μέγα καθ' ὅλα τὰ μέρη αὐτοῦ τὰ ἔμψυχα, ζῶον τρόπον τινὰ οἷον πρέμνα καὶ στελέχη, καὶ τῶν μερῶν τὰ μέρη, οἷον κλάδους, ἀκρέμονάς τε καὶ φύλλα· εἶ

περ μοι τούτων ἕκαστον οἷον αὐτοτελὲς ζῶον ὑπολάβοις, τηροῦ δὲ τὴν ἐν τῷ ὅλῳ ἕνωσίν τε καὶ τάξιν, καθ' ἣν αὐτό τε τὸ δένδρον ζῇ καθ' ἑαυτὸ, καὶ μετὰ τῶν αὐτοῦ μερῶν, ὡς ἔστι ζωὴν, τὰ μὲν νοερὰ, νοερῶς τε καὶ λογικῶς· τὰ δὲ ἄλογα, αἰσθητικῶς· τὰ δὲ ἄψυχα καὶ ἄπνοα, φυτικῶς τε καὶ ἑκτικῶς, καὶ ζῶν καθ' ἑαυτὸ, ὡς ἔφην, ἕκαστον ζωὴν καὶ μετὰ τοῦ ὅλου κινητικῶς τὰ μέρη μετὰ τῶν καθολικῶν, γνώσῃ τοῦ παντὸς τὴν εἰς τὸ ἓν συμφυΐαν τε καὶ σύζησιν, καὶ τὴν εἰς τὸ πλῆθος ὡς ἑκάστου προσφόρως τε καὶ ἰδίως ζῶντος ὡς ἔφημεν. καὶ πάλιν εἰ ἐξ ἑνὸς καὶ μόνου θεοῦ τὰ πάντα, εἰκότως καὶ ἓν λέγονται διὰ τὴν σύνδεσιν καὶ ἁρμονίαν, καὶ πλῆθος, διὰ τὴν πολυείδειαν τῶν καθ' ἕκαστον.

Οἱ ὅροι) ὅροι εἰσὶν οἱ ἑρμηνευτικοὶ λόγοι τῆς οὐσίας ἑκάστου τῶν πραγμάτων, καὶ τοῦ γένους, καὶ τῆς διαφορᾶς, καὶ τὸ τί ἐστι δηλοῦντες.

Ἀρχὴ παραδειγματική) παραδειγματικὸν αἴτιον, ἤτοι ἀρχή ἐστι τοῦ πρὸς ὃ γίνεται τὸ γινόμενον· τοῦτο δέ ἐστιν ἡ ἰδέα, ἥτις ἐστὶ νόησις αὐτοτελὴς, ἀΐδιος, τοῦ ἀϊδίου θεοῦ· ἢ παράδειγμα αἰώνιον ἐνεστὼς τῇ φύσει, πρὸς ὃ γίνεται τὰ γινόμενα· ἀσώματοι γὰρ αἱ ἰδέαι, καὶ τὰ παραδείγματα. τελικὸν δὲ, αἴτιον, ἤτοι ἀρχή ἐστιν, τὸ οὗ ἕνεκα τὸ γινόμενον τελειοῦται· ἢ τελικὸν αἴτιόν ἐστιν, ὃ ἀχώριστόν ἐστι τοῦ ἀποτελέσματος· ἢ ἐξ οὗ ἐνυπάρχοντος γίνεται τὸ γινόμενον, ὡς ἡ τῶν ὅλων ὕλη. ὁ δὲ θεὸς καὶ ταύτην παρήγαγε. ποιητικὸν δὲ αἴτιόν ἐστι· τὸ κεχωρισμένον τοῦ ἀποτελέσματος, ὡς ὁ θεὸς, καὶ πᾶς ὑφ' οὗ γίνεται τὸ γινόμενον.

Καὶ πάντα τὰ οὐκ ὄντα) πῶς τὰ μὴ ὄντα ἐν τῷ ἀγαθῷ, οὕτω νόησον, ἐπειδὴ αἱ στερήσεις ἐν αὐτῷ εἰσιν ὑπερουσίως· οὔτε γὰρ αὖ ἔποιμι οὐσίαν τὴν στέρησιν, οἷον ἄναρχος, ἄφθαρτος, ἀθάνα-

τος, καὶ ὅσα τοιαῦτά ἐστι· καὶ γὰρ οὐκ ἔστι ταῦτα ὁ θεός, ἐπεὶ καὶ πρὸ τούτων ἐστίν· ἐξ αὐτοῦ γὰρ ἐγνώσθη, ὅτι ἐστὶ ταῦτα. καὶ γνοῦ οὐδὲ ὅτι οὐκ ἔστιν ὁ θεός, γινώσκομεν· ἢ πῶς ἄρρητος καὶ ἀκατάληπτος· οὐ γὰρ ταῦτα ἀρχὴ αὐτοῦ, ἀλλ' ἐξ αὐτοῦ. αὐτὸς οὖν καὶ τοῦ μηδενὸς αἴτιος πάντων αὐτοῦ ὑστέρων ὄντων, κατὰ τὴν τοῦ εἶναι καὶ μὴ εἶναι αἰτίαν· καὶ γὰρ αὐτὸ τὸ μηδέν, στέρησίς ἐστιν· ἔχει γὰρ τὸ εἶναι, διὰ τὸ μηδὲν εἶναι τῶν ὄντων· καὶ μὴ ὢν ἐστί, διὰ τὸ εἶναι καὶ ὑπερεῖναι, πάντα ὤν, ὡς ποιητής· καὶ μηδὲν ὤν, ὡς ὑπερβεβηκώς. μᾶλλον δὲ καὶ ὑπεραναβεβηκὼς καὶ ὑπερούσιος ὤν, ἀνάγνωθι καὶ ἐν τῷ προτέρῳ φύλλῳ τὴν ἐμὴν παραγραφὴν περὶ τοῦ μὴ ὄντος.

Καὶ τὰ ἥττω τῶν κρειττόνων) παρέγραψα καὶ ἄνω τὸ ὅμοιον ἐν τῷ πρώτῳ κεφαλαίῳ, ὅτι ἀεὶ τὰ ὑποβεβηκότα ἐπέστραπται πρὸς τὰ ὑπερκείμενα, ὡς ὑπ' ἐκείνων περιεχόμενα, καὶ προνοούμενα. κοινωνικῶς δὲ τὰ ὁμόστοιχα τῶν ὁμοταγῶν, καὶ ἁπλῶς πάντα ἀλλήλων καὶ αὐτῶν ἐρᾷ. καὶ ὁ θεὸς πάντων ἐρᾷ, ἵνα τὰ πάντα τὰ ἀγαθὰ ποιήσῃ.

Αὐτὸς γὰρ ὁ ἀγαθοεργὸς) θαυμαστῶς λέγει, ὅτι ἀγαθὸς ἔρως ἐν τῷ ἀγαθῷ προϋπάρχων, οὐκ ἔμεινεν ἄγονος, ἀλλ' ἔτεκεν ἡμῖν τὸν ἀγαθὸν ἔρωτα, δι' οὗ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέμεθα· προκλητικὸν γὰρ καὶ γεννητικὸν τὸ θεῖον κατὰ τὸ εἰρημένον, Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. σημείωσαι δὲ ἐντεῦθεν κίνησιν θείαν· ὁ γὰρ ἀγαθοεργὸς ἔρως ἐκίνησε τὸ θεῖον εἰς πρόνοιαν, εἰς σύστασιν ἡμῶν, ἵνα καὶ προκλητικὸν ᾖ κινούμενον, καὶ μὴ μείνῃ ἄγονον. ἐκ τούτου νόησις καὶ τὸ, μονάδος μὲν κινηθείσης, καὶ τὰ ἑξῆς εἰρημένα τῷ θεολόγῳ Γρηγορίῳ ἐν τῷ πρώτῳ περὶ υἱοῦ.

Γεννητικὴν ὑπερβολὴν) τουτέστι τὴν κλίσιν παρήγαγεν, ὥστε περὶ αὐτὴν τὰ τῆς ἀγαπητῆς ἐπιδείκνυσθαι κινήσεως.

Ministerio de Educación, Cultura y Deporte

Καὶ μή τις ἡμᾶς οἰέσθω) σημείωσαι ὅτι οὐ δεῖ τὰ ἀπεμφαίνοντα ὀνόματα λέγειν, εἰ μή γε καὶ ἐν θείᾳ ἐμφέροιτο γραφῇ, ὡς καὶ νῦν περὶ ἔρωτος φησί· καὶ ὅτι οὐ χρὴ προσέχειν λέξεσιν, ἀλλὰ τῇ δυνάμει τοῦ σκοποῦ· θείως γὰρ αὐτὰ διέξεισι.

Δι' ἑτέρων ὁμοδυνάμων) ὅτι καὶ διὰ τῶν ἰσοδυνάμων οὐ κωλυόμεθα ἐκφωνεῖν τὰς λέξεις.

Δέον εἰδέναι) διὰ τί συλλαβαῖς καὶ λέξεσι χρώμεθα. σκόπει τὴν ἀνάγνωσιν. ὃ θέλει εἰπεῖν, τοῦτό ἐστι, ἡνίκα τὸν προφορικὸν λόγον κινοῦμεν, τοῦτον περὶ τινὸς τῶν αἰσθητῶν, τότε λέξεων, καὶ συλλαβῶν, καὶ στοιχείων καὶ γραφῶν δεόμεθα πρὸς δήλωσιν τοῦ λαλουμένου. εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς τὰ νοητὰ κινεῖται, διὰ τῶν ὀρθῶν ἐνεργειῶν περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὑψηλὰ γὰρ φαντάζεται. ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀνατάσεσι, καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχει, τότε καὶ αἱ νοηταὶ ἐνέργειαι περιτταί εἰσιν, ὡς καὶ αἱ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψυχὴ διανοεῖται, λοιπὸν ἡνωμένη θεῷ. ὅταν δὲ ὁ νοῦς χαμαίζηλα φαντασθῇ, καὶ περὶ τινὸς τῶν αἰσθητῶν ἀπεύσῃ κινηθῆναι, τότε τοὺς σαφεστέρους λόγους καὶ τὰ βανότερα τῶν ὁρατῶν χρὴ ἐπιζητεῖν.

Ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις) σημείωσαι, ὅτι ἕτερον νοῦς, καὶ ἕτερον ψυχή. νοερὰς δυνάμεις φησὶ τὰς νοήσεις, αἵ τινες κατώτεραί εἰσι, καὶ σκεδασμὸς τοῦ νοῦ. ὅταν οὖν ἡ ψυχὴ βούληται πρὸς θεὸν ἀνανεῦσαι, καὶ κατὰ τὸ δυνατὸν ἑνωθῆναι αὐτῷ, τὸ μὲν ὄμμα αὐτῆς, τουτέστι τὸν νοῦν αὐτὸν ἀποστρέψαι ὀφείλει τῶν μερικῶν, καὶ ἐπὶ τὰ καθολικώτερα ἀναπηδῆσαι. μερικαὶ δὲ εἰσὶν αἱ νοήσεις, ὡς ἔφημεν· τότε γὰρ νοῦς ὅλη γινομένη, καὶ εἰς τὸ ἔσω στραφεῖσα, ἑνὰς λοιπὸν καὶ ἁπλότης γινομένη

μένη, ἐπιβαλεῖν δυνήσεται ταῖς θείαις ἀκτῖσι, διὰ τῆς ἐπαινετῆς ἀγνωσίας, οὐ τῆς ἐξ ἀμαθίας ἀγνοίας, ἀλλὰ τῆς γινωσκούσης ὅτι ἀγνοεῖ τὰ περὶ θεοῦ ἀκατάληπτα. γνώσεται δὲ ἀπολαύουσα τῶν θείων μαρμαρυγῶν, οὐ διὰ τῶν αἰσθητῶν ὀμμάτων· οὐ γὰρ καταλαμβάνεται τύποις ἀλλὰ ταῖς αὐτομμάτοις τοῦ νοῦ καταστάσεσιν.

Ἐπιδηλότεραι τῶν αἰσθήσεων) ἐξηγεῖται, τίνες εἰσὶν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διαπορθμεύσεις· καὶ φησὶν αὐτὰς τοὺς σαφεστέρους λόγους καὶ τὰ τρανέστερα τῶν ὁρατῶν.

Καλῶς δυνήσονται) αἱ αἰσθήσεις δηλονότι.

Καίτοι ἔδοξέ τισιν) ὅτι καὶ ἡ ἀγάπη ἔρωτα δηλοῖ· καὶ ὅτι θειότερον ὄνομα τοῦ ἔρωτος.

Ἀκουέτωσαν) σημείωσαι ὅτι καὶ τότε ἦσάν τινες ἐπιλαμβανόμενοι ὀνομάτων, οἷς ἐπιστομίζει ἐκ τῆς θείας γραφῆς.

Ὁ θεῖος ἰγνάτιος) καὶ ἐκ τούτου τινὲς οἴονται διαβάλλειν δῆθεν καίρως τὸ παρὸν σύνταγμα, ὡς μὴ ὂν τοῦ θείου διονυσίου, ἐπειδὴ ἰγνάτιον λέγουσι μεταγενέστερον αὐτοῦ εἶναι· πῶς δὲ δύναταί τις τῶν μεταγενεστέρων μεμνῆσθαι· πλάσμα δὲ καὶ τοῦτο δοκοῦν αὐτοῖς· ὁ γὰρ ἅγιος παῦλος ὁ φωτίσας διονύσιον, μεταγενέστερος ἦν τῷ χρόνῳ τοῦ ἁγίου πέτρου, μεθ' ὃν ὁ ἰγνάτιος ἐπίσκοπος γίνεται ἀντιοχείας, μετατεθέντος πέτρου ἐν ῥώμῃ· ἐπέζησε δὲ ὁ ἅγιος παῦλος χρόνον πολὺν, φωτίσας διονύσιον, καὶ διονύσιος μετ' αὐτὸν ἔζησεν. ὁ δὲ εὐαγγελιστὴς ἰωάννης ἐπὶ δομετιανοῦ ἐξορίζεται εἰς πάτμον· ᾧ ἀντιγράφει διονύσιος. ἰγνάτιος δὲ περὶ δομετιανοῦ μαρτυρεῖ· ὥστε προγενέστερος διονυσίου.

Ὁ ἐμὸς ἔρως) ζητητέον πῶς ἐπὶ ὀνησίμου τοῦ μετὰ τιμόθεον ἰγνατίου διαλεγομένου καὶ γράφοντος ῥωμαίοις τό, ἐμὸς ἔρως ἐσταύρωται, διονύσιος νῦν τιμοθέῳ γράφων τοῦτο



Ministerio de Educación, Cultura y Deporte

μέμνηται, ὡς Ἰγνατίου ἤδη γράψαντος· καὶ μήποτε παρά τινος τῶν φιλολόγων ἔξω παρατεθὲν, πρὸς πλείονα σύστασιν τῶν περὶ θείου ἔρωτος, τῷ ἁγίῳ Διονυσίῳ εἰρημένων, ὕστερον κατ' ἄγνοιαν ἔσω παρενετέθη, ὅπερ ἐν πολλοῖς πολλάκις γινόμενον ἔγνωμεν· καὶ γὰρ δίχα τούτου ἵσταται ἀπαραλείπτως τὸ σῶμα τοῦ λόγου. ἢ τάχα συνῆθες αὐτῷ ἦν ἀπόφθεγμα, ὡς καὶ τὸ θεοφόρος πολλάκις αὐτῷ λεγόμενόν τε καὶ γραφόμενον. τεκμήριον δὲ, τὸ μὴ προσκεῖσθαι, Γράφει δέ τισι, τουτέστι ῥωμαίοις· ἀλλ' ἁπλῶς, Γράφει δὲ ὁ θεῖος Ἰγνάτιος.

Καὶ ἐν ταῖς προεισαγωγαῖς) ἐπισημειωτέον, ὅτι προεισαγωγὰς καλεῖ τῆς θείας γραφῆς τὰ Σολομῶντος, ἀφ' οὗ καὶ τὰ ῥητά.

Τοῖς θείοις μᾶλλον) διά τι, τοῖς θείοις μᾶλλον ἀνατιθέασι τὸν ὄντως ἔρωτα οἱ θεολόγοι.

Τὰ πλήθη) σημείωσαι, ὅτι πρὸς ὃ χωροῦσι τὰ πλήθη, δεῖ καὶ ταῖς λέξεσι χρῆσθαι. λέγει δὲ τί ποιεῖ ὁ ἔρως, καὶ περὶ δύο ἐρώτων, θείου, καὶ μερισοῦ, ἤτοι σωματοπρεποῦς.

Ὡς δυσχερέστερον) ὡς δῆθεν βεβλημένον δηλονότι.

Ἐπέπεσε τις φησιν) ὁ Δαβὶδ λέγει περὶ τοῦ Ἰωνάθαν, ἐν τῇ προφήτῃ τῶν βασιλειῶν.

Τάττεται πρὸς τῶν ἱερῶν) ὅτι τὸ αὐτὸ δύναται ἀγάπη καὶ ἔρως· καὶ τίς ἡ τοῦ ἔρωτος ἐνέργεια.

Συγκρατικῆς) τουτέστι συγκιρνώσης τὰ ἐρῶντα πρὸς ἄλληλα.

Διὰ τὸ καλὸν) ὅπερ εἶπεν ἄνω, ὅτι ὁ θεῖος ἔρως προϋπάρχων ἐν τῷ ἀγαθῷ ἔτεκε τὸν ἐν ἡμῖν ἔρωτα, δι' οὗ, τοῦ ἀγαθοῦ ἐφιέμεθα.

Ἐκστατικὸς) περὶ ἐκστάσεως ἐρωτικῆς, καὶ ὁ Δαβὶδ, Ἐγὼ εἶπον ἐν τῇ ἐκστάσει μου.

Ministerio de Educación, Cultura y Deporte

Ἐξεστηκὼς) σημείωσαι, πῶς νοεῖται τό, ἐξεστηκὼς θεῷ.

Τολμητέον) ὅτι καὶ ὁ θεὸς πάντων ἐρᾷ.

Διὸ καὶ ζηλωτὴν) κατὰ τοῦτο λέγεται ζηλωτὴς ὁ θεός, ὡς ἐραστὴς τῆς πάντων σωτηρίας.

Τί δὲ ὅλως) τῆς μὲν ἀγάπης, καὶ τοῦ ἔρωτος, αὐτὸν δηλαδὴ τὸν θεόν, προβολέα φησὶ καὶ γεννήτορα· αὐτὸς γὰρ ταῦτα ἐν ἑαυτῷ ὄντα προήγαγεν εἰς τὰ ἐκτός, τουτέστι τὰ περὶ τὰ κτίσματα. καὶ κατὰ τοῦτο εἴρηται, Ὁ θεὸς ἀγάπη ἐστί, καὶ ἐν τῷ ᾄσματι ὁμοίως ἀγάπη εἴρηται καὶ πάλιν γλυκασμὸς καὶ ἐπιθυμία, ὅ ἐστιν ἔρως. τὸ δὲ ἀγαπητὸν καὶ ὄντως ἐραστόν, αὐτός ἐστι. τῷ μὲν οὖν τὸν ἀγαπητικὸν ἔρωτα ἐξ αὐτοῦ προχεῖσθαι, αὐτὸς κινεῖσθαι λέγεται ὁ τούτου γεννήτωρ· τῷ δὲ αὐτὸν εἶναι τὸ ἀληθῶς ἐραστὸν καὶ ἀγαπητόν, κινεῖ τὰ πρὸς τοῦτο ὁρῶντα, καὶ οἷς ἦν ἐφίεσθαι δύναμις ἀναλόγως αὐτοῖς.

Ἐραστὸν καὶ ἀγαπητὸν) προσαγωγικὸν καὶ κινητικὸν πρὸς ἔρωτα καὶ συνάφειαν τὴν ἐν πνεύματι, τὸν θεὸν εἶναι νόει, τουτέστι μεσίτην ταύτης, καὶ πρὸς ἑαυτὸν συναρμοστὴν τοῦ ἐρᾶσθαι αὐτὸν ὑπὸ τῶν αὐτοῦ ποιημάτων καὶ ἀγαπᾶσθαι. κινητικὸν δέ φησιν, ὡς κινοῦντα ἕκαστα, κατὰ τὸν οἰκεῖον λόγον πρὸς αὐτὸν ἐπιστρέφεσθαι. τὸ δὲ τῆς προσαγωγίας ὄνομα, εἰ καὶ παρά τισι τῶν ἔξωθεν, πρᾶγμα σημαίνει, οὐκ εὐαγές, ἀλλ' ἐνταῦθα τὸ πρόξενον τῆς ἐν θεῷ ἑνώσεως μεσιτείαν φησί.

Καὶ τῷ μέν, κινεῖται) σημείωσαι κίνησιν θείαν, ἐν ᾗ κινεῖται καὶ αὐτοῦ ἐστὶ προσαγωγικὸς καὶ κινητικὸς ὁ θεός.

Καὶ τῆς ἐξῃρημένης) ἡ πρὸς θεὸν ἀγαπητικὴ ἕνωσις, πάσης ἐξῄρηται καὶ ὑπέρκειται ἑνώσεως. ἐξῃρημένην οὖν τὴν ἀνωτέραν φησίν· ἄναρχον δέ, καὶ ἀτελεύτητον, τὸν θεῖον ἔρωτα λέγει ὡς ἐκ τοῦ ἀγαθοῦ προϊόντα, καὶ πρὸς τὸ ἀγαθὸν ἐπαναστρέφοντα, κατὰ σχῆμα κυκλικόν· ἐπεὶ καὶ ἡ τοῦ κύκλου γραμμή,

οὗ γνωριμὸν ἔχει ὅθεν ἤρξατο, καὶ οὗ κατέληξε· καὶ γὰρ ἐξ αὐτοῦ ἡ τοῦ ἀγαθοῦ ἔφεσις, καὶ εἰς αὐτὸν πάλιν ὁρᾷ. ἐν ἑαυτῷ δὲ καὶ ἔστι καὶ μένει τὸ ἐρᾶν τῆς συμφυοῦς ἀγαθότητος, καὶ τῶν πρὸς τὸ ἀγαθὸν ἀνατεινομένων.

Ἐρωτικὴν κίνησιν) ὅτι ἡ ἐρωτικὴ κίνησις, τοῦ ἀγαθοῦ προϋπάρχουσα, ἐν τῷ ἀγαθῷ ἁπλῆ καὶ αὐτοκίνητος οὖσα, καὶ ἐκ τοῦ ἀγαθοῦ προϊοῦσα, αὖθις ἐπὶ τὸ αὐτὸ ἐπιστρέφει, ἀτελεύτητος καὶ ἄναρχος οὖσα, ὅπερ δηλοῖ τὴν ἡμῶν ἔφεσιν πρὸς τὸ θεῖον. σημείωσαι δὲ, ὅτι ἀΐδιον κύκλον προϊὼν φησὶν εἶναι ἐν τῷ ἀγαθῷ, προϊόντος μὲν αὐτοῦ ἐπὶ τὰ νοητὰ καὶ αἰσθητά· πάλιν δὲ πρὸς ἑαυτὸν ἐπιστρέφοντος καὶ μήτε ἱσταμένου, μήτε λήγοντος.

Τὸν ἔρωτα) ἐπίστησον, ὅπως ὁ μέγας ἱερόθεος, τὰ περὶ τοῦ ἐπαινετοῦ ἔρωτος ἄριστα φιλοσοφεῖ· πρῶτον μὲν θεῖον αὐτὸν λέγων, ἐπειδὴ καὶ πρῶτον αἴτιον τοῦ οὐρανίου ἔρωτος ὁ θεὸς ἐστὶν ἐξῃρημένως καὶ ἀναιτίως· εἰ γὰρ ὁ ἔρως αὐτός ἐστιν ἡ ἀγάπη, ὡς προείρηται· γέγραπται δὲ, ὅτι θεὸς ἀγάπη ἐστὶ, δῆλον ὅτι πάντων ἑνοποιὸς ἔρως, ἤτοι ἀγάπη ὁ θεός ἐστιν. ἐκεῖθεν οὖν μεταβατικῶς πρόεισιν ἐπ' ἀγγέλους· ὅθεν καὶ ἀγγελικὸν αὐτὸν φησὶν, ἔνθα μάλιστα καὶ τὸν τῆς ἑνότητος εὕροι τις ἂν ἔρωτα θεῖον· οὐδὲν γὰρ ἀσύμφωνον ἢ στασιάζον παρ' αὐτοῖς· εἶτα μετ' ἀγγέλους, καὶ νοερόν φησιν ἔρωτα, τουτέστι παρὰ θεοσόφοις ἀνδράσιν, οἳ εἰσὶ τῆς ἐκκλησίας. πρὸς οὓς ὁ παῦλος φησὶν, ἵνα τὸ αὐτὸ λέγητε, καὶ τὰ ἑξῆς· καὶ ὁ κύριος, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. καὶ ταῦτα μὲν περὶ τῶν ἐξ ἀληθείας χριστιανῶν· λοιπὸν δὲ καὶ περὶ πάντων ἀνθρώπων, ἐν οἷς ὁ περὶ φιλίας νόμος. τὰς δὲ λογικὰς ψυχὰς, νοερὰς προσεῖπεν ἐκ τοῦ θείου νοῦ προσειπὼν αὐτάς. ψυχικὸν δὲ ἐκάλεσεν ἔρωτα, τὸν τῶν ἀλόγων τὴν αἰσθητικὴν φιλίαν, ἀνόσω

Ministerio de Educación, Cultura y Deporte

μέντοι δηλονότι· ἐκ γὰρ τῆς ἐρωτικῆς ταύτης δυνάμεως καὶ πλεῖστα ἀγεληδὸν ἵπτανται, ὡς κύκνοι, καὶ χῆνες, καὶ γέρανοι, καὶ κόρακες, καὶ ὅσα τοιαῦτα· καὶ πεζὰ μέντοι εἰσὶ τοιαῦτα, ἔλαφοι, βόες, καὶ τὰ παραπλήσια· καὶ νηκτὰ δέ εἰσιν, ὡς θύννοι, καὶ κέφαλοι, καὶ ὅσα ὁμοιότροπα. καὶ τὰ μὴ ἀγελαῖα δὲ, πρὸς τὴν τῶν ὁμοστοίχων συνόδον, ἔνθεν κινοῦνται. φυσικὸν δὲ ἔρωτα φησὶ, τὸν τῶν ἀψύχων καὶ ἀναισθήτων, κατὰ τὴν ἑκτικὴν ἐπιτηδειότητα, ἤτοι τῆς ποιότητος ἐρώντων τοῦ δημιουργοῦ, διὰ τὸ ὑπ' αὐτοῦ συνεστάναι. κατ' οὖν τὴν ζωτικὴν, ἤτοι τὴν φυσικὴν κίνησιν, καὶ αὐτὰ ἐπέστραπται πρὸς τὸν θεόν.

Ἐπειδὴ τοὺς ἐκ τοῦ ἑνὸς) καὶ ἄνω εἴπομεν, νοερὰ μὲν εἶναι, τὰ νοοῦντα· νοητὰ δὲ, τὰ νοούμενα, καὶ ἀζητήτως τὰ νοερὰ ὑπερβαίνεσθαι ὑπὸ τῶν νοητῶν· ὅθεν καὶ σοφίαν εἶναι τῶν νοούντων τὰ νοούμενα. τῶν οὖν νοητῶν τὰ νοερὰ ἐρᾷ, ὡς ἐπεστραμμένα πρὸς αὐτὰ, καὶ ὥσπερ ἀναβεβηκότα· ἐρᾷ δὲ καὶ τὰ νοητὰ τῶν νοερῶν προνοητικῶς, τῷ μεταδιδόναι τῆς ἴσης ὠφελείας. ὡμολόγηται οὖν, ὅτι οἱ τῶν τοιούτων ἔρωτες ὑπερεστᾶσι τῶν αἰσθητῶν. ἀλλὰ ταῦτα οἶμαι, νοητὰ καὶ νοερὰ εἴρηται, ἐκ μετοχῆς τοῦ ὄντος ἀγαθοῦ, τοιαῦτα γινόμενα. οἱ δὲ αὐτονόητοι ἔρωτες, οἱ θεῖοί εἰσιν, ἀντὶ τοῦ οἱ τοῦ θεοῦ· ὥσπερ γὰρ ἐστὶν ἀγαθὸν ὃ τινί ἐστιν ἀγαθὸν, καὶ ἄλλο τὸ ἁπλῶς ἀγαθὸν καὶ αὐτὸ τὸ ἀγαθόν· οὕτως ἐστὶ καὶ νοητὸν, τὸ τινὶ νοητὸν, ἅτε νοούμενον ὑπ' αὐτοῦ, καὶ ἁπλῶς νοητὸν, οὐχ ὡς ὁ χρόνος, ἢ ὁ τόπος· νοητὰ γὰρ καὶ ταῦτα, ἐπεὶ μὴ αἰσθητὰ, ἀλλὰ νοῦς νοητῶν, ἐνέργεια ὢν, καὶ ζῶν, καὶ ζωή. τὰ γὰρ μετὰ τοῦτο νοητὰ, ἐκ ζητήσεως καὶ τῆς περὶ τὰ προβλήματα ἀκολουθίας δι' εἰσκοιουσιν, ἢ ἐξ ἀποκαλύψεως ἔχουσιν.

Ἄσχετος αἰτία) ἄσχετον φησὶ, τὸ ἀπόλυτον, οὗ πρὸς τὸ πᾶν οὐδεμία σχέσις, ἤτοι οἰκειότης φυσική.



Ministerio de Educación, Cultura y Deporte

Ἀ πάντων ὁλικὸς ἔρως) εἰπὼν ὁλικὸν ἔρωτα, δηλοῖ δὲ μερικούς, λέγων τὸν θεὸν εἶναι τὸν ὁλικόν, καὶ τὸν μερικόν· ὡς αἴτιον καὶ πᾶσι χορηγοῦντα κατὰ τὴν ἑκάστου δύναμιν, ἐρωτικὴν οἱονεὶ ἀπόρροιαν. πῶς οὖν ὁ θεὸς τὸ ὅλον καὶ τὸ μέρος, ἀνεκφοιτήτως ἑαυτῷ συνὼν εἶναι δύναται, ἐκ τοῦ σπερματικοῦ λόγου σαφὲς ἔσται· ὅταν μὲν γὰρ τὸ σπέρμα ἀδιακόπως ὁμοῦ εἰς τὴν μήτραν καταβληθῇ, ἓν ἀποτελεῖται τὸ ἔμβρυον· ἐὰν δὲ μερισθῇ τὸ σπέρμα εἰς διαφόρους κύστιδας τῆς μήτρας, ἕκαστον μέρος ὁλόκληρον ἔμβρυον ἀποτελεῖ. ἔσται δὲ τοῦ σπέρματος, τὸ μὲν, ῥίς· τὸ δὲ, ὀφθαλμοὶ καὶ τὰ ἑξῆς, καὶ πάντα τέλεια. ὅμοιον οὖν τι καὶ περὶ τὸν παντέλειον νοοῦ κατὰ ἀναλογίαν θεωρητέον· ὅλη γὰρ ἡ ἐνέργεια περιέχει καὶ τὰ μέρη· τῶν δὲ μερῶν ἕκαστον ἀπήρτισται· καὶ τὸ μὲν, αὐτοδικαιοσύνη· τὸ δὲ, αὐτοανδρία, καὶ τὰ ἑξῆς· οὕτως καὶ οὔτε συγκέχυται εἰς ἀλλήλας, ἀλλὰ δὲ ἑκάστη διακέκριται, δὲ οὔτε μετὰ ἀταξίας τὸ ἀδιαίρετον ἔχουσιν ἐν τῷ μεταλαμβάνειν αὐτῶν ἕκαστον, ὡς δύναται· τῶν γὰρ εἰδῶν μεταλαμβάνει ἕκαστος πρὸς τὴν οἰκείαν ἐπιτηδειότητα· οὕτω καὶ ὁ θεός, καὶ ὅλον, καὶ μέρη τοῦ ἔρωτος.

Ἐφίεται γὰρ αὐτοῦ) ἐπειδὴ εἶπε, καὶ τὸ μὴ ὂν ἐφίεσθαί πως τοῦ ἀγαθοῦ, καὶ ἐν αὐτῷ βούλεσθαι εἶναι, ὅπερ καὶ ἄνω περὶ ὀλίγων φύλλων εὑρήσεις αὐτὸν λέγοντα, εἰ δὲ ἐξ ἑλληνικῶν σαφηνίζεται δογμάτων· πρὸς γὰρ ἕλληνας μάχεται μάλιστα, καὶ μανιχαίους, τοὺς τοῦ κακοῦ δόγματος προεστῶτας· δεῖ πλατύτερον διασαφῆσαι, τί ὀνομάζεται μὴ ὄν, δὲ διὰ τί μίαν ἀρχὴν τῶν ὄντων, εὐσεβὲς καὶ ἐπάναγκες εἶναι· τοῦτο γὰρ ὑγιὲς δεῖ φρονεῖν· ἔστι γὰρ αὐτὴ ὁ θεός· εἰ γὰρ εἶεν ἀρχαὶ διάφοροι, πάντως ἀπειροπληθεῖς φανήσονται. εἰ οὖν ἀρχὴ μία ὁ θεός, οὕτω καὶ τὸ ὄντως ὄν, καὶ αὐτὸ τὸ ἀγαθόν. εὑρήσει δὲ ὁ λόγος καὶ τὰ ἐναν-

Ministerio de Educación, Cultura y Deporte

πὰ τῶν εἰρημένων ἀναγκαίως· ἔνθα γὰρ ἀρχὴ, ἔσται πάντως καὶ ἔσχατον· καὶ εἰ ἔστιν ὄν, ἔσται καὶ μὴ ὄν· καὶ εἰ ἔστιν ἀγαθὸν, ἔσται καὶ κακόν. ἀλλ' ἐπειδὴ τὰ ὄντα οὐσίαι εἰσὶ, καὶ εἴδη, τὸ μὴ ὄν, ἀνείδεον ἂν εἴη καὶ ἀνούσιον, λόγῳ μόνῳ θεωρητόν. τὸ μὴ ὂν οὖν τοῦτο καὶ ἀνείδεον, ὕλην ἐκάλεσαν οἱ παλαιοὶ, ἣν καὶ ἔσχατον αἶσχος ὀνομάζουσι. λέγεται δὲ μὴ ὂν ἡ ὕλη, οὐχ ὅτι παντελῶς οὐδέν ἐστιν, ἀλλ' ὅτι μὴ ἔστι· τὸ γὰρ ὄντως ὂν ὁ θεός, καὶ αὐτὸ τὸ ἀγαθόν· παρῆκται γὰρ ἐκ μὴ ὄντων ὑπὸ τοῦ θεοῦ, καὶ ἡ ὕλη· ἀλλ' οὐχ ὥς τινες ὑπέλαβον ἀνείδεος καὶ ἀσχημάτιστος· ὅθεν οὐδὲ ἀρχὴ τῶν αἰσθητῶν ἡ ὕλη, ἀλλὰ μᾶλλον συμπληρωτικὴ τούτων, καὶ ἔσχατόν τι καὶ ὑποστάθμη τῶν ὄντων· διὸ οὔτε εἰκὼν θεοῦ, ὡς τὰ λογικὰ, οὔτε εἴδωλον τοῦ ὄντως ὄντος· καὶ τὸ αἰσθητὸν δὲ εἴδωλον τοῦ ὄντως νοητοῦ κόσμου· ὅσον γὰρ αἰσθητὸν, οὐκ ἄνευ μὲν ὕλης ἐστὶ, κρεῖττον δὲ τῆς ὕλης, εἴδους ὁπωσοῦν μετέχον. οὐδέποτε οὖν διεχθήσεται ἡ ὕλη δίχα τοῦ εἴδους καὶ τῶν ποιοτήτων. αἵ τινές εἰσιν ἕξεις· πότε γὰρ γέγονε τὸ πῦρ ἄνευ θερμότητος, ἢ φωτὸς, ἢ τοῦ λευκοῦ τῆς χροιᾶς; ἢ τὸ ὕδωρ ἄνευ ψυχρότητος, ἢ ὑγρότητος, ἢ τοῦ κυανίζοντος χρώματος. ἡ γῆ καὶ ὁ ἀὴρ ὁμοίως· διὰ τοῦτο καὶ λόγῳ θεωρητὴν εἶπον τὴν ὕλην ἀνείδεον, καὶ ἄποιον, καὶ ἀσχημάτιστον· ἐξ οὐ γὰρ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα γέγονεν, ἐκ μὴ ὄντων, δηλονότι, ὑπὸ θεοῦ παρήχθη, οὐ προτέρου ὕλης ἀμόρφου ὑποκειμένης, εἶτα κοσμηθείσης, ὡς διδάσκει Μωσῆς ὁ θεῖος. ἐν μὲν οὖν τῷ θεῷ ἐστὶν, ἅτε καὶ ὑπ' αὐτοῦ παραχθεῖσα ἡ ὕλη· ὑπερόντος δὲ τὰ πάντα ἐκείνου ὡς ἀγαθοῦ συνέχοντος νοεῖται ἐν αὐτῷ. ταῦτα εὑρήσεις ἐν τοῖς λεχθησομένοις σποράδην ἐγκείμενα.

Πῶς ἡ δαιμόνια πληθύς) λοιπὸν προβλήματα διαγυμνάζει λέγων, ὅτι εἰ πάντα ἐκ τοῦ ἀγαθοῦ, πόθεν τὰ κακὰ, καὶ πόθεν ἄγγελοι ἐγένοντο δαίμονες. ταῦτα πάντα



Ministerio de Educación, Cultura y Deporte

κατὰ μανιχαίων.

Οὐκ ἔστιν ἀγαθοειδές) καλῶς καὶ ἀκριβῶς ἐπὶ τῶν ἀγγέλων τέθηκε τὸ ἀγαθοειδές· ὁ μὲν γὰρ θεός, οὐσιωδῶς αὐτὸ τὸ ἀγαθὸν ὤν, τὰ δὲ μετ' αὐτόν, ὡς ἐκ μετοχῆς καὶ ἔξωθεν ἀγαθυνόμενα τῇ περὶ αὐτὸν ἐφέσει, εἰκότως ἀγαθοειδῆ λέγονται, οὐκ αὐτόχρημα ἀγαθά.

Καὶ πῶς ὁ ἀγαθὸς) ὅρα ὅπως προβλήματα ὡς ἐν ζητήσει προάγει, ἔχοντα μὲν καὶ αὐτὰ τὰς τῶν ἐχθρῶν ἀντιθέσεις, οἷον μανιχαίων· δηλοῦσας δὲ ὅμως τὸν σκοπὸν τοῦ θείου τούτου ἀνδρὸς τὸν ὀρθόν· λέγει γάρ, ἐκ τίνος ἀρχῆς παρήχθη τὸ κακόν· καὶ εἰ ἐξ ἄλλης αἰτίας, καὶ ὅσα τοιαῦτα τῶν ἀντιδίκων εἰσίν· εἶτα λοιπόν, πῶς ὁ ἀγαθὸς αὐτὸ παραγαγεῖν ἠβουλήθη· πῶς δὲ καὶ προνοίᾳ ἐστὶ τὸ κακόν· ἐκ τούτων δεικνὺς, ὅτι εἰ καὶ ὅλως παραγωγὴν ἔχει τὸ κακόν, ἐκ τοῦ ἀγαθοῦ ταύτην ἔχει· καὶ ὅτι μόνη ἡ πρόνοια διοικεῖ τὸ ὅλον, ὡς ἐκ τούτου μίαν ἀγαθὴν ἀρχὴν εἶναι τοῖς οὖσι· ταῦτα δὲ ἐν τοῖς προβλήμασιν ἐξήτασεν ὁ θεῖος οὗτος ἀνήρ· προκατιὼν γὰρ ἀναλύει σαφῶς τὰ προβλήματα, δεικνὺς ὡς οὔτε ἐνυπόστατον τὸ κακόν, οὔτε ἐν φύσει· ἀλλὰ κατὰ στέρησιν τοῦ ἀγαθοῦ γινόμενον, οὔτε ὄν, οὔτε ὡς μὴ ὂν λογιζόμενον. καὶ τοῦτο αἰνίττεσθαι τὸ ἐν ψαλμῷ τριακοστῷ ἕκτῳ εἰρημένον, Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, ὡς τὰς κέδρους τοῦ λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν, τουτέστι τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὑρέθη· τοῦτο γὰρ δηλοῖ, ὅτι τὸ κακόν, ἢ καὶ σφόδρα ἐπαίρεται, ἀλλ' οὖν οὐκ ἔστιν, οὔτε καταλείψει τόπον ἑαυτοῦ, τουτέστιν ἴχνος· ἅμα γὰρ τῷ φανῆναι διαλέλυται, μὴ ἔχων ὑπόστασιν. μὴ οὖν ὑπολάβοις αὐτὸν ἐναντίον λέγειν τι.

Τὸ κακὸν οὐκ ἔστιν ἐκ τἀγαθοῦ) σημείωσαι, πῶς θαυμασίως πλέκει τὴν λύσιν ἐκ διαφόρων ἐπιχειρημάτων.

Ministerio de Educación, Cultura y Deporte

Ὁ τῶν ὄντων σκοπὸς) καὶ γὰρ ὁ ὀργιζόμενος, ἤτοι θυμούμενος, ὡς ἐν ὑποδείγματι δὲ ὁ λόγος, ὡς δοκεῖ, κακόν τι ποιοῦντος τοῦ πρὸς ὃν θυμοῦται, πρὸς τὸ ἐναντίον τοῦτον μεταγαγεῖν βουλόμενος, τουτέστι τὸ ἀγαθὸν τῇ τοιαύτῃ κινήσει χρῆται.

Καὶ εἰ τὰ ὄντα πάντα) ἔφημεν ἀνωτέρω, εἰ ὁ θεὸς ὑπερουσίως ὢν λέγεται ὡς ἄναρχος καὶ πάντων αἴτιος, τὸ ἀντίθετον, ὡς ἔσχατον τῶν ὄντων, καὶ ἀνούσιον, ὡς ὑπερουσίου τοῦ θεοῦ, τουτέστιν ἡ ὕλη, καὶ μὴ ὂν λέγεται, καὶ ἐν θεῷ λέγεται, διὰ ἀγαθότητα αὐτοῦ γινομένη, εἰ καὶ διὰ τὸ μεμίχθαι τοῖς αἰσθητοῖς οὐ πάντη κακὸν, οὔτε πάντη ἀγαθὸν, ὡς δηλοῖ διὰ τὸ ἄστατον· ἔχει μὲν γὰρ τὸ κακὸν ἐν τῷ ἀστάτῳ· μετείληφε δὲ τοῦ ἀγαθοῦ, ἐπειδὴ καὶ ὑπὸ θεοῦ παρήχθη καὶ ἐν θεῷ ἐστί. τὸ δὲ αὐτοκακὸν, οὐ λέγω ἡ κακία, ἥτις ὡς εἶδος καὶ ποιότης συμβαίνει τῷ λογικῷ, καὶ ἀποσυμβαίνει· ἀλλ' αὐτὸ τὸ ἁπλῶς κακὸν, οὔτε ἐν τοῖς οὖσιν ἐστὶ, τοῖς ὁπωσοῦν ἐφιεμένοις τοῦ ἀγαθοῦ, οὔτε ἐν τοῖς μὴ οὖσιν, ἀντὶ τοῦ ἐν τοῖς ὑλικοῖς ὡς νοουμένοις ἐν τῷ ὑπερουσίῳ. ἀλλὰ καὶ τοῦ μὴ ὄντος, ὅ ἐστι τῆς ὕλης, τὸ κακὸν πλέον ἀφέστηκε τοῦ ἀγαθοῦ καὶ ἐστὶν ἐντεῦθεν εἰκότως ἀνουσιώτερον, τῆς ὕλης τὸ αὐτὸ κακὸν ὡς πάντη οὐδὲν ὄν. τὸ οὖν ἁπλῶς αὐτὸ κακὸν, οὐδαμῇ οὐδαμῶς· τὸ δὲ τῆς ὕλης, κατ' ἔλλειψιν τῆς ἀγαθότητος, καθὸ καὶ ἀναίσθητος καὶ ἀνείδεος ὁρᾶται, ὅθεν νοήσεις καὶ τὸ παρὰ Ἀβδίου τοῦ προφήτου εἰρημένον. Καὶ ἔσονται ὡς μὴ ὄντες, πρὸς τοὺς ἁμαρτωλοὺς δηλονότι.

Πόθεν οὖν ἐστὶ τὸ κακὸν) ἐντεῦθεν ἀντίθεσιν προτιθεὶς, πλατέως γυμνάζει τὴν ὑπόκρισιν, ὡς ἐξ εὐλογοφανοῦς ἀντιθέσεως· εἰ γὰρ μὴ δοίημεν εἶναί τι τῷ καλῷ ἐναντίον, τουτέστι τὸ κακὸν, οὐκ ὀφθήσεται ἀγαθὸν ἡ ἀρετὴ, ἀλλ' ἀναμὶξ ἀδιάκριτα ἔσται πάντα, οὔτε ἀρετῆς ἐπαινουμένης, οὔτε τοῦ ἐναντίου ψε-

χλοῦ ὄντος· ὥσπερ μὴ ὄντος νόμου, οὔτε ἁμαρτία ἔσται. τοῦ
δέ φησιν ὁ αὐτὸ πιθὲς, εἰ μὴ δείημεν κακὸν ἐναντίον τῷ ἀγαθῷ,
ἔσται αὐτὸ τὸ ἀγαθὸν ἐναντίον ἑαυτῷ ἐν τοῖς κατ' ἔλλειψιν τοῦ
ἀγαθοῦ ἁμαρτάνουσιν· ἀλλὰ καὶ περὶ τῆς ἐνεργείας τῆς ἀρετῆς
τοῦ ἐναρέτου ἀνθρώπου, ὁρῶμεν ἐν τῇ ψυχῇ αὐτοῦ διακεκρι-
μένας τῆς ἀρετῆς καὶ κακίας· ὅταν μὲν γὰρ τὸ λογικὸν μέρος
τῆς ψυχῆς, τὰ οἰκεῖα ἐνεργῇ, εἰς οὐδὲν τῶν ἀγαθῶν ἐμποδίζε-
ται· ὅταν δὲ τὸ ἄλογον μέρος τῆς ψυχῆς, ὅπερ μέμικται ὕλῃ
καὶ σώματι ἐπικρατῇ, τότε ἐμποδίζεται τὸ λογικὸν οἰκείως ἐνερ-
γεῖν. κακύνεται οὖν τὸ ἄλογον ἐκ τῆς πρὸς τὴν ὕλην ἐπι-
μιξίας. τὸ δὲ λογικὸν οὔπω μεμῖχθαι τῇ ὕλῃ, ἀλλὰ τῷ νεύειν
εἰς ὕλην, τουτέστι τῷ ἐνδιδόναι τῷ ἀλόγῳ, καὶ μὴ κρατεῖν αὐ-
τοῦ, κακύνεται, ὡς ὄμμα σκότους ὄντος, κωλύεται ὁρᾶν. οὐ
δείκνυσιν οὖν τοῦτο, εἰ ὑφέστηκε τὸ αὐτοκακόν· οὐ γὰρ τὸ εἶναι κα-
κὸν, τουτέστι τὸ αὐτοκακόν, ἀλλὰ καὶ κακία ἐστὶν εἶδος οὖσα καὶ
συμβεβηκὸς ἐκ τοῦ κακοῦ· ταῖς γὰρ προσθήκαις καθίσταται,
εἰς τὸ τόδε τι εἶναι· οἷον, ἀδικία μὲν ψυχῆς ἐστὶ πονηρία· καὶ πάλιν,
τῆς ἀδικίας εἴδη πρὸς τὴν τῆς ὀρέξεως ὕλην· ἡ μὲν γὰρ, περὶ
χρήματα· ἡ δὲ, περὶ τιμὰς συμβαίνει. γίνεται δὲ καὶ κατὰ προσ-
θήκας εἴδη κακῶν, καὶ ἀπὸ τῶν μερῶν τῆς ψυχῆς· δειλία μὲν
γὰρ, ἡ θρασύτης ἀπὸ τοῦ θυμικοῦ· ἀκολασία δὲ, ἡ ἠλιθιότης.
ἀπὸ τοῦ ἐπιθυμητικοῦ. γίνεται δὲ καὶ ἀπὸ τῶν ἐνεργειῶν εἴδη
κακῶν· ἡ μὲν γὰρ δειλία, οἷον περὶ τὸ ὁρμᾶν ἐστὶν ἔλλειψις· ἡ δὲ
θρασύτης, περὶ τὸ ὁρμᾶν ὑπερβολή. ἡ δὲ ἀκολασία, περὶ τὸ
πάσχειν. σαφὲς οὖν γέγονε, πῶς ἐν ψυχῇ καὶ περὶ ἐνεργείας δια-
κέκριται τὰ κακὰ ἐκ τῶν ἀρετῶν, διὰ τοῦ ἀλόγου καὶ τοῦ λογι-
κοῦ μερῶν ὄντων τῆς ψυχῆς. ταῦτα δὲ τὰ τοῦ ἀλόγου ἕτερον νό-
μον δείκνυσιν ἡμῖν ἀντιστρατευόμενον τῷ νῷ, ὥς φησιν ὁ ἀπό-
στολος, καὶ ἐν τῷ μὴ κρατεῖσθαι αἰχμαλωτεύοντα τὸ λογι-

Ministerio de Educación, Cultura y Deporte

κὸν, ὡς ἀπεδείξαμεν.

Πρὸς τὸν λόγον) ἀντὶ τοῦ, πρὸς τὸ λογικὸν τῆς ψυχῆς μέρος.

Καὶ εἰ φθορά ἐστι τῶν ὄντων) ἀντὶ τοῦ, εἰ ἐν τοῖς οὖσι τὸ φθείρεσθαι ὁρᾶται, ἤγουν εἴ τινα τῶν ὄντων ὑπόκειται φθορᾷ, ἐκ τούτου δείκνυται τὶ εἶναι τὸ κακόν· τὸ γὰρ, οὐκ ἐκβάλλει, τοῦτο δηλοῖ.

Η οὐχὶ πολλάκις) ἔστι τῆς ἀντιθέσεως εἰσὶ δὲ ταῦτα, ὅτι μᾶλλον καὶ ἐν τοῖς οὖσιν ἐστὶ, καὶ ὂν τὸ κακόν· καὶ γὰρ τὸ κακὸν φθορά ἐστι τῶν ὄντων, ἀλλ' οὖν ἡ φθορὰ αὕτη, ἑτέρου ἐστὶν ὅτε εἰς γένεσιν ἀρχή, οἷον τὸ ᾠὸν, φθείρεται μὲν, μεταστοιχειοῦται δὲ εἰς πτηνόν· καὶ ὁ κύαμος δὲ, καταμασσόμενος καὶ ἐν τῇ γῇ κρυπτόμενος, μετασχηματίζεται εἰς ἐμβρύου εἶδος· καὶ τὰ σώματα δὲ ἡμῶν εἰς σκώληκας, καὶ ἕτερα ζῶα, καὶ ἄλλα μυρία τοιαῦτα ὡς ἵπποι μὲν, σφηκῶν γένεσις· ταῦροι δὲ, μελισσῶν.

Καὶ ἔσται τὸ κακόν) λύσις τῶν προβληθεισῶν ἀντιθέσεων. εἰ ἡ φθορὰ κακὸν, φθείρει δὲ ἡ φθορὰ καὶ τὸ κακὸν, πῶς ἔσται τὸ κακὸν αὐτὸ ἑαυτὸ φθεῖρον εἰ μὴ ἐν τῇ ὕλῃ τὸ κακόν, εὔδηλον, ὡς τὸ εὐφθαρτότερον· ὕλη δὲ ἐστι, καὶ τοῦτο ἑαυτὸ φθείρει· διὰ τοῦτο γὰρ ἡ ὕλη, καὶ ἀνούσιος λέγεται κατ' ἀντιπαράθεσιν τῆς ὑπερουσίου τοῦ θεοῦ οὐσίας, ὡς αὐτὴ φθαρτὴ οὖσα, καὶ οὐκ ἀεὶ οὖσα· καὶ ἀνείδεος κατ' ἀντιπαράθεσιν τοῦ εἴδους τοῦ θεοῦ, ὡς ἐκάλεσε Μωϋσῆς τὸν δημιουργὸν λόγον. καὶ μὴ ὂν δὲ λέγεται ἡ ὕλη, κατ' ἀντιπαράθεσιν τῆς θείας κατ' οὐσίαν ὑπάρξεως.

Η κακόν) τὸ ᾗ κακόν, ἀντὶ τοῦ καθὸ κακόν.

Μᾶλλον δὲ) σημείωσαι, ὅτι καὶ ἐν τοῖς θείοις λόγοις ἀκόλουθος ἡ ἐξ ἐπιλογισμοῦ, τῶν ἀκριβεστέρων παράδοσις· ἰδοὺ γὰρ ὡς ὁρᾷς, μετὰ τὴν ἔκθεσιν τῆς προτέρας γνώμης, ἐξ ἐπιλογισμοῦ τὰ ἀκριβέστερα παραδίδωσιν.

Ministerio de Educación, Cultura y Deporte

Καὶ ἀμιγῆ, καὶ ὁλόκληρα) τὰ μὲν ἀμιγῆ ἀγαθὰ, καὶ ὁλοτελῆ ἐκ τοῦ ἀγαθοῦ ἐγγίνεται τοῖς ὑπερκοσμίοις νοητοῖς, ἅτε καὶ ἀσωμάτοις· τὰ δὲ μεμιγμένα ἀγαθὰ, περὶ τὰ λογικὰ σώματα θεωρεῖται, τουτέστιν ἐν ἡμῖν, τοῦ μὲν ἀλόγου τῆς ψυχῆς μέρους ὡς εἴρηται μετέχοντος ὕλης διὰ τοῦ σώματος τοῦ εἴδους μετέχοντος· τοῦ δὲ λογικοῦ μέρους, ῥέποντος πρὸς τὸ ἄλογον, καὶ ἐνδιδόντος ἔσθ' ὅτε αὐτῷ καὶ διὰ τοῦτο πρὸς ὕλην νεύοντος· τὸ μὲν γὰρ αὐτοκακὸν δεῖ θεωρεῖν αὐτοάπειρον, αὐτοάμετρον, αὐτοανείδεον, ἑαυτῷ κακὸν οὐσιῶδες, οὐ μὴν ἑτέρῳ κακόν· τοῦτο γὰρ εἶδος ἐστὶ, καὶ συμβεβηκὸς κακίας. δεῖ οὖν τὸ κακὸν τοιοῦτον εἶναι, οἷον ἔφην, ὥσπερ ὁ θεὸς πάντων, αὐτοπέρας καὶ αὐτόμετρον, καὶ αὐτοειδοποιὸν, καὶ αὐταγαθὸν οὐσιῶδες· οὐ γὰρ λέγω νῦν τῷ ἑτέρῳ ἀγαθόν· συμβεβηκὸς γὰρ τοῦτο· πῶς οὖν ἔσται τὸ κακὸν οὐσιῶδες, καὶ ἑτέροις, πάντων καθάπαξ τῶν ὄντων μεμιγμένως κακυνομένων καὶ ἐχόντων τὸ εἶναι ἐν τῷ ἀγαθῷ, οὐδενὸς κατὰ τὸ παντελὲς ἀμετόχου ὄντος τοῦ ἀγαθοῦ· ἀλλὰ πάντων πρὸς τὴν ἰδίαν ἐπιτηδειότητα μετεχόντων τοῦ ἀγαθοῦ. τὸ οὖν κακὸν οὐκ ἂν ὑπάρξει, ἀλλ' ἐν παρεισδύσει, ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει φαινόμενον.

Ἐκπίνεται δὲ ἄχρι τῶν ἐσχάτων) ἔσχατον νοητέον, τὰ ὑλικὰ σώματα καὶ γήϊνα· ὥσπερ γὰρ πάντων ἀρχὴ ὁ θεὸς, ὡς καὶ ἤδη ἔφημεν, οὕτω πάντων ἔσχατον τὸ σκυβαλῶδες τοῦτο τὸ παχὺ τῆς ὕλης μέρος καὶ γεῶδες· ὅθεν καὶ ὑποπόδιον λέγεται τοῦ θεοῦ, ὡς καὶ ἔσχατον, καὶ ὅμως μετέχον ἀγαθότητος αὐτοῦ, ὡς καὶ φέρον αὐτὸν ἐσχάτως· λέγει γὰρ καὶ ἡ σοφία, Βρίθει γὰρ τὸ γεῶδες τοῦτο σκῆνος, νοῦν πολυφρόντιδα, ὡς τοῦ ἀλόγου τῆς ψυχῆς μέρους μεμιγμένου τῷ ὑλικῷ σώματι, καὶ κατακρατοῦντος ἔσθ' ὅτε τοῦ λογικοῦ τῆς ψυχῆς.

Πάρεστι τἀγαθὸν) ὅσον γὰρ ἐπὶ τὸ παχύτερον, καὶ ὑλικώτερον

Ministerio de Educación, Cultura y Deporte

ὑποβαίνει τὰ ἐν δημιουργίᾳ, τοσοῦτον κατὰ στέρησιν καὶ ἔλλειψιν τοῦ ἀγαθοῦ ἧττον μετέχει, ὡς ἐξ ἀμυδροῦ καὶ ἐσχάτου ἀπηχήματος· ὡς γὰρ ἔφημεν, ἤδη ὑπόθου τινὰ βοῆσαι μέγα· καὶ τοὺς μὲν πλησίον ὄντας, καὶ ἐρρωμένους τὸ ἀκουστικὸν, ὅλην δέξασθαι τὴν βοὴν, καὶ γνῶναι, καὶ τὸ λαληθέν· τοὺς δὲ ἀφεστηκότας ἀναλόγως τῇ διαστάσει ἧττον ἀκοῦσαι τοῦ φθέγματος· τοὺς δὲ πάνυ πόῤῥω διεστηκότας ἀμυδρότατα, ὡς ἀπηχήματος ὑστάτου ποσῶς αἰσθέσθαι.

Καὶ τὴν ἑαυτοῦ στέρησιν) τὸ μὴ ἐστερημένον τοῦ καλοῦ, ἀλλὰ μερικῶς, καὶ αὐτὸ τὸ ἐστερημένον τοῦ ἀγαθοῦ, συνεστάναι ποιεῖ, τῷ ὅλως κατά τι μετέχειν τοῦ ἀγαθοῦ· οὐ γὰρ ἡ μερικὴ, ἀλλ' ἡ παντελὴς ἔλλειψις τοῦ ἀγαθοῦ ἐστὶ τὸ κακόν.

Καὶ τὰ μαχόμενα αὐτῷ) ὅρα πῶς φησὶν, ὅτι καὶ τὰ μαχόμενα τῇ δυνάμει τοῦ ἀγαθοῦ, δι' αὐτοῦ ὑπέστη καὶ σώζεται. οὐκοῦν αἴτιος τῶν κακῶν ὁ θεός; μὴ γένοιτο· ὁ μὲν γὰρ θεὸς, ὡς πάντων ἀρχὴ καὶ δημιουργὸς, δι' ὑπερβολὴν ἀγαθότητος, καὶ δι' ἀγάπην ἄφατον, καὶ ἁμαρτωλῶν ἀνέχεται, ἵνα καὶ τὴν ἰδίαν δείξῃ φιλανθρωπίαν, καὶ τὸ τοῦ πλάσματος αὐτεξούσιον· εἴρηται γὰρ, Η ἀγάπη πάντα στέγει· καὶ πάλιν, Ο ἀνατέλλων τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους.

Τὸ δὲ κατὰ πάντα τρόπον) τὸ προκείμενον αὐτῷ ἐστὶν, ἀποδεῖξαι, ὅτι οὐκ ἔστιν οὐσία, τὸ ἁπλῶς αὐτοκακὸν καὶ φησὶν, ὅτι οὐδὲν τῶν ἐν τοῖς οὖσι, καὶ ἐν δημιουργίᾳ ἀμέτοχον ἐστὶ παντελῶς τοῦ ἀγαθοῦ· τὰ γὰρ πάντη ἄμοιρα τοῦ ἀγαθοῦ, ὡς μηδὲ παραχθέντα ὑπὸ τοῦ ἀγαθοῦ, οὔτε εἰσί· τίς ἄλλος δημιουργὸς ἀλλ' οὔτε δύναταί τι ὑφεστάναι, μὴ τῆς ἕξεως, ἤτοι ποιότητος τοῦ ἀγαθοῦ μετέχον κατὰ συμβεβηκός· πολλὰ μὲν γὰρ καὶ καταλειφθέντα ὑπὸ τῆς περιγινομένης ἕξεως, ἤτοι ποιότητος, μένει συνεστῶτα· οἷον ὁ σίδηρος πυρωθεὶς, καὶ θερμότητος

Ministerio de Educación, Cultura y Deporte

ἄκρας μεταλαβὼν, σβεσθέντος τοῦ πυρὸς, μένει ὅπερ ἦν· καὶ τὸ ὕδωρ, καθ' ἑαυτὸ μὲν τὸ στοιχεῖον, ἄποιον λέγεται εἶναι· διὰ δὲ γῆς παρειὸν, ἐκεῖθεν ποιοῦται· καὶ ὅμως μετοχετευθὲν, παύεται τῆς ποιότητος, καὶ ἔτι συνέστηκεν. οὕτω καὶ τὰ χιονιζόμενα, καὶ ψυχόμενα, παυσαμένης τῆς ψυχρότητος, ἔτι συνέστηκεν. ἀλλὰ καὶ τὰ ζωῆς ἄμοιρα, ὡς δένδρα, καὶ λίθοι, καὶ ἄστρα καὶ τὰ νοῦ, ὡς τὰ κτήνη ὅμως ὑφίσταται, καὶ οὐσίας δὲ ὁ θεὸς ἐξήρηται ὑπερούσιος ὢν καὶ ὅμως ἐστὶ καὶ ὑπέρεστιν. οὕτω δὲ καὶ οὐκ ἔστιν εἰπεῖν ὅτι τοῦ ἀγαθοῦ εἰ μὴ γὰρ μετεῖχοι ποιότητος τοῦ ἀγαθοῦ, ἐν ᾧ συνίστασθαι χρὴ, ἢ οὐ δύναται ὑφεστάναι· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ ἐσμὲν, ὡς φησὶν ὁ ἀπόστολος. εἰ οὖν, ὁ ἀκόλαστος ἐν τῷ ἀκολασταίνειν, οὐκ ἐστέρηται τοῦ ἀγαθοῦ· καὶ ὅμως ὑφέστηκε. καὶ φησὶ μὲν κατ' αὐτὸ τὸ ἀκολασταίνειν, ὡς ἐστερημένος ὢν τοῦ ἀγαθοῦ, κυρίως οὐκ ἔστιν. ἀλλ' οὔτε ὄντων ἐπιθυμεῖ· τί γάρ ἐστιν αὐτοακολασία, δίχα τοῦ εἴδους τοῦ ἀκολασταίνειν. ὅμως ἐπειδὴ κατὰ ψευδοδοξίαν δοκεῖ αὐτὸς ἀγαθοῦ τινὸς ἔχεσθαι, καὶ ἑνοῦσθαι κατὰ φιλίαν τῷ συμφθειρομένῳ αὐτοῦ, καὶ διεφθαρμένη δοκεῖ ἡ φιλία εἶναι, ὅμως τοῦ θείου ἔρωτος ἀμυδρόν ἐστιν ἀπήχημα, καὶ διὰ τοῦ ἀγαθοῦ φαντασίαν ἔχει. οὐ γὰρ δεῖ ἀγνοεῖν, ὅτι ὅταν κρατηθῇ ὑπὸ τοῦ ἀλόγου μέρους τὸ λογικὸν τῆς ψυχῆς, ἐμποδίζεται μὲν τὰ οἰκεῖα ἐνεργεῖν. συνδοξάζει δὲ οὕτω λοιπὸν τῷ ἀλόγῳ, ὡς μήτε κρατεῖν αὐτοῦ τὴν ὀρθὴν, μήτε συμψηφίζεσθαι ταῖς ὀρέξεσιν· αἱ γὰρ ψευδοδοξίαι οὐκ εἰσὶ τοῦ λογικοῦ δόξαι· οὔτε αἱ ψευδεῖς διάνοιαι τὴν διάνοιαν, τοῦ λογικοῦ μέρους· οὔτε γὰρ διάνοιαι κυρίως αἱ ψευδεῖς. ἔνθεν καὶ ὁ θυμικὸς ἔσθ' ὅτε ἐσφαλμένως ἐπέξεισιν· ὅμως οὐκ ἄμοιρος ἀγαθοῦ, δοκῶν ἐπιδιορθοῦσθαι τὸν κολαζόμενον τῷ θυμῷ χρῆσθαι· καὶ ὁ αἰσχρὸς οὕτως ὑπονοῶν ἀγαθὸν τέλος, τὴν ἡδονήν. ἐκ τούτου οὖν καὶ οἱ θεομαχοῦντες, διὰ τὸ ὅλως εἶναι

Ministerio de Educación, Cultura y Deporte

ὑπὸ τοῦ ἀγαθοῦ συγχωροῦνται· τὸ γὰρ μὴ ἐστερημένον τοῦ καλοῦ, ἀλλὰ μερικῶς αὐτὸ τὸ ἐστερημένον τοῦ ἀγαθοῦ συνεστάναι ποιεῖ τὸ ὅλως μετέχειν τι τοῦ ἀγαθοῦ· οὐ γὰρ ἡ μερική, ἀλλ' ἡ παντελὴς ἔλλειψις τοῦ ἀγαθοῦ ἐστὶ τὸ κακόν· καὶ γὰρ οὐ τὸ μερικῶς, ἀλλὰ τὸ παντελῶς τοῦ ἀγαθοῦ ἐστερημένον, τοῦτο οὔτε ἦν, οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε εἶναι δύναται.

Οὔτε ὄντων ἐπιθυμεῖ) ὅτι ὁ ἀκόλαστος, εἰ καὶ κατὰ τὸ αὐτὸ τὸ ἀκολασταίνειν, οὔτε ἐστὶν, οὔτε ὄντων ἐπιθυμεῖ· ὅμως κατ' αὐτὸ τὸ τῆς ἑνώσεως καὶ φιλίας σχῆμα, ἀμυδρῶς μετέχει τοῦ ἀγαθοῦ.

Πρὸς τὸ δοκοῦν καλὸν) σημείωσαι, ὅτι καὶ ὁ τῷ θυμῷ ἀποχρώμενος, μετέχειν λέγεται τοῦ ἀγαθοῦ, ἐν τῷ πρὸς διόρθωσιν κινεῖσθαι τῶν δοκούντων κακῶν· οὕτω καὶ ὁ χείστης, ἤγουν κακίστης ζωῆς ἐφιέμενος μετέχει τοῦ ἀγαθοῦ ἐν τῷ τῆς ἀρίστης ζωῆς αὐτῷ δοκούσης ἐφίεσθαι, καὶ ὁ τὸ κακὸν δὲ μετιὼν ἐν τῷ δοκεῖν καλὸν ποιεῖν, μετέχει τοῦ ἀγαθοῦ.

Καθ' ὅσον καὶ νόσος) ἡ νόσος, εὔδηλον ὡς ἔλλειψίς ἐστιν ὑγιείας, καὶ ὑπερβολὴ σωματικῶν ὑλῶν, οὔτε μέτρων, οὔτε τάξεως ἐχομένη, ἀλλὰ δι' ἀκρασίας τῶν ὑλῶν μιᾶς ὑπὲρ τὴν εὔτακτον κρᾶσιν πλεοναζούσης ποιούντων τὴν νόσον. ἐπὶ τοσοῦτον μὲν οὖν ἡ νόσος ἐστὶν ἐν τῷ σώματι, ἐφ' ὅσον ὁπωσοῦν ἡ τάξις ἐλλείπει, καὶ τὸ σῶμα συνίσταται· εἰ γὰρ ἡ παντελὴς ἀμετρία λύσει τὸ σῶμα, τουτέστι τὴν τῶν ὑλῶν τάξιν, καὶ ἡ νόσος ἀφανίζεται, τοῦ σώματος λυομένου, ἐν ᾧ συνεστήκει ἡ νόσος· οὕτω καὶ ἐπὶ τοῦ ἀγαθοῦ ἐν ὅσῳ σώζεται ἐν ἡμῖν, ἔχομεν ἐξουσίαν πράττειν καὶ τὸ κακόν· ἀφισταμένου γὰρ τοῦ ἀγαθοῦ, οὔτε κακὸν ἐστὶν εὑρεῖν ἐν ἡμῖν.

Τὸ γὰρ πάντη ἄμοιρον) ὁ σκοπὸς τοῦ θείου Διονυσίου ἐν πολλοῖς σαφής, μαχόμενος ταῖς τινῶν Ἑλλήνων δόξαις περὶ τοῦ

Ministerio de Educación, Cultura y Deporte

κακοῦ· λέγει γὰρ μὴ εἶναι ὂν τὸ κακόν· κακὸν γὰρ αὐτὸ καθάπαξ οὐσιῶδες οὐκ ἂν εἴη, εἰ μὴ τὸ κατὰ παντελῆ ἔλλειψιν τοῦ ἀγαθοῦ ὁλοσχερῶς ἄμοιρον ὂν τούτου· τοῦτο γὰρ οὐκ ἔστιν οὐδαμοῦ εὑρεῖν, οὐδὲ ἐν τῇ ὕλῃ αὐτῇ τῇ ἀνειδέῳ, κἂν τοῦτο τισὶ τῶν ἑλλήνων δοκῇ· ὃ γὰρ ὅλως ὑπὸ θεοῦ παρῆκται, κἂν ἀμυδρῶς καὶ ἐσχάτως, μετέχει δ' οὖν ὅμως τοῦ ἀγαθοῦ. τοῦτο δὲ προϊὼν ἐν τῷ δεκάτῳ κεφαλαίῳ τούτου τοῦ προβλήματος τελείως ἀποδείκνυσιν· εἰ γὰρ μικτὸν εἴη τῷ ἀγαθῷ τὸ κακόν, τουτέστι, τῇ μὲν μὴ ὂν διὰ τῆς ἐπ' ὀλίγον ἐλλείψεως τοῦ ἀγαθοῦ· τῇ δὲ μὴ ὄν, διὰ τὸ εἶναι ὅλως τὸ τοιοῦτο, οὐ κακὸν τοῦτο· οὐ γὰρ ἐν τῇ ὁπωσοῦν ἐλλείψει, ἀλλ' ἐν τῇ παντελεῖ ἐλλείψει τοῦ ἀγαθοῦ, τὸ κακόν. τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ, οὐ κακόν· δύναται γὰρ καὶ τέλειον εἶναι, ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν· ἔστι μὲν γάρ τι, ὡς πρὸς μὲν τὸ ἀγαθόν, ἐλλιπές· ὡς δὲ πρὸς τὴν ἑαυτοῦ φύσιν, τέλειον, ὃ δή, ἀγαθὸν μέν ἐστι, κακὸν δὲ οὐδαμῶς. καίτοι τε ἐλλείψεως, μετέχον, ὡς πρὸς τὸ πρῶτον ἀγαθόν· τὸ δὲ μὴ παντελῶς ἄμοιρον τοῦ ἀγαθοῦ, ἀλλὰ κατὰ τὸ πλέον ἐγγίζον τῷ κακῷ, οὐ πάντη κακόν· ὥσπερ καὶ τὸ ἔλαττον, ἐγγίζον τῷ ἀγαθῷ, ἔχει τι τοῦ ἀγαθοῦ, καὶ οὐσιοῦται ἐξ αὐτοῦ· καὶ τὴν ἑαυτοῦ στέρησιν οὐσιοῖ ἐν τῷ ὅλως μάχεσθαι ἐκ τοῦ ἀγαθοῦ· εἰ γὰρ ἀκρατῶς καὶ παντελῶς ἀπουσία εἴη τοῦ ἀγαθοῦ, δῆλον ὡς οὔτε καθ' ὅλου ἀγαθόν, οὔτε μικτὸν ἀγαθόν, οὔτε αὐτοκακόν· ἔνθα γὰρ οὐκ ἔστι τὸ ἀγαθόν, οὐδ' ἔστι τι ἐν τῇ φύσει. πῶς οὖν ἔσται τὸ κακὸν μὴ ὑπό τινος οὐσιούμενον· ἄνελε γὰρ τὰ σώματα, καὶ τὸ φῶς, καὶ οὐκ ἔσται σκιά. οὐκοῦν οὐκ ὂν τὸ κακὸν ἁπλῶς, ἀλλ' ὡς ἐν ὑποκειμένῳ· τὸ δὲ ἀγαθόν, καὶ δίχα τοῦ ὑποκειμένου καὶ φύσιν ἔχει, καὶ σώζεται, καὶ αὐτὸ καθ' ἑαυτὸ ἀγαθόν· τὸ δὲ κακὸν δίχα τοῦ ὑποκειμένου τοῦ ὑπὸ τοῦ ἀγαθοῦ φυλαττομένου. πάντα γὰρ ἐξ αὐτοῦ, οὔτε ἔστιν, οὔτε φαίνεται, οὔτε φθείρεται· πῶς γὰρ

μὴ

Ministerio de Educación, Cultura y Deporte

μὴ ὄντος ὑποκειμένου τινός, ἀλλὰ παντελῶς ἀνύπαρκτον, καὶ οὐδαμῇ οὐδαμῶς ὄν.

Καὶ οὐσιοῖ) τουτέστιν οὐσιοῖ τὸ κακόν· εἰ γὰρ τὸ κακόν, στέρησίς ἐστι τοῦ ἀγαθοῦ· τὸ δὲ ἀγαθὸν, οὐσιοῖ τὴν ἑαυτοῦ στέρησιν· οὐσιοῖ ἄρα τὸ κακόν, ὅπερ στέρησίς ἐστι τοῦ ἀγαθοῦ.

Τῇ ὅλως αὐτοῦ μεθέξει) ὅτι τῇ μερικῇ τοῦ ἀγαθοῦ μεθέξει, καὶ ἡ στέρησις αὐτοῦ οὐσιοῦται.

Ἡνίκα, τοῖς μὲν, ἐστὶ κακόν) ταῦτα εἴδη εἰσὶ τοῦ κακοῦ, ὡς προείπομεν· οὐ γὰρ τὸ οὐσιῶδες, αὐτοκακόν, ὃ μηδὲ ἐστί· τὸ γὰρ τόδε εἶναι κακόν, ἡδονῆς δὲ ἀλλαγαῖς ὡς ἀγαθοῦ τινὸς ἀντέχεσθαι, οὐκ αὐτοκακόν, ἀλλ' εἶδος κακοῦ· τὸ γὰρ πάντη κακόν, αὐτὸ οὔτε ἐστὶν, ἐπειδὴ μετέχει, καὶ κατ' ἔσχατον ἀπήχημα τοῦ ἀγαθοῦ· ὅρα γάρ, τί φησι προκατιών· εἰ γὰρ πάντα μετέχει τοῦ ἀγαθοῦ, καὶ ἐν πᾶσι τοῖς οὖσιν ἐστὶ τὸ ἀγαθὸν, τὸ κακὸν προδήλως, ἢ οὐκ ἔστιν, ἢ ἐν τῷ ἀγαθῷ ἐστίν· οὐδὲ γὰρ φύσις πυρὸς τὸ ψύχειν· εἰ δὲ ἄρξεται ψύχειν, οὐκ ἔσται πῦρ· οὐκοῦν καὶ τὸ κακόν, ἐὰν μὲν ὑπῇ, μετέχει ἀμυδρῶς τοῦ ἀγαθοῦ· πάντα γὰρ τὰ ὄντα ἐν τῷ ἀγαθῷ εἰσί, καὶ μένουσιν. εἰ δὲ οὐδὲν ἔχει ἀγαθοῦ, οὔτε ὕπεστιν· αὐτὸ γὰρ τὸ θέλειν ὑπεῖναι, ἀγαθῆς ἐστὶ μεταλήψεως, ὡς ἀνωτέρω πολλάκις εἴρηται.

Ἄτοπον καὶ ἀδύνατον) σημείωσαι, ὅτι τὸ ἐπὶ τοῦ θεοῦ καλῶς λέγεται ἔν τισι, τὸ οὐ δύναται, ὡς καὶ ὁ ἀπόστολος φησίν, Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, καὶ ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.

Πᾶσα γὰρ δυὰς) ὅτι πᾶσα δυὰς οὐκ ἀρχή· μονὰς δὲ, πάσης δυάδος ἀρχή. σημείωσαι κατὰ μανιχαίων.

Παντελῶς ἐναντία) σημείωσαι ταῦτα· πάνυ γὰρ κατὰ μανιχαίων ἀγωνίζεται, τὴν δυάδα ἀρχῶν ἐναντίων δογματιζόντων ἀνοήτως· ἡ μὲν γὰρ ἀριθμητική, τὸ ἐν ἀριθμοῖς διαίρεσιν

ἔχον πλήθους, εἰς πέρας ἀνάγει, τὴν μὲν μονάδα, τοῦ παντὸς ἀριθμοῦ ἀρχὴν τιθεμένη· τὴν δὲ δυάδα, τῶν ἀρτίων. ἡ τοίνυν ἀρχὴ, τὸ ἁπλούστατον ἐν ἑκάστῳ γένει, δηλοῖ. πῶς οὖν ἡ δυὰς, ἀρχὴ πάντων ἔσται· οὐ γάρ ἐστιν ἁπλῆ ἀρχὴ ἡ δυὰς, ἀλλὰ σύνθετος. οὐκοῦν οὐχ ἁπλοῦν ἡ ἐκ συνθέσεως ἀρχή. καὶ πῶς ἂν κληθείη ἀρχή· πρὸ γὰρ τῆς συνθέτου ταύτης ἀρχῆς ἔσται ἡ κυρίως ἀρχὴ, τὸ ἓν, ἀφ' οὗ μονάδων συντεθεισῶν, δυὰς ἀπετελέσθη. δῆλον οὖν ἁπανταχόθεν, ὡς ἀσύστατον τῶν δύο ἀρχῶν τὸ δόγμα.

Καὶ μὴν οὔτε δύο) ὅτι οὐ δυνατὸν δύο ἐναντίας ἀρχὰς ἐναντίων εἶναι).

Οὐχ ἐκτὸς δυσχερείας) οὐκ ἀβλαβής.

Διὸ καὶ φίλα τὰ ἀγαθὰ) ἐπειδὴ τοῦ ἀγαθοῦ πάντα μετέχει, καὶ αὐτῷ τῷ εἶναι εἰς τὸ ἀγαθὸν ἀνάγονται, τὸ ἀγαθὸν καὶ τὸ καλὸν τῶν πάντων, οὐκ ἂν εἴη τὸ πρῶτον καλὸν, οὗ πάντα μετέχοντα, καλὰ γίνονται, ὁμοιωθέντα πως τῇ μεταλήψει τοῦ καλοῦ, πλὴν πολλῷ ἀμυδρότατα ὁμοιοῦται τοῦ ἑνὸς ἀγαθοῦ καὶ καλοῦ, καθάπερ αὐξομένου, καὶ εἰς τὴν τῶν καλῶν φύσιν ἐκφαινομένου ὅθεν, Καὶ πάντα καλὰ λίαν· ἡ δὲ τῶν καλῶν φύσις προϊοῦσα κατὰ πλῆθος, ἤδη πως καὶ εἰς τὰ σύνθετα, ἃ δὴ καὶ μάλιστα καλὰ εἰώθασι καλεῖν οἱ ἄνθρωποι, ἀποδείκνυται πολλαχῶς τοῦ καλοῦ συντιθεμένου, καὶ κατὰ πολλοὺς τρόπους λεγομένου· τὸ δὲ ἐν τοῖς οὖσι καλὸν, οὔτε οὐσία ἐστὶν, οὔτε γένος, ἀλλὰ συμβεβηκὸς ὁμοιότητά τινα κεκτημένον. κατὰ μικρὸν συναπλουμένην· οὐ γὰρ καθ' ἓν εἶδος λέγεται τὰ καλὰ, ἀλλὰ πολλαχῶς. προσέοικε δὲ μόνον ἀλλήλοις ὡς ὅμοια καὶ πολυειδῶς περὶ τὸ καὶ αὐτὰ καλὰ εἶναι κατὰ τὰ οἰκεῖα εἴδη ἕκαστα, καὶ κατὰ τοῦτο, ἅτε ὁμοιούμενα καὶ προσήγορα ὄντα ἀλλήλοις.

Ministerio de Educación, Cultura y Deporte

Εἰ δὲ ἐν θεῷ τἀγαθόν) ὅτι τὸ ἀγαθὸν ἐν θεῷ ὕπαρξίς ἐστιν.

Οὔτε ἁπλῶς) ἀντὶ τοῦ ἀϊδίως.

Κατὰ χρόνον) ἀντὶ τοῦ μεθεκτῶς.

Ἀλλ' οὔτε ἐν ἀγγέλοις) περὶ ἀγγέλων, ὅτι οὔτε ἐν αὐτοῖς τὸ κακόν, καὶ διότι ἄγγελοι λέγονται.

Τὴν ἀγαθότητα τὴν θείαν) θεῖα λέγει τὰ περὶ φύσεως ἀγγέλων τῶν μεινάντων θεοειδῶν. εἴπε μὲν γὰρ ἀνωτέρω, διὸ καὶ ἀγαθοειδεῖς καὶ οὐκ αὐταγάθους τοὺς ἀγγέλους φησί. κατὰ τὰς αἰτίας τοίνυν ταύτας, οὔτε ἐν ἀγγέλοις τὸ κακόν. ἐτυμολογεῖ δέ, διὰ τί ἐκλήθησαν ἄγγελοι.

Εἰκὼν ἐστὶ τοῦ θεοῦ) σημείωσαι, ὅτι τοὺς ἀγγέλους, εἰκόνας φησὶ τοῦ ἀγαθοῦ· καὶ σημείωσαι πῶς τοῦτο λέγει.

Ἀλλὰ τῷ κολάζειν) ὡς ἐξ ὑποκρούσεως προσλαμβάνει τὴν τινῶν αἱρέσεων ἀντίθεσιν, τῶν τοὺς κολαστὰς κελεύσει θεοῦ ἀγγέλους, καὶ αὐτὴν δὲ τὴν κόλασιν, τοῦ κακοῦ τιθεμένων. καὶ εὐθὺς ἐκλύει ταῦτα φιλοσοφώτατα, καὶ προσφυῶς, καὶ ἐκ τῶν ἱερέων τῶν τοὺς ἐναγεῖς καὶ βεβήλους τῆς ἐκκλησίας εἰργόντων καὶ ἐξωθούντων ἐπὶ βεβήλοις καὶ ἐναγέσι πράξεσι, δηλῶν ὡς οὐδὲ αὐτοὶ συμφυρόμενοι τοὺς ἐναγεῖς, ἐκ τοῦ κακοῦ εἰσί· μὴ γένοιτο· εἴρηται γάρ· Οὐ γὰρ εἰκῆ τὴν μάχαιραν φορεῖ· διάκονος γὰρ ἐστὶ θεοῦ εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. σημείωσαι οὖν τὰς λύσεις· πολλὰς γὰρ ζητήσεις διαλύει τῶν λεγόντων, εἰ ἐκ θεοῦ οἱ δήμιοι, καὶ οἱ ἄρχοντες.

Οἱ τὸν βέβηλον, τῶν θείων μυστηρίων ἀπείργοντες) σημείωσαι, ὅτι δεῖ τοὺς βεβήλους ἀπείργεσθαι τῶν θείων μυστηρίων διὰ τῶν ἱερέων.

Οὐδὲ τὸ κολάζεσθαι) ὅτι οὐ τὸ κολάζεσθαι κακόν, ἀλλὰ τὸ κολάσεως ἄξιον γενέσθαι.

Ἀλλ' οὔτε οἱ δαίμονες) ὅτι οὔτε οἱ δαίμονες φύσει κακοί.



Ministerio de Educación, Cultura y Deporte

Ἔπειτα, οὐδὲ τοῦτο παντί) σημείωσαι, ὅτι οὐ παντὶ καὶ πάντῃ κακὸν ἡ φθορά, ὡς ἐπὶ θηρίων, καὶ ἑρπετῶν, καὶ βοτανῶν ὀλεθρίων.

Ἀλλ' οὐδὲ φθείρεται) ὅτι οὐδὲ φθείρεταί τι τῶν ὄντων, καθ' ὃ οὐσία.

Ἀλλὰ τί ἐλλεί(ψει) σημείωσαι, ὅτι φθορὰν καλεῖ, καὶ τὴν πλημμελῆ καὶ ἀναρμόνιον παρὰ τὴν τάξιν κίνησιν τῆς φύσεως. ἔχει δὲ καὶ τοῦτο παρὰ τῷ Ἰεζεκιὴλ περὶ τοῦ διαβόλου, ἐφθάρη ἡ ἐπιστήμη σου σὺν τῷ κάλλει σου. φησὶ δὲ τὸ παρ' Ἕλλησι καὶ Μανιχαίοις λεγόμενον διαλύων, ὅτι οὔτε οἱ δαίμονες φύσει κακοί. εἶτα τὰ καθ' ὑπόθεσιν παρ' αὐτῶν ἀντιτιθέμενα προτίθησι καὶ διαλύει, λέγων, πρῶτον μὲν οὐ φθείρουσιν οἱ δαίμονες οὐσίας· αἱ γὰρ οὐσίαι καθ' ὃ οὐσίαι, οὐ χωροῦσιν εἰς ἀνυπαρξίαν· ἔπειτα, καὶ εἰ τοῦτο ἦν, οὐ πᾶσιν οὐδὲ πάντων ἡ φθορὰ κακή, ὡς ἐν τοῖς θηρίοις, καὶ τοῖς ἕρπουσιν, καὶ πόαις ὀλεθρίαις καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις. ζητητέον οὖν, μὴ δύναμιν ἢ ἐνέργειαν φθείρουσιν οἱ δαίμονες, καὶ πῶς ἐν συντόμῳ χρὴ εἰπεῖν, τί δύναμις, καὶ τί ἐνέργεια. ἰστέον οὖν, ὅτι ἡ διαφορὰ τῆς δυνάμεως πρὸς τὴν ἐνέργειαν τοιαύτη ἐστίν, ὡς ἡ ἕξις πρὸς τὴν ἐνέργειαν τὴν κατὰ τὴν ἕξιν. ἡ μὲν οὖν ἕξις, ποιότης ἐστὶν ἔμμονος. σαφὲς δὲ ἔσται οὕτως· τὸ πῦρ δύναμιν ἔχει θερμαντικήν, καὶ ἔστιν αὐτοῦ ἕξις, ἤτοι ποιότης, τὸ θερμαντικόν. ἔστιν οὖν ἐνέργεια ἡ κατὰ τὴν ἕξιν, ἤτοι ποιότητα, ὅτε καὶ τὸ σῶμα θερμαίνεται· ἰδοὺ γὰρ ἀποτελεῖται ἡ ἐνέργεια τῆς ἕξεως τοῦ πυρός. ἡ οὖν δύναμις παρ' ἑαυτῆς ἔχει τὴν ἐνέργειαν· αὐτῆς γὰρ ἐστὶ τῆς δυνάμεως ἡ ἐνέργεια, τὸ ἐξ αὐτῆς ἀποτελούμενον· ἡ γὰρ δύναμις κατὰ τὸ ποιεῖν λαμβάνεται. φθορὰ οὖν δυνάμεως ἡ ἐνέργεια. ὥσπερ οὖν καὶ οὐσίας ἡ δύναμις, τοῦ-

Ministerio de Educación, Cultura y Deporte

τον δὲ καὶ περὶ τῆς ἐνεργείας ἡ παρὰ τὴν τάξιν, καὶ τὴν συμμετρίαν, καὶ ἁρμονίαν ἀσθενὴς πρόοδος, καθ' ἣν περιοῦσαν πλημμελῶς οὐ δύναται μένειν ὡς εἶχεν ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ οὐσία· εἰ γὰρ παντελὴς, ὡς ἔφημεν, ἔσται ἀσθένεια, οὐ μὴν ἡ μερικὴ τῶν εἰρημένων· καὶ τὸ ὑποκείμενον φθείρει ἐν ᾧ ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ οὔτε ἡ δύναμις, καὶ ἡ ἐνέργεια, ὡς οὔτε ἡ οὐσία, ἀλλ' οὔτε αὐτὴ ἡ φθορὰ παραλειφθήσονται, ἀπολομένων ἐκείνων περὶ ἃ ἡ φθορά. ἐνέργεια μὲν οὖν νοητῶν καὶ νοερῶν νόων, τὸ κατὰ φύσιν πράττειν, τουτέστι τὸ εἰς θεὸν ἀναπετάσθαι. δύναμις δὲ νοῦ, τὸ εἰς νόησιν καθιέναι, περὶ οὗ τὰ εἰρημένα πλημμελῶς κινούμενα ἐλλείπουσι τοῦ ἀγαθοῦ. φύσει οὖν κακὸν οὐδέν.

Ἀλλ' ἐλλιπὲς ἀγαθόν) ὡς μὴ τὴν τελείαν φθορὰν τῆς φθορᾶς εἰσάγον.

Εἶτα, πῶς οἱ ἐκ θεοῦ) πρὸς τοὺς λέγοντας, εἰ ἐκ θεοῦ ἐγένοντο οἱ δαίμονες πῶς εἰσὶ κακοί. ἔστι δὲ λύσις τῆς πεύσεως τοῦ κακοὶ εἰσὶν οἱ δαίμονες· καὶ φησὶν ὅτι οὐ καθὸ ἀγαθοί εἰσι κατὰ τὴν παραγωγὴν τῆς οὐσίας αὐτῶν· ἐκ τοῦ ἀγαθοῦ γὰρ παρήχθησαν κακοί· ἀλλὰ καθὸ ἠσθένησαν τῆς φυσικῆς αὐτῶν ἐνεργείας.

Καὶ ἀγαθὴν ἔλαχον οὐσίαν) ὅτι ἀγαθὴ τῶν δαιμόνων ἡ οὐσία.

Ὡς τὰ λόγια φησὶ) σημείωσαι πῶς νοεῖ τὸ, ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν· ἀρχὴν γὰρ αὐτῶν φησὶ, τὴν εἰς τὸ εἶναι παραγωγήν· παρήχθησαν γὰρ καὶ αὐτοὶ εἰς πᾶν ἔργον ἀγαθὸν, ὥσπερ καὶ ἡμεῖς. ἐκ τούτων οὖν εἰσὶν οἱ δαίμονες, ἐν τούτῳ μόνῳ κακυνόμενοι ἐν τῇ παύσει τῆς ἕξεως



Ministerio de Educación, Cultura y Deporte

τῶν ἀγαθῶν, καὶ ἐν τῷ μὴ ἐνεργεῖν τὸ ἀγαθόν. ὥστε κατὰ προαίρεσιν εἰσὶ κακοί, ἀλλ' οὐ κατὰ φύσιν· τὸ δὲ ἀγαθὸν πρόσεστι τοῖς οὖσι κατὰ φύσιν. πολλὴ ἡ τούτων διαφορά.

Τῶν θείων ἀγαθῶν ἕξεως) σημείωσαι τὸ ἕξεως καὶ ἐνεργείας· ἰδοὺ γὰρ ἣν προεῖπε δύναμιν, ταύτην νῦν ἕξιν φησίν, ὡς ἡρμηνεύσαμεν ἐν τοῖς ἀνωτέρω ἐν τῇ μεγάλῃ παραγραφῇ.

Οὐκοῦν, εἰ ἀεὶ) ὅτι οὐ πάντη ἄμοιροι οἱ δαίμονες τοῦ ἀγαθοῦ.

Τὸ γὰρ ἀεὶ ταὐτὸν) ὅτι τὸ ἀεὶ ταὐτὸν, ἴδιον τοῦ ἀγαθοῦ.

Κακοὶ δὲ εἶναι) διὰ τί κακοὶ λέγονται οἱ δαίμονες.

Αὐτοῖς ἔκβασις) ἔκβασιν, τὴν ἀναχώρησιν τοῦ ἁρμόζοντος λέγει· ἀπώλειαν δὲ, τὴν τοῦ τελείου, ἤτοι τῆς τελειότητος τὴν ἔλλειψιν.

Φαντασία προπετής) τί δὲ φαντασία, ἐν τῷ προτέρῳ κεφαλαίῳ εἴπομεν.

Ἀλλὰ ταῦτα) ἰδοὺ καὶ ἑτέρα λύσις, τοῦ μὴ εἶναι τὸ κακόν, φύσει κακόν, ἀλλὰ κατὰ ἔκπτωσιν τοῦ ἀγαθοῦ· τὸ γὰρ ἐν φύσει ὄν, ἀεὶ ὡσαύτως ἔχει, καὶ οὐ καταβάλλεται, ὥσπερ αὐτὸ τὸ ἀγαθόν· τὸ δὲ κακόν, ἄστατόν ἐστιν, ἐπειδὴ φθείρει καὶ ἀλλοιοῖ τὸ προστυχόν, ὡς εἴπομεν ἄνω. οὐκοῦν οὐκ ἐν φύσει τὸ κακόν, ὥσπερ ἐπὶ τῶν δαιμόνων φησὶν ὁ θεῖος οὗτος ἀνήρ· εἰ γὰρ οὐκ ἀεὶ κακοὶ οἱ δαίμονες, οὐ φύσει κακοί· τὸ γὰρ ἐν φύσει ὄν, ἀεὶ ὡσαύτως ἔχει· ἀπέδειξεν οὖν, ὅτι καὶ δαίμονες καθὸ εἰσί, καὶ νοοῦσι, καὶ ζῶσι, καὶ ἔφεσιν ἔχουσι τοῦ ἀγαθοῦ, οὐκ εἰσὶ φύσει κακοί· ἀλλὰ κατὰ παρατροπὴν τοῦ ἀγαθοῦ, ἐν ᾧ καὶ ἐγένοντο.

Οὐδὲ αὐτὰ καθ' αὐτὰ κακά) ὁ θυμὸς ὁ ἄλογος καθ' ἑαυτόν, καὶ ἡ ἄνους ἐπιθυμία καθ' ἑαυτήν· καὶ ἡ προπετὴς φαντασία, οὐ πάντως καὶ ἐπὶ πάντων κακόν, καθ' ἑαυτὰ σκο-

Ministerio de Educación, Cultura y Deporte

πούμενα, ἀλλ' ἔσθ' ὅτε καὶ ἡ ἀναίρεσις αὐτῶν λυμαίνεται τῷ ταῦτα ἔχοντι ζώῳ, ὥς φησι τελείως ἐν τῷ ζ'. κεφαλαίῳ τούτου τοῦ λόγου. καλῶς δὲ ἐν ταῖς χρήσεσι ταύταις τὰ διαβάλλοντα τέθεικεν, ἐπεὶ ἔστι καὶ θυμὸς μετὰ λόγου, ὡς ὁ κατὰ τῆς ἁμαρτίας, καὶ κατὰ τῶν ἐχθρῶν τοῦ θεοῦ. καὶ ἐπιθυμία ἔννοιας, ὡς τὸ ἐπιθυμεῖν τοῦ βελτίονος, καὶ τὸ, Ἐπιθυμίᾳ ἐπεθύμησα φαγεῖν τὸ πάσχα τοῦτο μεθ' ὑμῶν. οὕτως ἔστι καὶ φαντασία οὐ περιπετής, καθ' ἣν ἐφαπτόμεθα τῶν νοητῶν τῷ νῷ ἡμῶν τοῦτο ποιοῦντες.

Οὐχ ἡ σχέσις) σχέσιν μὲν φησίν, αὐτὸ τὸ ἔχειν ἁπλῶς. τὰ δὲ περιειρημένα, λέγω δὴ θυμὸς καὶ τὰ συνημμένα τῆς ἐν τοῖς ζώοις ἰδιότητος, συστατικαὶ δυνάμεις εἰσὶ, καὶ κατὰ τοῦτο οὐ κακὸν τὰ τοιαῦτα.

Ἀλλ' ἢ οὐκ ἔστι) κατὰ κοινὸν τὸ κατὰ φύσιν.

Οὐ μήποτε αὐτὰς) ἰδοὺ ἐνταῦθα σαφῶς φησὶν, ὅτι ἐξ ἀγγέλων οἱ δαίμονες· τὰς γὰρ δοθείσας αὐτοῖς ἀγγελικὰς δωρεὰς οὐκ ἀποβάλλουσι, τουτέστιν ὅπερ ἐκ φύσεως ἔχουσιν ἀγαθὸν, οὐ μετατρέπουσιν, εἰ καὶ αὐτοὶ μὴ βούλονται ὁρᾷν τὸ ἐν αὐτοῖς φῶς, μύσαντες αὐτῶν τὰς ἀγαθοπλικὰς δυνάμεις, ὡς τὸ εἰρημένον περὶ τῶν Ἰσραηλιτῶν, Τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, μήποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. σημείωσαι δὲ, ὅτι φωτοειδεῖς καὶ οἱ δαίμονες· μᾶλλον δὲ φῶτα κατ' οὐσίαν, ὡς καὶ οἱ λοιποὶ ἄγγελοι. οὕτω καὶ ἐν εὐαγγελίοις, Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπήν.

Λέγονται κακοὶ) οὐχ ἁπλῶς τὸ λέγεσθαι, ἀλλὰ τὸ ὂν τῇ φύσει ζητητέον. τὸ δὲ καθὸ οὐκ εἰσὶν, οὕτω νοητέον, οὐ γεγόνασιν ἐπὶ παρεκτροπῇ τῶν θεόθεν αὐτοῖς δεδομένων ἀγαθῶν ἕξεών τε καὶ ἐνεργειῶν, ἥν τινα ἀποτεμόμενοι, γεγόνασι κακοί, καθ' ἣν



Ministerio de Educación, Cultura y Deporte

ὅτι εἰσὶ τὸ εἶναι λαχόντες.

Καὶ τοῦ μὴ ὄντος) πῶς οἱ τοῦ μὴ ὄντος ἐφιέμενοι, τοῦ κακοῦ ἐφίενται λεκτέον. ὁ θεὸς ὄν ἐστιν ὑπὲρ τὰ ὄντα· καὶ ἡ ἀλήθεια οὖν τὸ ὄν ἐστιν, ἐπειδὴ καὶ ἡ ἀλήθεια ὁ θεός ἐστιν· εἰκότως οὖν τὸ ἀντικείμενον τῇ ἀληθείᾳ, ψεῦδός ἐστι, μήτε ὄν· ἔξω γάρ ἐστι τοῦ θεοῦ παντελῶς· μήτε εἰκὼν ἀληθείας ὄν· οὐδὲν γὰρ ἀγαθὸν ἐκ τοῦ θεοῦ ἔχει· ἐπειδὴ δὲ πείθει τινάς ὅλως εἶναι τι, ἔσται σκοτεινὸν καὶ ἀμυδρὸν τῶν ὁπωσοῦν ὄντων εἴδωλον. διὸ καὶ ἐνεργείᾳ εἴδωλον, καὶ ἐνεργείᾳ ψεῦδος, τουτέστιν ἀληθινῶς καὶ ὄντως ψεῦδος· ὅθεν καὶ ἐνεργείᾳ μὴ ὂν τὸ ὄντως μὴ ὄν· οὐκ ὄν ἐστι, καὶ ὄντως μὴ ὄν. τοιγαροῦν ὥσπερ καὶ ἐπὶ τῶν ψευδῶς ὄντων, καὶ τὸ ὅλον τοῦτο ψεῦδος ὄντων, τὸ ψεῦδος ἀναιρεθὲν, πᾶσαν τὴν οὐσίαν τοῦ πράγματος ἀναιρεῖ· οὕτω καὶ ὁ τοῦ ψεύδους ἐρῶν, ὥσπερ οἱ δαίμονες, τοῦ μὴ ὄντος ἐρᾷ, καὶ ἐν τῷ ὄντι, τουτέστιν ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὡς αὐτὴ ἡ ἀλήθεια φησίν. οἱ οὖν δαίμονες καθὼς φησὶν ὁ Ἰησοῦς, ψεῦσται ὄντες, καὶ πατέρες τοῦ ψεύδους, ἅτε εἰσὶ, καὶ τοῦ μὴ ὄντος ἐφίενται, ὅταν τοῦ κακοῦ ἐφίενται τοῦ ψεύδους.

Εἰ δὲ τὸ κακύνεσθαι) σημείωσαι, ὅτι τὸ συγγίνεσθαι κακοῖς, ἐπὶ προνοίᾳ τοῦ καὶ αὐτοὺς ἀγαθύνεσθαι, οὐ κακὸν, κατὰ τὸ εἰρημένον, Ἐγενόμην τοῖς ἀνόμοις, ὡς ἄνομος, ἵνα καὶ ἀνόμους κερδήσω. ἔφημεν δὲ καὶ ἀνωτέρω ἐν τῷ ε. κεφαλαίῳ, μὴ παντελῆ στέρησιν γίνεσθαι τοῦ ἀγαθοῦ ἐν τοῖς οὖσιν, ἐπεὶ καὶ παντελὴς ἐγίνετο φθορὰ καὶ αὐτῆς τῆς φθορᾶς, ἀλλὰ κατ᾽ ἔλλειψιν τοῦ ἀγαθοῦ μερικήν· οὐκοῦν κατὰ τοῦτο, οὔτε ἡ ψυχὴ παντελὲς ἔχει τὸ κακὸν, ἀλλὰ, τὸ μὲν, ἕξει· τὸ δὲ, οὐχ ἕξει· καὶ τὸ μὲν, ἀγαθὸν, οὐσιῶδες· τὸ δὲ, κακὸν, ἔξωθεν. ἀλλὰ καὶ οὕτως ἐρεῖ τις κακὸν εἶναι τῇ ψυχῇ τὸν ἐμποδισμὸν, τῆς οἰκείας κατὰ φύσιν ἐνεργείας· εἰ καὶ ἔξωθεν τινὶ ἦν ὁ ἐμποδισμὸς, ἀλλ᾽ οὖν

Ministerio de Educación, Cultura y Deporte

ὡς ἐν σκότῳ βλέπειν κωλυομένη ψυχὴ, ποιήσει κακά. πρὸς ὃ λεκτέον, ὅτι ἐκ τῶν εἰρημένων δείκνυται ὁ ἐμποδισμὸς ποιητικὸν κακοῦ, οὐ μὴν αὐτοκακόν· οὐ γὰρ ἡ κακία πρῶτον κακὸν, ἀλλ' εἶδος κακοῦ, ὥσπερ ἡ ἀρετὴ συνεργόν τι ἐστὶ πρὸς ἀγαθὸν, οὔτω πρῶτον ἀγαθόν.

Τὸ κακὸν, ὡς ὂν κακόν) τουτέστιν οὐκ οὐσία τις τὸ κακὸν, ἀλλ' οὐδὲ ἐν τοῖς κατ' οὐσίαν οὖσι, ὡς συμπληρωτικὸν ταύτης ὁρᾶται, ὥσπερ δύναμις καὶ ἐνέργεια τὸ κακόν· καὶ πρὸς τὴν τοιαύτην τῆς ἐννοίας ἀπόδοσιν, ὁ πᾶς περὶ τούτου σκοπὸς ὁρᾶται τοῦ πατρός.

Ἀλλ' ὡς ἔλλειψις) πῶς νοεῖται τὸ κακόν.

Ἀλλ' οὐδὲ ἐν ζώοις) ὅτι οὔτε ἐν ζώοις ἀλόγοις ἐστὶ τὸ κακὸν, ἐπεὶ μήτε φύσει κακά εἰσιν, ἀλλ' οὔτε αἱ σχέσεις αὐτῶν κακαὶ, οἷον θυμὸς, ἐπιθυμία, φαντασία προπετής.

Εἰ γὰρ ἀνέλοις) ὅτι φυσικαί εἰσιν αἱ σχέσεις τῶν ἀλόγων, ὥσπερ λέοντι καὶ ἑρπετοῖς ὁ θυμὸς, καὶ κυσὶ τὸ ὑλακτικόν· ὅθεν ὡς φυσικαὶ, οὔτε κακαί.

Ἀλλ' οὐδὲ ἐν τῇ ὅλῃ) φύσις ἐστὶ καθ' ἕξιν θεία τέχνη εἰς γένεσιν προϊοῦσα, ἧς θείας τέχνης τὰ ἀποτελέσματα, φυτά τε καὶ ζῶα καὶ καρποὶ, καὶ τῶν στοιχείων εἰς ἄλληλα μεταβολαὶ, καὶ ὅλως καθ' ἑαυτὴν ἡ οὐσία τῶν φυομένων, ἀρχὴ κινήσεως οὖσα καὶ στάσεως. ὥσπερ οὖν ἐπὶ τῶν κηροπλάστων καὶ τῶν τὰς πλαστικὰς μετιόντων τέχνας, δεῖ εἶναί τι ἐν αὐτοῖς μένον, τουτέστι λόγον καὶ νοῦν, οἳ διὰ χειρῶν ποιοῦσι τὰ ἑαυτῶν ἔργα· οὕτω καὶ ἐπὶ τῆς φύσεως τῶν ὅλων, ἐστί τι ἐν αὐτοῖς μένον, τουτέστιν ἡ δύναμις, οὐ διὰ χειρῶν ἐργαζομένη, ἀλλὰ βούλησις καὶ διανόησις οὖσα θεοῦ, προϊοῦσα οἷον τέχνη εἰς γένεσιν τῶν φυομένων· οὐ γὰρ δεῖται ἡ φύσις τινῶν μενόντων, ἑτέρων δὲ ὡς κινουμένων· ἡ γὰρ ὕλη ἐστὶν ἡ εἰς γένεσιν κινουμένη· τὸ δὲ κινοῦν

Ministerio de Educación, Cultura y Deporte

αὐτὴν, ὁ ἀκίνητος ἐστὶ λόγος, ὁ ἐν τῷ ὅλῳ, ὅς ἐστιν ἡ θεία τέχνη, ἣν ἔφημεν φύσιν, εἶδος οὖσα, οὐ μὴν ἐξ ὕλης καὶ εἴδους· οὐ γὰρ αὐτὴ ὕλης δεῖ, θερμῆς ἢ ψυχρᾶς· ἡ γὰρ δεδημιουργημένη ὕλη, τοῦτο φέρει ἐν ἑαυτῇ· οὐ γὰρ δεῖ πῦρ προσελθεῖν, ἵνα πῦρ ἡ ὕλη γένηται, ἀλλὰ λόγον, ὃ καὶ σημεῖόν ἐστιν, οὐ μικρὸν τοῦ καὶ ἐν τοῖς ζώοις καὶ τοῖς φυτοῖς, τοὺς λόγους εἶναι τοὺς ποιητικοὺς κατὰ τὴν φύσιν εἶναι λόγον τὸν μένοντα· λόγους δὲ τοὺς κατὰ τὰς μορφὰς τῶν ὁρωμένων, τῆς φύσεως εἶναι γεννήματα, ἤτοι τοῦ κατ' αὐτὴν ἀκινήτου καὶ μένοντος λόγου. πῶς οὖν ἐν τῇ καθόλου φύσει τὸ κακόν, τῶν ἐν τοῖς δημιουργήμασι λόγων φυσικῶν ὄντων, καὶ ἐν οὐδενὶ ἐναντιουμένων τῇ ὅλῃ φύσει ἐξ ἀγαθοῦ οὔσῃ. εἰ τοίνυν ἀποδέδεικται τὴν καθόλου φύσιν ἐκ τἀγαθοῦ εἶναι· τοὺς δὲ καθ' ἕκαστον ἐν τοῖς δημιουργήμασι, λόγους μὴ ἐναντιοῦσθαι τῇ καθόλου φύσει, πρόδηλον ὡς οὐδὲ ἐν φύσει τὸ κακόν· ὃ το δὲ τῷ καλῷ ἐναντίον· οὐκοῦν οὐκ ἔστι τὸ κακόν, οὐδὲ ἐν τῷ καθόλου. τὰ δὲ ἐν τοῖς κατ' εἶδος τῆς δημιουργίας ἐναντία, εἴτε ἐν κράσεσιν, εἴτε ἐν ζώοις, καὶ λοιποῖς, οὐκ ἑαυτοῖς εἰσὶ παρὰ φύσιν, ἀλλὰ τοῖς ἄλλοις· ἐν οἷς δὲ παρὰ φύσιν πλημμελῶς φέρονται, τὸ κατὰ φύσιν ἐστὶν ἀσθένεια, οὐ μὴν τοῦτο κακόν· κακία δὲ τάξεως μᾶλλόν ἐστι.

Τῆς καθόλου φύσεως) καθόλου φύσιν, τὴν θείαν φύσιν καλεῖ.

Εἰ γὰρ οἱ πάντες) πάντες φησίν, οἱ τῆς φύσεως λόγοι, ἤγουν αἱ αἰτίαι καθ' ἃς γίνονται καὶ εἰσί, παρὰ τῆς θείας φύσεως ὑπάρχουσιν, ἣν ὡς εἴρηται, καθόλου καλεῖ, ἐπειδὴ ἐξ αὐτῆς ἔφυ τὰ ὅλα. ὅλην δὲ φύσιν πάντα τὰ ὑπὸ τοῦ θεοῦ κτισθέντα ἐκάλεσεν. οὐδὲν οὖν ἐστιν ἐν τῇ φύσει, ὃ παρ' ὅλον ὅλοις ἀντίκειται· τὸ γὰρ ἑνὶ τῶν ὄντων παρὰ τὴν αὐτοῦ φύσιν, ἑτέρῳ φύσις ἐστί· τοῦτο δὲ ἀγαθόν. πάσῃ, οὖν φύσει, τὸ μὴ μένειν

Ministerio de Educación, Cultura y Deporte

ἐφ' οἷς γέγονε κακόν· τοῦτο γὰρ ἔφη στέρησιν τῶν τῆς φύσεως, τὸ μὴ ἐκτελεῖν καθ' ὁποιανοῦν αἰτίαν, καὶ τὰ ἐφ' οἷς παρήχθη πρὸς γένεσιν.

Ἀλλ' οὐδὲ ἐν σώματι) ὥσπερ τὸ κάλλος, συμμετρία ἐστὶ μελῶν καὶ μερῶν μετ' εὐχροίας, οὕτως αἶσχος ἀσυμμετρία ἐστὶ τῶν αὐτῶν.

Αἴτιον τῇ ψυχῇ) ἐπειδή τινες τῶν φιλοσόφων φασὶν, ἐκ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους, ὕλῃ καὶ σώματι μεμιγμένου ῥεπούσης ἐπ' αὐτὸ τῆς ψυχῆς, τὰ κακὰ πράττειν, ὡς ἀνωτέρω δῆλον, παγκάλως ὁ θεῖος Διονύσιος λύει τὸ ἐπαπόρημα ἐκ τῶν ἄλλων ἀσωμάτων καὶ ἀμιγῶν σώματος πάντη, οἳ καὶ δίχα σώματος, ἐλλείψει τοῦ ἀγαθοῦ πλημμελοῦσι.

Παρυφίστασθαι κακίαν) ὅτι δυνατὸν καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὡς ἐν τοῖς δαίμοσι.

Καὶ σώμασι κακόν) οὐκ ἐστὶ κακόν.

Ἡ μηδὲ τὸ πάσχειν δύνασθαι καθ' ἑαυτήν) εὔλογον ἐπιδρομάδην ἐκθέσθαι τὰς δόξας τῶν λεγόντων τὴν ὕλην μὴ ὂν, καὶ πῶς καλοῦσιν αὐτὴν μὴ ὂν, ἵνα καὶ οἱ συλλογισμοὶ τοῦ θείου Διονυσίου νοηθῶσι. καλοῦσιν οὖν τὴν ὕλην μὴ ὂν, ἐκ τοῦ τοιούτου· φασὶ γὰρ, ὅτι τὸ ὂν, ὃ ἐστὶν ἐν τοῖς νοητοῖς διακόσμοις, ἐκ τοῦ πρώτου τοῦ ὑπὲρ τὸ ὂν, ὄντος, ἐγένετο. ἐπεὶ οὖν ἐκεῖνος ὑπὲρ τὸ ὂν ἐστὶ, τὸ δὲ αὐτοῦ ὂν ἐκλήθη ἕτερον ὂν τοῦ ὄντος καθ' ὑπόβασιν· τὸ γὰρ ὂν, ὃ λέγουσι, τὴν τῶν νοητῶν ὕλην ὀνομάζουσι, λόγῳ μόνῳ θεωρητήν, ἣν καὶ αὐτὴν εἶδος καὶ ζωὴν φασὶν, οἱονεὶ τὸ ὑποκείμενον ταῖς νοηταῖς οὐσίαις· τὴν δὲ ἐν τοῖς αἰσθητοῖς ὕλην, ὡς ἐνδεᾶ πάντων τῶν ἐν τοῖς νοητοῖς· οὔτε γὰρ εἶδος, οὔτε ζωὴ αὕτη ἐγένετο δὲ αὕτη, ὥς φασιν, ὑπὸ τοῦ ὄντος, ὃν ἔφησαν γενέσθαι ἀπὸ τοῦ πρώτου καὶ ὑπερόντος· ὥστε ἕτερον αὐτὴν οὖσαν τοῦ ὄντος οὐ λέγουσιν αὐτὴν εἶναι ὄν, δι-

Ministerio de Educación, Cultura y Deporte

λὰ μὴ ὄν· φασὶ γὰρ χρῆναι τὴν ὑπόβασιν, καὶ μέχρι τῶν ἐσχάτων ἰέναι, καὶ διὰ τοῦτο ἕτερον φασὶ τὴν ὕλην τοῦ ὄντος, καὶ τοῦ καλοῦ, ὡς μηδὲ καλὸν εἶναι. οὐδὲν οὖν φασὶν αὐτὴν ἐνεργείᾳ εἶναι, ἀλλὰ πάντων ἐστερῆσθαι τῶν ἔσω αὐτῆς συμβαινόντων, οἷον εἴδους καὶ ποιότητος· οὔτε γὰρ ἑαυτὴν μορφοῖ εἰς εἶδος, οἷον οὐρανοῦ, γῆς, ἀέρος, ὕδατος, ζώων, ἀστέρων· οὔτε ποιοῖ, ἀλλ' ἐξ ἑτέρου κοσμεῖται εἰς ταῦτα. ὡς οὖν οὐδὲν οὖσα τῶν ὄντων, ἔσω αὐτῇ εἴδους φασὶ καὶ ποιότητος, μόνον δὲ δυνάμει οὖσα ταῦτα, τουτέστιν εἰς εἶδος καὶ ποιότητα, ἀνελθεῖν αἱ δυναμένη, οὐ μὴν ἐνεργείᾳ τι οὖσα τούτων, εἰκότως μὴ ὂν ἐστὶ, καθ' ἑαυτὴν ἐνεργείᾳ μὴ οὖσα· διὸ καὶ ὡς ἀνείδεος καὶ ὡς ἄποιος, καὶ μὴ ὄν, καὶ ὡς πάντων ἐνδεὴς, ἐκλήθη κακὸν παρ' αὐτῶν. ταῦτα οὖν λύων ὁ θεῖος Διονύσιος φησὶ, πῶς ποιήσει κακὸν ἡ ὕλη, ἡ παντελῶς μὴ οὖσα τῇ ἐνεργείᾳ· τὸ γὰρ ποιεῖν ἐνεργείας ἐστίν· ἀλλὰ μηδὲ πάσχειν τι δυναμένη, καθ' ἑαυτὴν μόνον οὖσα· ἐξ ἑτέρου γὰρ καθ' ἡμᾶς κοσμεῖται εἰς εἶδος καὶ ποιότητα. οὐ πάσχει οὖν καθ' ἑαυτὴν οὖσα. εἰ δὲ μὴ ὂν αὐτὴν λέγεται, ὡς παντελῶς οὐδὲν οὖσαν, οὔτε κακὸν ἔσται, οὔτε ἀγαθόν. εἰ δὲ ἐστί τι ὄν, ἢ ἐκ θεοῦ ἐστὶν, ἢ ἐξ ἑαυτῆς, ἢ ἐξ ἑτέρας ἀρχῆς, καὶ αὐτὴ καὶ ὁ θεός· εἰ δὲ ἀναγκαῖον ἡ ὕλη, ὡς συμπληρωτικὸν κόσμου, πῶς κακὸν ἡ ὕλη· ὅρος γὰρ ἀναγκαίου, ἀΐδιον, ἀληθές, ὡς ὠφέλιμον, οἷα ἐστὶν ἡ ἀρετὴ ὠφελοῦσα. ἄλλο οὖν τὸ κακὸν, καὶ ἄλλο τὸ ἀναγκαῖον.

Τὸ γὰρ κακὸν, ᾗ κακὸν) ἀνατρέπων τὰς δόξας τῶν λεγόντων κακὸν εἶναι τὴν ὕλην, φησὶ, πῶς οὖν ἐξ ὕλης γίνεται καὶ τρέφεται ἡ ἔκφυσις τῶν ἀπὸ γῆς, φυτὰ καὶ ζῶα· καὶ ταῦτα γὰρ ἐξ εἴδους καὶ ὕλης εἰσί. τὸ οὖν αὐτοκακὸν πῶς γεννᾷ καὶ τρέφει, καὶ οὐκ εὐθὺς φθείρει καὶ φθείρεται· αὕτη γὰρ ἕξις τοῦ κακοῦ· ἀλλ' οὔτε ὡς ἐφιεμένην αὐτῶ, λέγειν τινὰς ἐφέλκεται εἰς

Ministerio de Educación, Cultura y Deporte

κακίαν ταῖς ψυχαῖς, ἡ ὕλη διὰ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, διὰ τοῦ σώματος μεμιγμένη τῷ ἀλόγῳ τῆς ψυχῆς· πολλοὶ γὰρ ἐκράτησαν τοῦ τοιούτου μέρους, ὡς οἱ ἅγιοι τοῦ θεοῦ· ἐπειδὴ δὲ ἔνιοι τῶν ἑλλήνων φασὶ, διὰ τοῦτο τὸν οὐρανὸν καὶ τὰ ἄστρα μὴ φθείρεσθαι, διὰ τὸ ἐκ τοῦ καθαρωτέρου τῆς ὕλης γενέσθαι· τὰ δὲ προσεχῆ τοῖς φθαρτοῖς σώμασιν, ἐκ τῆς ὑποστάθμης καὶ παχυτέρας ὕλης λέγουσι γενέσθαι, ἀναγκαίως καθ' ὑπόθεσιν τῶν κληθέντων ἐσχάτην οὖσαν, ὑποβῆναι τοιαύτην· διὸ καὶ φθείρονται τὰ κατώτερα, καὶ ἀναπίπτουσι, μὴ δυνάμενα ἱδρύσθαι καὶ βεβαίως ἔχειν ἐφ' ἑαυτοῖς, ὡς ὁ οὐρανὸς καὶ τὰ ἄστρα. εἰ οὖν ἀναγκαίως οὕτω γέγονε, πῶς ἡ ὕλη κακὸν, ἔχουσα καθ' ἡμᾶς ἐν ἑαυτῇ τὸ ἀναγκαῖον. οὐκοῦν ἡ ὕλη κακόν.

Η στέρησις κατὰ δύναμιν) ἡ στέρησις οὐκ ἔστιν ὑπόστασίς τις, ἀλλὰ περὶ τὸ ἐστερημένον τοῦ παρεῖναι πεφυκότος καὶ ἐπιβάλλοντος εἴδους γίνεται. ὡς καὶ ἐνταῦθα· μερικῶς γὰρ τῆς στερήσεως οὔσης ἐν τῇ ὕλῃ τοῦ εἴδους, ἔσται τοῦ ἀγαθοῦ τι ἐν αὐτῇ, καθὸ καὶ εἴδους καὶ κόσμου ἐρᾷ, καὶ δέχεται ταῦτα ὡς ἀγαθά. τὸ δὲ αὐτοκακὸν, οὔτε ἀγαθοῦ μετουσίαν δέχεται· διὸ οὔτε ἐστίν· ἡ γὰρ παντελὴς στέρησις καὶ αὐτὸ τὸ ὑποκείμενον σῶμα φθείρει, ὡς μηδὲ νόσον ἔτι ὑπομεῖναι· ὅθεν καὶ ἀδύναμον αὐτὴν εἶπεν. ἡ δὲ μερικὴ, ὡς ἔχουσά τι τοῦ ἀγαθοῦ, δύναμιν λέγεται ἔχειν.

Ἀλλὰ καθὸ οὐ παντελής) ὅρος σύντομος τοῦ κακοῦ, ὅτι οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ μερικὴν ἔλλειψιν τοῦ ἀγαθοῦ ἐστί.

Καὶ τῆς ὅλης αἰτίας) ὅλην αἰτίαν, τὴν τῶν ὅλων φησί. τὸ δὲ μερικὸν εἴρηκεν, ἵνα τὸ καθόλου ἀνέλῃ· παντελὴς γὰρ ἔλλειψις, τὸ μὴ εἶναι συνίστησιν.

Οἶδεν ὁ θεὸς τὸ κακόν) καὶ τὰ λεγόμενα κακὰ οἶδεν ὁ

Ministerio de Educación, Cultura y Deporte

θεός, ἔσθ' ὅτε ὡς ἀγαθὰ κακὰ δὲ νῦν φησιν, οἷον πολέμους, νόσους παιδευτικάς, θανάτους, καὶ τὰ τοιαῦτα· νομίζονται γὰρ ἡμῖν κακά· εἰσὶ δὲ δυνάμεις ἀγαθοποιοῦ αἰτίας· καὶ γὰρ διὰ τῶν εἰρημένων μετάνοια καὶ ἐπίγνωσις θεοῦ, καὶ εὐσεβείας τοῖς πλείοσιν ἐγένετο πρόφασις, τὸ ἐν τοῖς προφήταις ἡ κακία, παιδεία λέγεται. ἀνάγνωθι τὸ κβ. κεφάλαιον.

Γαρ' αὐτῷ αἱ αἰτίαι) αἰτία τοῦ ἐν τῷ ἀσελγαίνειν κακοῦ, ἡ ἐπιθυμία παρὰ λόγον κινηθεῖσα· ἀλλ' αὐτὴ ἡ ἐπιθυμία, δύναμις ἀγαθοποιός, λογικοῖς μὲν, πρὸς τὸ δι' αὐτῆς πρὸς τὸ ὄντως ἀνατείνεσθαι ἀγαθόν· ἀλόγοις δὲ, πρὸς ὄρεξιν τῶν ἐπιτηδείων τῆς οἰκείας διαμονῆς.

Εἰ δὲ τὸ κακὸν ἀΐδιον) ταῦτα κατὰ μανιχαίων ἔλεγχος, καὶ τῆς δόξης αὐτῶν ἀνατροπή· εἰ γὰρ καὶ μήπω ἡ αἵρεσις, ἀλλὰ προφυλακτικῶς ἐνεπνεύσθη τὰ τὴν πλάνην αὐτῶν ἀνατρέποντα. ἴσως δὲ καὶ πρός τινας τῶν ἔξωθεν δόξας τὰ τοιαῦτα.

Πᾶν τὸ κατὰ φύσιν) τουτέστιν οὐκ ἄπειροι τῶν φύσεων οἱ λόγοι· ἕπεται δὲ τῷ κατὰ φύσιν, τὸ ὡρισμένον· ὅρος γάρ ἐστι καὶ ὁ ἑρμηνευτικὸς λόγος τῆς οὐσίας τῶν πραγμάτων, καὶ τὸ τί ἦν εἶναι δηλῶν, τοῦ τί ἦν εἶναι, τῷ τί ἐστιν ἴσα δυναμένου. πᾶν οὖν τὸ κατὰ φύσιν, ἐξ αἰτίας ὡρισμένης ἐστί, δι' ἣν αἰτίαν γίνεται τὸ γινόμενον. εἰ οὖν τὸ κακὸν, ἀναίτιον ἐστιν· οὐ γὰρ διά τι γέγονεν εἰκότως τὸ ἐν ἀοριστίᾳ· οὐ γάρ ἐστιν αὐτοῦ λόγος, τὸ τί ἦν εἶναι ἑρμηνεύων, ἐξ ἀνάγκης, οὐδὲ κατὰ φύσιν. εἰ οὖν παρὰ φύσιν, οὐχ ἕξει ἐν τῇ φύσει λόγος, ὡς οὔτε ἐν τῇ τέχνῃ ἡ ἀτεχνία.

Εἰ μὲν φύσει) εἰ μὴ κατὰ στέρησιν μερικὴν τοῦ ἀγαθοῦ, κακύνεται ψυχή, ἔξωθεν τῆς οὐσίας αὐτῆς, ἀλλ' ἀλλοτρίου τινὸς ἐπισυμβαίνοντος, ἔσται τῆς οὐσίας αὐτῆς ἡ στέρησις τοῦ ἀγαθοῦ, καὶ ἔσται οὐσιῶδες αὐτῇ τὸ κακόν· καὶ πῶς ἔσται ψυ-

Ministerio de Educación, Cultura y Deporte

χῇ· οὔτε γὰρ ἔσται ζῶσα· οὐ γὰρ ἕξει ζωήν· ἀγαθὸν δὲ ἡ ζωή. εἰ δὲ ψυχή ἐστι, μετέχει τοῦ ἀγαθοῦ, τουτέστι ζωῆς. οὐσιῶδες οὖν ἕξει τὸ ἀγαθὸν, καὶ οὐ τὸ κακόν· διὸ καὶ ἀγαθοειδὴς λέγεται. ἀσθενείᾳ δὲ τῇ περὶ τὰ οἰκεῖα, κατὰ φύσιν ἐνεργεῖν κακύνεται, ὡς ἀσθενὴς καὶ εὐκίνητος οὖσα πρὸς τὰ πάθη. ἀσθένεια δὲ ψυχῆς, οὐχ ὡς ἐπὶ σωμάτων παχύτης ἢ ἰσχνότης εἰς τὴν οὐσίαν αὐτῆς, ἀλλ᾽ ἐπὶ τὰ ὑλικὰ καὶ πρόσκαιρα ἔνδοσις· ὅθεν καὶ πλημμελῶς λοιπὸν κινεῖται· ἔκγονα δὲ ταύτης, ἐνταῦθα τὰ ποιήματα λέγει. σημείωσαι δὲ, ὅτι ἡ ἐνέργεια τῆς ψυχῆς, οὐκ ἔχει τὸ ἀμετάβλητον, ὡς συμβαίνουσα καὶ ἀποσυμβαίνουσα.

Εἰ δὲ ταῖς ἐνεργείαις) Ἴσα ὁ νοῦς ἐν συντόμῳ οὕτως, ὅτι ἡ φύσις τῆς ψυχῆς ἀγαθή, ἐπειδὴ ἐκ τοῦ ἀγαθοῦ παρήχθη, καὶ αἱ ἐνέργειαι αὐτῆς ἀγαθαί· ὁρῶμεν γὰρ τοὺς ἀγαθοὺς ἄνδρας ἐνεργοῦντας τὰ οἰκεῖα. ἐκ παρεκτροπῆς δὲ καὶ ἐκλείψεως τοῦ ἀγαθοῦ, παρεισδύει τὸ κακόν. οὐκοῦν οὐκ ἐν φύσει, οὐδὲ ἐνούσιον τὸ κακόν.

Εἰ τῷ ἀγαθῷ τὸ κακὸν) Τῷ ἑνὶ ἐναντία τὰ πολλά. οὐκοῦν εἰ τῷ ἑνὶ καὶ ἀγαθῷ αἰτίῳ ἐναντίον τὰ πολλά, αἴτια πολλὰ τοῦ κακοῦ· καὶ εἰ τῶν κατὰ φύσιν, ὡς ἀνωτέρω φησὶ, λόγοι καὶ δυνάμεις ἐστὶ τὰ ποιητικά, τῶν παρὰ φύσιν ποιητικαί, αἱ πλημμελεῖς τῶν κατὰ φύσιν κινήσεις ἐξ ἀσθενείας καὶ ἀδυναμίας συμβαίνουσαι· δι᾽ ὧν καὶ παρυφίσταται τὸ κακόν. ποιεῖ δὲ κακὰ ἔστιν ὅτε, καὶ μίξις τῶν ἀνομοίων ἀσύμμετρος, ὅταν ἢ τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν πλέον τῶν ἄλλων κρατήσῃ· ὅθεν καὶ νόσοι πολλάκις. πῶς δὲ συσταίη κακὸν τῶν γενομένων ἁπάντων, ὡς ἐποιήθησαν μενόντων· ταῦτα μὲν γὰρ ἐκ κινήσεως βουλήματι θεοῦ παρήχθη, καὶ ἀκίνητα ἐν τοῖς ἰδίοις ὅροις μένει ἑστῶτα καὶ πεπερασμένα ἐν τῷ θεῷ. τὸ δὲ τούτων ἐναντίον, τὸ αὐτοκακόν, ἄστατον, καὶ πέρας οὐκ

Ministerio de Educación, Cultura y Deporte

ἔχον, οὔτε ὡρισμένον· ὧν οὐδὲν ἐν τῇ δημιουργίᾳ ὁρῶμεν. πῶς οὖν ἐνυπόστατον τὸ κακόν.

Λόγοι δὲ δυνάμεις) τουτέστιν οὐ κατὰ λόγον ἀναγκαῖον τῇ φύσει, ἤ τινα οὐσιώδη ἰδιότητα ταῦτα λογίζεσθαι χρή· μίξιν δὲ τῶν ἀνομοίων οἶμαι νοῆσαι, τὴν τῶν φυσικῶν δυνάμεων ἐπὶ τὰ μὴ προσήκοντα κίνησιν, ὅπερ ἡ ἀμετρία ποιεῖ, μὴ λόγῳ κρατουμένων τῶν κινήσεων εἴσω μένειν τῶν ὅρων, ἐφ' οἷς καὶ γεγόνασι.

Πάντων καὶ τῶν κακῶν) ὅτι πάντων καὶ τῶν κακῶν ἀρχὴ καὶ τέλος ἐστὶ τὸ ἀγαθόν, ἐπειδὴ δὲ πάντα ποιοῦντες, ἀγαθὸν ποιεῖν νομίζομεν· καὶ ὅτι ὑπόστασιν οὐκ ἔχει τὸ κακόν, ἀλλὰ παρυπόστασιν, τοῦ ἀγαθοῦ ἕνεκα, καὶ οὐχ ἑαυτοῦ γινόμενον. τοῦτο δὲ καὶ ἀνωτέρω εἰρήκαμεν, ὅτι οὐ πρὸς τὸ κακὸν ὁρῶντες, τοῦτο πράττομεν, ἀλλὰ δοκοῦντες ἀγαθὸν ποιεῖν, εἰ καὶ ἡ ἔκβασις τοὐναντίον δείκνυσιν.

Ὅτι τοῦ ἀγαθοῦ ἕνεκα) ὃ εἶπε καὶ ἐν τῷ περὶ τούτου κεφαλαίῳ διὰ τὸ ἀγαθόν, ἐπειδὴ νομίζομεν ὃ ποιοῦμεν ἀγαθόν.

Τῷ ὄντι δέ, οὐκ ὀρθόν) ἐφιέμενοι γὰρ κατὰ φύσιν καὶ δύναμιν τοῦ ἀγαθοῦ ἐκλικόν, πράττομεν ἔσθ' ὅτε ἀγνοοῦντες τὸ κακόν, ὃ ἡμῖν μὲν νομίζεται καλόν, τῇ δὲ ἀληθείᾳ ἐστὶ κακόν· οἷον γάρ, ὅτι τιμωροῦντες τῷ ἠδικημένῳ φονεύομεν, ἔσθ' ὅτε τὸν ἀδικήσαντα μὴ ἄξιον ὄντα θανάτου. οὕτω νόει, καὶ οὐ σφαλῇ.

Στέρησις ἄρα ἐστί) θαυμασίως ἔδειξεν ἀνυπόστατον τὸ κακόν, στέρησιν ἀποδείξας τῶν ἐν τάξει καὶ φύσει· ἡ δὲ στέρησις οὐκ αὐτοϋπόστασις ὡς προέφημεν, ἀλλὰ τὸ πεφυκὸς καὶ ἐπιβάλλον παρεῖναι μὴ παρόν· ὅθεν καὶ ἁμαρτίαν, τουτέστιν ἀποτευξίαν καὶ ἀπόπτωσίν τινα τοῦ προσήκοντος, αὐτὸ τὸ τῆς στερήσεως καλεῖ, καὶ ἄσκοπον ἀντὶ τοῦ παρὰ τὸν σκοπὸν βάλλον. ἐκ μεταφορᾶς

Ministerio de Educación, Cultura y Deporte

φορᾶς τῶν τοξευόντων· ὥσπερ γὰρ ἐκεῖνοι ἐπιτυγχάνοντες τοῦ σκοποῦ, τουτέστι τοῦ σημείου ἐφ' ὃ τοξεύουσιν, ὃ δὴ καὶ σκοπὸς λέγεται, καλῶς προσίασιν· οὕτως οἱ ἔξω τοῦ σκοποῦ τοξεύοντες ἁμαρτάνουσι τοῦ προσήκοντος.

Καὶ ἁμαρτία) τὸ ἁμαρτία, μὴ νοήσῃς τὴν γινομένην ἐν ἡμῖν, οἷον μοιχείαν, ἢ ἀδικίαν, ἢ ἄλλο τι τοιοῦτον· ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστι, τοῦ ἀγαθοῦ καὶ τῆς κατὰ φύσιν κινήσεως, ἤτοι τάξεως ἀποτυγχάνοντες, φερόμεθα εἰς τὴν παρὰ φύσιν ἄλογον, καὶ παντελῆ, καὶ ἀνούσιον ἀνυπαρξίαν· ὅθεν καὶ μηδαμῆ μηδὲν ὂν λέγει τὸ κακόν.

Οὐ πάντα πᾶσι) θείως τὰς ὑποβάσεις τῶν ἐν τῇ δημιουργίᾳ διέστασεν· ὁ μὲν γὰρ νοῦς, καθ' ὃν οὐσίωνται οἱ θεῖοι νόες, καὶ πάντῃ ἄϋλοι, ἀνώτερος ψυχῆς ἐστίν. ὁ οὖν ἄγγελος, ὁ παρὰ τὸν ἀγαθοειδῆ νοῦν κινηθεὶς, δαίμων ἀπέβη· ἡ δὲ ψυχὴ, καθὸ νοερὰ καὶ λογικὴ, οὐ κατὰ λόγον ἐνεργοῦσα τὸν ὑποβεβηκότα νοῦν τὸν νοητὸν, οὐκ ἐνεργεῖ τὰ οἰκεῖα. τὰ δὲ σώματα τὰ ὑποβεβηκότα τὸν νοερὸν λόγον παρὰ φύσιν εὑρεθέντα, οὐκ ἔρρωνται εἰς τὰ ἑαυτῶν.

Πῶς ὅλως τὰ κακὰ) εἰ πρόνοια ἐν πᾶσιν, οὐδαμοῦ φύσει τὸ κακόν.

Ἀλλὰ καὶ τοῖς γινομένοις) ὅτι καὶ τοῖς γινομένοις καὶ νομιζομένοις κακοῖς ἀγαθοπρεπῶς κέχρηται ὁ θεὸς πρὸς διόρθωσιν ἢ ὠφέλειαν ἡμῶν, ἢ ἑτέρων.

Ἢ ἄλλων, ἢ ἰδικῶς) πρὸς τοὺς λέγοντας, ὅτι ἐχρῆν ἡμᾶς καὶ ἄκοντας εἶναι ἀγαθούς.

Οὐ χρῆναι φασὶ τὴν πρόνοιαν) σημείωσαι, πῶς ἐπιπλήττει τοῖς λέγουσι· διὰ τί γὰρ μὴ ἐποίησεν ἡμᾶς ὁ θεὸς οὕτως, ἵνα κἂν θέλωμεν μὴ ἁμαρτάνωμεν· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ λέγειν, διὰ τί μὴ ἀναίσθητα καὶ ἄλογα ἡμᾶς ἐποίησε· τὸ γὰρ ἐξ



Ministerio de Educación, Cultura y Deporte

ἀνάγκης ἡμᾶς ἄγεσθαι ἐπ' ἀρετήν, οὔτε αὐτοκράτορας ὄν-
τας ἡμᾶς ἐδείκνυ τῶν καθ' ἑαυτούς, οὔτε τὴν νοερὰν ἡμῶν
φύσιν εἶναι συνεχώρει, τουτέστι τὴν νοερὰν ψυχήν· ἀνελε γὰρ ἡ-
μῶν τὸ αὐτεξούσιον, καὶ οὔτε εἰκὼν θεοῦ ἐσόμεθα, οὔτε ψυ-
χὴ λογικὴ καὶ νοερά, καὶ τῷ ὄντι φθαρήσεται ἡ φύσις, οὐκ οὖσα
ὅπερ ἔδει αὐτὴν εἶναι. ὅπερ δέ φησιν αὐτοκινήτων, ἀντὶ τοῦ αὐ-
τεξουσίων καὶ αὐτοκρατόρων εἰρῆσθαι νοητέον· οὐ γὰρ τῶν ἑαυ-
τοὺς κινούντων, ἤγουν ἐμψύχων, πρὸς ἀντιδιαστολὴν τῶν ἀκινή-
των, ὡς οἴκων καὶ ὀρῶν, ἢ ἑτεροκινήτων, ὡς λίθων, καὶ ξύλων.
περὶ γὰρ ἀρετῆς διαλεγόμενος τοὺς αὐτοκινήτους παρέλαβεν,
ὧν φησὶ πρόσφορον τὴν πρόνοιαν, ἤγουν τὴν διὰ νόμου καὶ
προφητῶν, τὴν διὰ τῶν εὐεργεσιῶν, ὡς καὶ ὁ ἀπόστολος δηλοῖ,
δημηγορῶν παρ' ἀθηναίοις.

Ἄκοντας ἡμᾶς) καλῶς ἀνέτρεψε τὸν λόγον τῶν λεγόντων,
ὅτι ἐχρῆν ἡμᾶς καὶ ἄκοντας, καὶ ἐξ ἀνάγκης, εἶναι καλούς· τοῦτο
γὰρ φθορὰ ἦν ἡμῶν τῆς οὐσίας· ἀνήρητο γὰρ ἂν τὸ αὐτεξούσιον.

Τῶν αὐτοκινήτων) ἀντὶ τοῦ τῶν αὐτεξουσίων, ὡς ἡ παρα-
κειμένη δηλοῖ παραγραφή.

Καὶ ἀλλοίωσις) σημείωσαι, ὅτι καὶ τὰ ἀσώματα, καὶ τὰ
ἄυλα ἀλλοιοῦνται, μὴ μένοντα ἐν τῇ τοῦ ἀγαθοῦ ὁλοτελῶς ταυ-
τότητι· τὸ μὲν γὰρ ἀγαθόν, ταὐτόν, ὡς ἀεὶ ἑστὼς καὶ βέβαιον·
τὸ δὲ τρεπόμενον, οὐ ταὐτόν.

Ἐν γνώσει δὲ ἁμαρτάνοντας) ὅρα πῶς ἑρμηνεύει τό, Οὐαὶ
τοῖς ἐν γνώσει ἁμαρτάνουσι, καὶ τό, Ὁ δοῦλος ὁ εἰδὼς τὸ θέλημα
τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν αὐτό, δαρήσεται πολλάς.

Ἡ τῆς γνώσεως) γνῶσιν φησὶν ἴσως, τὴν ἐκ διδασκαλίας
περιγινομένην, ἣν καὶ λήθη πολλάκις δύναται ἀμαυρῶσαι,
ἣν καὶ ἀνωτέρω φησὶν ἐξ ἀκοῆς ἐγγίνεσθαι. ἄλλην δὲ τὴν
γνῶσιν, οἰητέον, τὴν ἐκ φυσικῆς θεωρίας, ἢ ἐλλάμψεως

ἀδιδάκτως προεγνωσμένων.

Ἀλλὰ, ταῦτα μὲν ἡμῖν) σημείωσαι, ὅτι καὶ ἄλλο ἐστὶν αὐτοῦ σύνταγμα, περὶ δικαίου καὶ θείου δικαιωτηρίου. σημείωσαι δὲ, καὶ ὅτι εἴκοσι καὶ τρεῖς συλλογισμοὺς ἔχει τὸ κεφάλαιον τοῦτο, ἀποδεικνύντας, ὅτι οὐκ ἔστιν ὂν τὸ κακόν.

## ΚΕΦΑΛ. ε.

ΟΥ τὴν ὑπερούσιον) ἓν ὠνόμασαν τὸν θεὸν οἱ πάλαι, οὐχ ὡς ἀριθμοῦ ἀρχὴν, ἀλλὰ διὰ τὸ πάντων ἐξῃρῆσθαι, καὶ μηδὲν ἔχειν συναριθμούμενον τῶν μετ' αὐτὸν, ἀλλὰ καὶ διὰ τὸ ἀσύνθετον καὶ ἁπλοῦν. οὐ τοῦτο δὲ παρίστησιν, ὡς ἡ οὐσία τοῦ θεοῦ· κυρίως γὰρ οὐσία ἐπὶ θεοῦ οὐκ ἂν λέγοιτο· ἔστι γὰρ ὑπερούσιος.

Θεαρχικῆς οὐσιαρχίας) οὐσιαρχίαν φησὶ, τὴν πάσης ἀρχὴν οὐσίας καὶ αἰτίαν· αὐτὴ γὰρ ἡ θεότης ὑπὲρ πᾶσαν οὐσίαν. πρόοδον δὲ, τὴν θείαν ἐνέργειαν λέγει, ἥτις πᾶσαν οὐσίαν παρήγαγε.

Καὶ γὰρ ἡ τἀγαθοῦ θεωνυμία) πῶς ἀγαθὸς λέγεται ὁ θεός. ὅρα δὲ πῶς φησὶ τὸ ἀγαθὸν, ἤτοι τὴν αὐτοῦ θεωνυμίαν ἐκτείνεσθαι εἰς τὰ ὄντα πάντα, καὶ εἰς τὰ οὐκ ὄντα, καὶ ὑπὲρ τὰ οὐκ ὄντα εἶναι. τὸ δὲ ἓν, ὑπὲρ τὰ ὄντα εἶναι, καὶ ὑπερεκτείνεσθαι αὐτό· τὴν δὲ ζωὴν, ὑπὲρ τὰ ζῶντα εἶναι· καὶ τὴν σοφίαν ὑπὲρ τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικὰ ἐκτείνεσθαι, ὡς εἶναι δῆλον, ὅτι τὸ ἀγαθὸν, τουτέστιν ὁ θεὸς, καὶ τοῦ ὄντος, καὶ ζωῆς, καὶ σοφίας αἴτιον. τὸ δὲ ὂν, ζωῆς καὶ σοφίας αἴτιον, τοῖς οὖσι νοὸς ἀκολούθως.

Καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται) καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται τὸ ἀγαθὸν, ὡς εἰς τὸ εἶναι καλοῦν αὐτά· ἢ καὶ κατὰ τὸ εἰρη-



Ministerio de Educación, Cultura y Deporte

μένον αὐτῷ τῷ πατρί, ὅτι καὶ αὐτὸ τὸ μὴ ὂν καλόν, ὅταν ἐν θεῷ διὰ τὸ ὑπερούσιον θεωρῆται. ὄντα δὲ, τὰ οὐκ ὄντα ὑλικὰ φησίν, ὡς πολλάκις ἐδηλώσαμεν ἄνω. ἢ οὕτως, ἐπειδὴ οὐ περιγράφεται τόπῳ ὁ θεός. εἰκότως φησὶ καὶ ὑπὲρ τὰ οὐκ ὄντα αὐτὸν εἶναι, ἵνα δείξῃ τὸ ἀπερίγραπτον αὐτοῦ.

Καὶ ὑπὲρ τὰ ζῶντα) ἐπισημειώσασθαι χρή, πῶς, ὅταν μὲν περὶ ἀγγέλων φησὶ καὶ ἀνθρώπων, τοὺς ἀγγέλους, νοητά φησι· τὰς δὲ ἡμετέρας ψυχάς, νοεράς, ὡς πολλάκις ἀνωτέρω παρεστήσαμεν, καὶ τὰς ἑρμηνείας ἐκθέμενοι τοῦ νοητοῦ καὶ νοεροῦ. νῦν δὲ ἐπειδὴ περὶ θεοῦ προφορὸν φησίν, εἰκότως καὶ τοὺς ἀγγέλους μετὰ τῶν ἡμῶν νοεροὺς φησιν, ἅτε καὶ αὐτοὺς διὰ τοῦ νοεῖν τὸν θεόν, ὅσον οἷόν τε, τρεφομένους τῇ νοήσει, τῷ ἐπεστράφθαι ἐπὶ τὴν θείαν σοφίαν, ὡς καὶ αἱ ἀνθρώπιναι ψυχαί. καὶ τὰ αἰσθητικὰ δέ, τουτέστι τὰ ἄλογα· ἔμψυχα δὲ ὅμως πάντα σοφίας μετέχουσι θείας, καὶ ἐν ταῖς φυσικαῖς αὐτῶν ὁρμαῖς, ὡς καὶ ὁ θεῖος Βασίλειος ἐν τῇ ἑξαημέρῳ δείκνυσι, καὶ αὐτὸ δὲ τό, ἐν σοφίᾳ γενέσθαι πάντα κατὰ τὸ εἰρημένον, Πάντα ἐν σοφίᾳ ἐποίησας. ἡ δὲ σοφία ἐστὶν ὁ υἱός, ὁ ὤν. πάντα οὖν ἐν τῷ υἱῷ τῷ ὄντι ἐγένοντο, φησίν.

Ἐκφαντορικὰς) ἐκφαντορικάς φησι τὰς ἐκφαινούσας, ἤτοι παριστώσας.

Τῆς ὑπὲρ πᾶσαν ἀγαθότητα) σημείωσαι, ὅτι καλῶς λέγομεν, ὅτι τὴν ὑπὲρ πᾶσαν ἀγαθότητα καὶ θεότητα. ὑπερβεβηκυίας οὖν θεότητας νόησον, ἀγγέλων καὶ ἀνθρώπων δικαίων.

Ἐν ἀποκρύφοις) ὡς τό, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· καὶ πάλιν, Ἐν ἀποκρύφῳ καταιγίδος.

Καὶ αἰσθήσεως μετειληφότων) ἐπειδὴ παρὰ μικροῦ ἔδοξέ πως ὑποβάσει λέγειν τὸ ἀγαθόν, εἰπὼν τοῦ ὄντος αἴτιον, καὶ οὕτω καθεξῆς, ἵνα μὴ οἱ ἀσυνέτως ἀναγινώσκοντες εὕρωσ

Ministerio de Educación, Cultura y Deporte

μέμψεως ἀφορμὴν, φησὶν, οὐκ ἄλλο δέ ἐστι τὸ ἀγαθὸν, καὶ ἄλλο τὸ ὄν· καὶ αὖ πάλιν, ἄλλο τὴν ζωὴν, ἢ τὴν σοφίαν· ἓν γάρ ἐστι τῶν ἁπάντων αἴτιον, καὶ οὐ πολλά, καὶ μίαν εἰκότως θεότητα πάντα περιέχουσαν, τὴν ἁγίαν καὶ μακαρίαν τριάδα, καὶ μὴ πολλὰς θεότητας δημιουργούς. τοῦτο δὲ οὐ περιττῶς εἶπεν, ἀλλὰ καθαπτόμενος τῶν παρ' ἕλλησι σοφῶν, καὶ τῶν ἀπὸ σίμωνος αἱρετικῶν, οἳ κοσμοποιούς φασὶ θεούς, καθόσον ὑποβεβήκασι, τοσοῦτον καὶ τὰ ἀσθενέστερα τῶν κτισμάτων περιάγοντας, ἕως καὶ τῆς τῶν ἁπάντων ὑποστάθμης, ὥς φασι, τουτέστι τῆς ὕλης.

Καὶ τὴν μὲν, εἶναι) τὴν τοῦ ἀγαθοῦ ἐπωνυμίαν παντελοῦς προνοίας δεκτικὴν εἶναι φησί· τὰς δὲ λοιπὰς, μερικάς, οἷον ζωὴν καὶ σοφίαν, καὶ λόγον· καὶ πάντα μὲν γὰρ τὰ ὄντα δι' ἀγαθότητα θεοῦ παρήχθη πρὸς ὕπαρξιν, καὶ εἰσὶν ἀγαθὰ, ἤτοι καλὰ λίαν· οὐ πάντα δὲ, ζωῆς, ἢ λόγου, ἢ σοφίας μετέχουσι· διὸ τὰς τοιαύτας ἐπωνυμίας κατ' ἀντιδιαστολὴν τῆς παντελοῦς τέθεικεν. ὁλικωτέρας δὲ φησὶ τὰς ἐπὶ πλειόνων θεωρουμένας, οἷον ζωὴν· φθάνει γὰρ ἐπὶ φυτῶν καὶ ζώων, λογικῶν τε καὶ ἀλόγων· σοφία δὲ καὶ λόγος μερικώτεραι· ἐπὶ μόνων γὰρ λογικῶν ὁρῶνται ταῦτα.

Καὶ τῆς ζωῆς τὴν σοφίαν) ἀσαφέστερόν πως ἐγκειμένης τῆς ῥήσεως, οἶμαι τὸ λεγόμενον τοιοῦτόν τινα νοῦν ὑποφαίνειν, ὥς τινος ἐπαποροῦντος καὶ λέγοντος, διατί τοῦ ὀνόματος αὐτοῦ τοῦ ὄντος ὑπερέχοντος τῆς ζωῆς τὴν προσηγορίαν, καὶ πάλιν τοῦ ὀνόματος τῆς ζωῆς ὑπεραίροντος τὴν σοφίαν, ἅτε καὶ τῆς τάξεως, τοῦτο ἀπαιτούσης, ὡς καὶ αὐτὸς πρὸ βραχέος ἐδήλωσεν εἰπὼν, καὶ ὄν, καὶ ζωὴν, καὶ σοφίαν τὴν οὐσιοποιὸν, καὶ ζωοποιὸν, καὶ σοφοδότιν αἰτίαν τῶν οὐσίας, καὶ ζωῆς, καὶ νοῦ, καὶ λόγου μετειληφότων, καὶ αἰσθήσεως· οὐκ ἔτι τὴν τάξιν ταύτην



Ministerio de Educación, Cultura y Deporte

ὁρῶμεν ἐν τοῖς οὖσι· δέον γὰρ κατὰ τοὺς εἰρημένους ὑπὸ τοῦ βαθμοὺς, τὰ ὄντα πλέον τῶν ζώντων, καὶ τῶν αἰσθανομένων, καὶ τῶν νοερῶν, καὶ λογικῶν, τουτέστι τοῦ νοῦ καὶ λόγου μετειληφότων, πλησιάζειν θεῷ, οὐκέτι μὲν οὕτως, ἐξ ἐναντίου δὲ ἐστὶν, οἷον οὐρανοῦ καὶ ἄστρων, καὶ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ τῶν ἐξ αὐτῶν πλησιαίτερα περὶ τὴν πρόνοιαν τοῦ θεοῦ τὰ ζῶντα, εἰ καὶ τὴν φυτικὴν ζῶσι ζωὴν, οἷα τὰ φυτὰ καὶ τὰ τοιαῦτα, καὶ τῶν ζώντων πλησιαίτερα τὰ αἰσθητικὰ, τουτέστι τὰ ἄλογα· τῶν γὰρ φυτῶν καὶ βοτανῶν, τιμιώτερα ἐν ζωῇ τὰ ἄλογα, καθὸ καὶ μόνον αἰσθάνονται τῶν φυτῶν μὴ αἰσθανομένων· τῶν δὲ αἰσθητικῶν ἐγγύτερα τῷ θεῷ τὰ λογικά. τῶν δὲ λογικῶν, οἱ νόες, τουτέστιν αἱ ὑπερκόσμιοι δυνάμεις, ὡς ἡμῶν τῶν λογικῶν ἀνώτεραι, κατὰ τὸ ἄυλον καὶ νοερὸν ἐγγίζουσαι μᾶλλον ἡμῶν τῷ θεῷ. καίτοι ἔδει τὸ ἐναντίον τὰ ὄντα καὶ μειζόνων δωρεῶν ἀπολαύοντα τοῦ θεοῦ ὑπὲρ τὰ ἄλλα εἶναι, οἷον τὸν οὐρανὸν, τὰ ἄστρα, καὶ τὰ τοιαῦτα. καὶ αὕτη μὲν ἡ ἐπαπόρησις. λοιπὸν οὖν ἀποκρίνεται ὁ θεῖος διονύσιος ἐκ τοῦ νοῦ, καὶ τοῦ λόγου, καὶ τῆς αἰσθήσεως καθ' ὑπόθεσιν καὶ τὰς προειρημένας τάξεων. οὕτως εὑρήσεις μετὰ μίαν σελίδα.

Καίτοι ἔδει τὰ τῶν μειζόνων) μείζονας δωρεὰς φησὶ, τὰς ἐπὶ πλειόνων θεωρουμένας, οἷον τὸ ὂν καὶ τὴν ζωήν· ἀλλὰ τὰ τούτων μόνον μετέχοντα οὐκ ἐν προτέροις καὶ κρείττοσιν, ἀλλ' ἐν τοῖς ἥττοσιν ὁρῶνται, ἐπειδὴ, τὰ μὲν ὑπερέχοντα, καὶ τὰς τῶν ὑφειμένων ἔχουσιν ἰδιότητας τοῦ εἶναι, τοῦ ζῆν, καὶ κατὰ τοῦτο κρείττονα, εἰ καὶ διὰ μερικωτέρων ἐπωνυμιῶν σημαίνονται. τὰ δὲ, τῶν ὁλικωτέρων, οὐ μετέχουσι τῆς τῶν κρειττόνων ἰδιότητος, τουτέστι σοφίας, καὶ λόγου, καὶ νοερότητος· καὶ κατὰ τοῦτο ἥττονα, ὡς ἡττόνων, ἤγουν ὀλιγωτέρων δωρεῶν μετέχοντα. ὥσπερ οὖν τὰ ἕτερα, ὡς πλειόνων καὶ κρείττονα, καὶ θεῷ πλησιαίτερα.

Ministerio de Educación, Cultura y Deporte

Καὶ ζῶσιν ὑπὲρ τὰ ἄλλα) ὅτι τὰ ὑπερκείμενα καὶ μᾶλλον θεῷ πλησιάζοντα, λέγεται πλέον ζῆν τῶν ὑποβεβηκότων. διὸ οἱ θεῖοι νόες ὑπὲρ ἡμᾶς ζῶσιν, ὡς μᾶλλον θεῷ πλησιάζοντες· πάλιν ἡμεῖς ὡς λογικοὶ, τῶν ἀλόγων πλέον λεγόμεθα ζῆν. πάλιν τὰ ἄλογα, ὡς αἴσθησιν ἔχοντα, πλέον ζῇ τῶν φυτῶν, ὡς αἴσθησιν μὴ ἐχόντων, ἀλλὰ μόνον τὴν φυτικὴν ζωήν.

Ὁ ὢν, ὅλου τοῦ εἶναι) τὸ ὂν ἐπὶ τοῦ θεοῦ λεγόμενον, ὅλου συλλήβδην τοῦ εἶναι ὑπάρχει· τοῦτο γάρ φησιν ὑπερούσιον, ἔτι δὲ ὑπὲρ τὸ ἐν γενέσει ὄν· τὸ γὰρ ὂν, οὐσία· ἀπὸ γὰρ τοῦ εἶναι, τὸ ὄνομα παρῆκται τῆς οὐσίας. ὁ οὖν θεὸς, ὡς καὶ τοῦ εἶναι ὑπερκείμενος· τὸ γὰρ εἶναι ἐξ αἰτίας τινὸς δηλοῖ εἰς τὸ εἶναι ἀχθῆναι· ὢν ὑπερουσίως νοεῖται· διὸ καὶ αἰὼν λέγεται εἶναι τῶν παρηγμένων ὑπ' αὐτοῦ αἰώνων· ὅπερ γὰρ, μήτε ἦν, μήτε ἔσται, ἀλλ' ἔστι μόνον, τοῦτο ἑστὼς ἔχον τὸ εἶναι, τὸ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μήτ' αὖ μεταβεβηκέναι ἀπὸ τοῦ ἐστὶ, τοῦτό ἐστιν αἰών· οὐ γὰρ μόνον τὰ ὄντα πάντα δεῖ παρεῖναι τῷ παντὶ καὶ ὅλῳ, ἀλλὰ καὶ τὸ μηδὲν δὲ ποτὲ μὴ ὄντος· οὐδὲ γάρ τι προσγέγονεν αὐτῷ, μὴ ὂν πρότερον. αὕτη οὖν ἡ διάθεσις καὶ φύσις, καλοῖτο ἂν, καὶ εἴη αἰών· αἰὼν γὰρ ἀπὸ τοῦ ἀεὶ ὄντος εἴρηται. εἴ τις οὖν οὕτω τὸν αἰῶνα λέγοι ζωὴν ἄπειρον, τῷ πᾶσαν ἤδη εἶναι, καὶ μηδὲν ἀναλίσκειν αὐτῆς, τῷ παρεληλυθέναι, μηδ' αὖ μέλλειν, οὐκ ἂν εἴη πᾶσα· ἐγγὺς δὲ ἂν εἴη τοῦ ὁρίζεσθαι τί αἰών. ἐκεῖνο γοῦν ἐστὶν ἄπειρον, τὸ μὴ ἐπιλεῖπον· καὶ τοῦτο κυρίως, ὅτι μηδὲν ἑαυτοῦ ἀναλίσκει. οὕτως οὖν ὁ θεὸς, καὶ αἰὼν, καὶ αἰῶνας ποιῶν. αἰὼν τοίνυν ἐστὶν, οὐ τὸ ὑποκείμενον, ἀλλὰ τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ἐκλάμπον. τὰ οὖν νοητὰ, καὶ τὰ μὴ ὁρώμενα κατὰ τὸν ἀπόστολον αἰώνια· αἰώνιον δὲ οὐκ αὐτός ἐστιν ὁ αἰὼν, ἀλλὰ τὸ αἰῶνος μετέχον, τουτέστι τῆς ἀδιαστάτου καὶ ἀπείρου ζωῆς. ὡς οὖν καὶ τῶν αἰῶνος τουτέστι τοῦ ἀεὶ ὄντος μετεχόντων, καθ' ὅ-



Ministerio de Educación, Cultura y Deporte

μοιότητα αἰώνων λεγομένων, ποιητὴς ὁ θεὸς, πεποιηκέναι τοὺς αἰῶνας λέγεται, αὐτὶ τοῦ τὰ νοητὰ, αἰὼν αὐτῶν ὢν, καὶ συνοχεύς. οὕτω καὶ χρόνος ὁ ἄχρονος λέγεται, ἅτε καὶ χρόνων αἴτιος· ὅπερ γὰρ ἐν τοῖς νοητοῖς αἰὼν, τοῦτο ἐστὶν ἐν τοῖς αἰσθητοῖς χρόνος. ὥσπερ οὖν τὰ ὁρώμενα, εἰκόνες εἰσὶ τῶν ἀοράτων καὶ νοητῶν· καὶ αἰῶνα λέγομεν τὴν ἀτρεμῆ ἐκείνην καὶ ὁμοῦ πᾶσαν ζωὴν, καὶ ἄπειρον ἤδη καὶ ἀκλινῆ πάντη, καὶ ἐν ἑνὶ, καὶ περὶ ἑστῶσαν· οὕτω καὶ τὸν χρόνον, τότε μὲν ἐν τῷ ἀεὶ ὄντι ἀναπαύεσθαι, ἐκφανῆναι δὲ καθ᾽ ὑπόβασιν, ὅτε καὶ ὕστερον φύσιν ὁρατὴν ἐχρῆν προελθεῖν. τὴν οὖν εἰς τὰ αἰσθητὰ πρόοδον τῆς εἰς τὸ ταῦτα δημιουργεῖν ἀγαθότητος τοῦ θεοῦ, καλοῦμεν χρόνον· οὐ γὰρ ἡ κίνησις τῶν εἰς μοίρας καὶ ὥρας καὶ νύκτας καὶ ἡμέρας διαστάσεων, τοῦτο χρόνος, ἀλλ᾽ ὁμώνυμον τῷ χρόνῳ· ὥσπερ γὰρ τὸ μέτρον καὶ μετρούμενον εἰώθαμεν ὁμωνύμως καλεῖν, οὕτω καὶ ἐνταῦθα, οἷον ἐὰν τὸ ὑπὸ πήχεως μετρούμενον, εἴτε ἔδαφος, εἴτε τεῖχος, ἢ ἕτερον πῆχυν λέγομεν. αἱ γοῦν τῶν ἀστέρων φοραὶ, κατὰ τὸ εἰρημένον, Ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτοὺς πρὸς διορισμὸν καὶ δήλωσιν ἡμῖν ἐναργῆ παρὰ θεοῦ ἐγένοντο. ὁ οὖν καὶ ταῦτα διατάξας, αὐτὸς ἂν εἴη ὑπεραιωνίως καὶ ἀχρόνως ταῦτα ὡς αἴτιος.

Καὶ οὔτε ἦν) ὅτι οὔτε τὸ ἦν, οὔτε τὸ ἔστιν, οὔτε τὸ ἔσται κυρίως λέγεται ἐπὶ θεοῦ· ὑπὲρ γὰρ ταῦτα ὁ θεός. λέγεται δὲ καὶ ταῦτα, διὰ τὸ κατὰ πᾶσαν ἐπίνοιαν ὑπερουσίως αὐτὸν εἶναι).

Οὔτε ἦν) καλῶς εἶπεν, οὔτε ἦν· τὸ γὰρ ἦν δηλωτικόν ἐστι χρόνου. ἔστι δὲ ὁ θεὸς καὶ ὑπὲρ τὸ ἦν, τουτέστιν ὑπὲρ χρόνον. ἐρεῖς οὖν, καὶ πῶς κεῖται περὶ τοῦ θεοῦ λόγου, Ἐν ἀρχῇ ἦν ὁ λόγος· ἰδοὺ γὰρ ἐνταῦθα κεῖται τὸ ἦν πολλάκις λεγόμενον, ὅτι ἀρχὴ καὶ αἰτία πάντων ὁ πατήρ· διὰ τοῦτο οὖν, ἐν ἀρχῇ ἦν, φη-

Ministerio de Educación, Cultura y Deporte

σίν, ὁ λόγος, ἐπειδὴ ὁ υἱὸς ἐν τῷ πατρί ἐστι. καλῶς οὖν εἶπεν, Ἐν ἀρχῇ ἦν ὁ λόγος. τὸ δὲ ἔσται, σαφές ἐστι· τοῦτο γὰρ δηλοῖ, ὅτι νῦν οὐκ ἔστιν· ἀλλ᾽ ἔσται ποτὲ, ὅπερ ἐπὶ θεοῦ λέγειν, ἀνόσιον καὶ ἀπρόσφορον.

Μᾶλλον δὲ, ὅτι ἐστὶ) προσυπακουστέον, καὶ τοῦτο ὡς ἐπιλέγεται κυρίως, τὸ ἐγένετο καὶ τὰ σὺν αὐτῷ κείμενα. ἢ τὸ ἑτέρως νοητέον, ὡς ὑπὲρ πᾶσαν τοῦ εἶναι ἔννοιάν τε καὶ φαντασίαν ὑπάρχων. διὰ δὲ τοῦ εἰπεῖν τὰ ὄντα, τὸ ὅλως αὐτὰ πρὸς ὕπαρξιν ἀχθῆναι δηλοῖ. τὸ δὲ καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων προσθεὶς, τὴν διαμονὴν αὐτῶν ἐσήμαινε.

Καὶ ἔστιν αὐτὸ καθ᾽ αὐτὸ) ταῦτα οὐ δεῖ νομίζειν περὶ τοῦ τῶν ἁπάντων αἰτίου λέγεσθαι, ἀλλὰ περὶ τῶν ἐξ αὐτοῦ δημιουργικῶς ὑποστάντων, νοητῶν τε καὶ νοερῶν, καὶ αἰσθητῶν, τῶν λοιπῶν· καθὰ γὰρ προειρήκαμεν, ὁ θεὸς πρὸ τοῦ εἶναι· τὸ γὰρ ἐστὶ προών· τὸ δὲ εἶναι, ὅτι ἔμφασιν ἔχει τινὰ, προϋπόντος αἰτίου. προὼν μὲν οὖν λέγεται ὁ θεὸς, καὶ λοιπὸν λέγεται τὸ ὤν, ὡς ἁπάντων αἴτιος· εἶτα τὸ εἶναι τὰ πάντα ἐξ αὐτοῦ. τὸ οὖν εἶναι κατ᾽ ἐπίνοιαν, ἐκ μετοχῆς ὑπέστη τοῦ προεῖναι αὐτοῦ, οὐχ ὡς μερισθέντος τοῦ θεοῦ εἰς τὸ εἶναι καὶ προεῖναι, ἀλλὰ τὸ θέλημα αὐτοῦ τὸ παραγαγὸν εἰς τὸ εἶναι τὰ ὄντα, τοῦτο λέγεται εἶναι προϋποστὰν ἐν τῷ θεῷ, καὶ τύπου τοῦ θείου θελήματος, εἰς τὸ εἶναι κλίσιν προορισθέντος, εἰκότως πρὸ τῶν ἄλλων, ὧν μετέχει τὰ ὄντα τοῦ θεοῦ, πρεσβυτέρα τις ἀρχὴ ἡ τοῦ εἶναι, ἐπινοεῖται αὐτὸς ὁ θεός· πρῶτον γάρ ἐστί τι, τὸ ποτὲ ἐστὶ, καὶ ζωὴ, τὸ σοφία. οἱ γοῦν ἀόρατοι καὶ ἀνώτατοι νόες, πρῶτον τοῦ εἶναι μετέχον, τὸ οὕτω ζωῆς καὶ σοφίας· ὥσπερ γὰρ ἐφ᾽ ἡμῶν πρώτη τις ὑπέστη ὕλη, ἀφ᾽ ἧς ἐσμέν· οὕτω καὶ ἐπὶ τῶν ἀσωμάτων νόων, οἱονεὶ ὕλη, νοεῖται αὐτὸ τὸ ὂν ἑκάστου διὰ ζωῆς εἶδος, καὶ καθ᾽ ὃ οὐσίωται εἰς ζωὴν καὶ σοφίαν καὶ ὁμοιότητα· ὁμοιότητα δὲ τὸ ἄνω διε-

Ministerio de Educación, Cultura y Deporte

ξήλθομεν καὶ ταυτότητα, τὰς ἀναγωγοὺς ἐπὶ θεὸν δυνάμεις, καθ᾽ ἃς ὁμοιοῦνται αὐτῷ, προσεχεῖς αὐτῷ οὖσαι, καὶ τούτων καθ᾽ ὑπόβασιν μετέχουσι τὰ μετὰ ταῦτα πρώτου καὶ αὐτὰ τοῦ εἶναι μετέχοντα. ἀρχὰς δὲ τῶν ὄντων, τὰς πρώτως ὑποστάσας ἐν τῇ κτίσει οὐσίας νόησον, ἀρχὰς λεγομένας, οὐχ ὅτι ἐξ αὐτῶν τὰ ὄντα, ὡς ἀπὸ στοιχείων, ἀλλ᾽ ὅτι καθὰ εἴρηται, πρὸ τῶν μετ᾽ αὐτὰς ἐδημιουργήθησαν· οἷον ἐπὶ μὲν τῶν νοητῶν, ἀρχὴ κτίσεως θρόνοι, καὶ οὕτω τὰ ἑξῆς· ἐπὶ δὲ τῶν αἰσθητῶν, ἀρχὴ κτίσεως, οὐρανὸς καὶ γῆ· ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· τῶν γὰρ αἰσθητῶν, πρωτόκτιστα ταῦτα. εἶτα καὶ ἄλλως αἱ ἰδέαι, καὶ τὰ παραδείγματα, ἅπερ εἰσὶ νοήσεις αὐτοτελεῖς ἀΐδιοι τοῦ ἀϊδίου θεοῦ, καθὰ προείφημεν, ἐπινοοῦνται οἱονεὶ στοιχεῖα, καὶ ἀρχαὶ, καὶ ὕλη ἄϋλος, καὶ ἀσώματος τῶν μετεχόντων καὶ αὐτῶν τῶν ἰδεῶν, οἷον τῶν παραχθεισῶν ἀσωμάτων τάξεων· ἡ γὰρ αὐτοζωὴ, καὶ αὐτοσοφία, καὶ αὐτοτάξις, καὶ τἄλλα τὰ ἐν θεῷ παραδείγματά εἰσιν, ὧν μετέχουσιν αἱ δημιουργίαι, ὡς σημείου, ἤτοι κέντρου αἱ καθ᾽ εὐθεῖαν γραμμαὶ ἐπὶ τὸν κύκλον φερόμεναι.

Πάντων οὖν εἰκότως ἑαυτῷ ταύτην τὴν προσηγορίαν ἔθετο ὁ θεὸς, εἰπὼν, Ἐγώ εἰμι ὁ ὤν· διὸ περὶ τῶν ἄλλων, ὅσα περὶ αὐτοῦ λέγεται, οἷον ζωῆς, καὶ σοφίας, καὶ τῶν τοιούτων, εἰκότως ἀναγορεύεται. τῷ δὲ εἰπεῖν προεῖναι, καὶ ὑπερεῖναι, τὸ ἄναρχον καὶ πάντη ἀκατανόητον, τοῦ εἶναι τὸν θεὸν ὑφηγήσατο, ὃς καὶ τῷ προορισμῷ τῆς οἰκείας ἀρρήτου γνώσεως προϋπεστήσατο τὸ ὅλως εἶναι τὰ πάντα· τούτῳ γὰρ ἀθρόῳ κατὰ πρώτην προσβολὴν ἐπιβάλλει ὁ νοῦς τῷ εἶναι· εἶθ᾽ οὕτω τὸ ὁπωσοῦν εἶναι αὐτὰ θεωρεῖ. τὸ οὖν ἁπλῶς εἶναι, οὐ τὸ πῶς εἶναι ἐδήλωσεν, εἰπὼν καθ᾽ αὐτὸ τὸ εἶναι, ὥσπερ ἑξῆς τὴν αὐτοζωὴν, τὴν αὐτοομοιότητα, καὶ τὰ σὺν αὐτοῖς εἰπὼν, τὸ ὅλως εἶναι ζωὴν, καὶ

Ministerio de Educación, Cultura y Deporte

ἁπλῶς τὸ ζῆν, οὐχὶ δὲ τὸ τοιάνδε ζωὴν εἰσηγήσατο, καὶ τὰ ἄλλα δὲ ὁμοίως, τοῦτο πρὸ τῶν κατηγοροῦνται τὸ εἶναι.

Καὶ εἰ βούλει, τῶν ζώντων) ὥσπερ λόγῳ τινὶ ἐπὶ τῶν ποιοτήτων οἱονεὶ προϋπῆρξαν αἱ αὐτοποιότητες· εἶτα συμβαίνουσαι, ποιοῦσιν οὕτως. καὶ ταῦτα νόει, ὅτι ἡ αὐτοσώματος λευκότης, ἐπιγενομένη σώματι, λευκαίνει τοῦτο· οὕτω καὶ τὰ εἰρημένα ὧδε νόησον ἀναλόγως, ὅτι προϋπῶν ὁ θεός, ἤτοι ἡ ζωή, ζωοῖ πάντα τὰ αὐτοῦ μετέχοντα.

Τὰς αὐτομετοχὰς) μετοχὰς φησίν, ὧν τὰ ὄντα μετέχουσιν, ὅτι αὐτὸ τὸ εἶναι ἡ ζωή, ἡ σοφία, ἡ τάξις, καὶ τὰ λοιπά, αἵτινες μετοχαί, θεῖαι τυγχάνουσι δωρεαί, ἃς καὶ ἀρχὰς τῶν ὄντων ἐκάλεσε.

Καὶ ἔστιν ἐξ αὐτῆς, καὶ ἐν αὐτῇ) οὕτω νοητὸν ἡ αὐτοῦ ὑπεραγαθότης νοῦς οὖσα, καὶ ὅλη ἐνέργεια, εἰς ἑαυτὴν ἐστραμμένη, ἐνεργείᾳ ἐστίν, οὐ δυνάμει, πρότερον οὖσα ἀφροσύνη, εἶτα νοῦς ἐνεργείᾳ γινομένη· ὅθεν καὶ ἐστὶ νοῦς μόνον καθαρός, οὐκ ἐπίστακτον ἔχων τὸ φρονεῖν, ἀλλὰ παρ' ἑαυτοῦ πάντως νοεῖ· εἰ γάρ, ἡ μὲν οὐσία αὐτοῦ ἄλλη ἐστίν, ἃ δὲ νοεῖ, ἕτερα αὐτοῦ, αὐτὸς ἀνόητος ἔσται, ἤγουν ἡ οὐσία αὐτοῦ. εἴ τι δὲ ἔχει, παρ' ἑαυτοῦ ἔχει, οὐ παρ' ἄλλου· εἰ δὲ παρ' ἑαυτοῦ, καὶ ἐξ αὐτοῦ νοεῖ· αὐτὸς ἐστὶν ἃ νοεῖ, οὐκοῦν νοῦς ὤν, ὄντως νοεῖ τὰ ὄντα ὡς ὤν. εἰ οὖν νοῶν ἑαυτὸν τὰ ὄντα νοεῖ, αὐτός ἐστι τὰ ὄντα· ἢ γὰρ ἑτέρωθι ὄντα, αὐτὰ νοήσει· ἢ ἐν ἑαυτῷ, ὡς αὐτοῦ ὄντα, ἀλλαχοῦ μέν, ὄντα οὖν οὐ δυνατὸν νοῆσαι· ποῦ γὰρ ὄντα ἐν αἰσθητοῖς· τὰ γὰρ αἰσθητὰ οὐκ εἰσὶν ὄντα, ἅτε τι ἐπιδέοντα, καὶ γινόμενα, καὶ ἀπολλύμενα. ἑαυτὸν οὖν ἄρα καὶ ἐν ἑαυτῷ νοεῖ. ἐπειδὴ δὲ καὶ ποιητὴς τῶν ὄντων ἐστὶν ὁ θεός, ἐν τῷ μήπω ὄντι νοήσει αὐτά· ἀλλ' αὐτὸς ἀρχέτυπόν ἐστι τούτου τοῦ παντός· καὶ ἃ νοεῖ, οὐ τύποις λαμβάνων, ἀφ' ἑτέρων αὐτὸς ὢν τῶν ὄντων παράδειγμα· ὥστε

οὔτε αὐτὸς ἐν τόπῳ, οὔτε τὰ ἐν αὐτῷ ὡς ἐν τόπῳ· ἀλλ' ἔχει αὐτὰ ὡς ἑαυτὸν ἔχων, καὶ ἐνὼν αὐτοῖς, πάντων μὲν ὁμοῦ ὄντων, καὶ ἐν ἀμερεῖ ὄντων ἐν αὐτῷ· διακεκριμένων δὲ, ἐν τῷ ἀμερεῖ ἀμερῶς. αἱ τοίνυν νοήσεις αὐτοῦ, εἰσὶ τὰ ὄντα· τὰ δὲ ὄντα, εἰσὶ τὰ εἴδη. νοήσεις δὲ, οὐχ οὕτως ἀκουστέον, ὅτι ἐπειδὴ τόδε ἐνόησεν, ἐγένετο τόδε, ἢ ἔστι τόδε· ταύτης γὰρ τῆς νοήσεως προηγεῖσθαι δεῖ νοούμενόν τι, ἵνα αὐτὸ νοήσας ποιήσῃ· ἀλλὰ νοεῖ τὰ ὄντα, ἅτε ἑαυτὸν νοῶν, καὶ τοῖς οὖσι συναπτόμενος· αὐτὴ γὰρ αὐτοῦ ἡ νόησις γένεσίς ἐστι τοῖς οὖσι. τὸ οὖν ἑνὸν ἐν αὐτοῖς, τοῦτο ἐστὶ τὸ εἶδος, καὶ τοῦτο ἐστὶν ἡ ἰδέα· αὐτὸς δὲ νοῦς ὢν ὅλως, ὅλος ἐστὶν ἐπιστήμη· τὰ δὲ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ, νόες ἐοικότες θεωρήμασι τῆς ἐπιστήμης. εἰσὶ δὲ ὁμοῦ καὶ διακεκριμένα ἐν αὐτῷ, ὡς καὶ ἐν ψυχῇ ὁμοῦ πολλαὶ ἐπιστῆμαι οὖσαι, ἀσύγχυτοι μένουσι, καὶ ἐνεργοῦσιν ἔξω κατὰ μίαν, ὅταν δέῃ, καὶ πάσας ὁμοῦ τὰς δυνάμεις ἡ ψυχὴ ἐν ἑαυτῇ ἔχει, καθ' ἃς προνοεῖ τοῦ σώματος, καὶ ὅμως ἀσυγχύτως αὐτὰς κατὰ καιρὸν προβάλλει, τὴν μὲν φυτικὴν ἐνεργοῦσα περὶ τὸ σῶμα δύναμιν, καθ' ἣν τρέφει τοῦτο, καὶ αὔξει, καὶ πρὸς γεννᾶν ἐπιτήδειον ποιεῖ· τὴν δὲ αἰσθητικὴν ἐνεργεῖ δύναμιν, περὶ φλέβας καὶ ἀρτηρίας, καὶ τὴν σάρκα, καὶ τὰ νεῦρα· καθ' ἣν δύναμιν τῶν αἰσθητῶν ἀντιλαμβανόμεθα. τὴν δὲ δοξαστικήν, καθ' ἣν κρίνει τὰ αἰσθητά· καὶ τὴν φανταστικήν, καθ' ἣν φαντάζεται τὰ αἰσθητά· ἀναζωγραφικὴν δὲ, καθ' ἣν ἀναπλάττει· καὶ μνημονευτικήν, καθ' ἣν μέμνηται· ὀρεκτικὴν δὲ, καθ' ἣν ὀρέγεται, καὶ κινεῖ τὸ ζῶον κατὰ τόπον· καὶ εἰκαστικήν, καὶ θυμοειδῆ, καὶ ἐπιθυμητικήν· ταύτας γὰρ ἔχει δυνάμεις σώματι χρωμένη, ἐν τῷ ἀλόγῳ αὐτῆς μέρει· μετὰ δὲ θάνατον ὁ νοῦς μόνος ἔσται ἐνεργῶν, τούτων ἀργουσῶν.

Καὶ τὰ ὁπωσοῦν τῷ εἶναι) ἐκ τῆς τοῦ θεοῦ ὑπεραγαθότητος

Ministerio de Educación, Cultura y Deporte

φησὶν, ἥτις ἐστὶν αὐτὸ τὸ εἶναι αὐτοῦ τοῦ θεοῦ, ἡ ὕπαρξις τῶν ὄντων, καὶ ἡ τούτων διαμονή. ἑνιαίως φησὶν, ἤγουν κατὰ ἁπλῶν τινὰ καὶ περιεκτικὴν τῶν ὅλων αἰτίαν, καὶ ἄσχετον· οὐδενὶ γὰρ λόγῳ, ἢ νοήματι, ἢ πράγματι ἔχει τὸ θεῖον τὴν πρὸς τὰ ὄντα σχέσιν τε καὶ κοινωνίαν· ἀλλ᾽ ἔστι πάντῃ καὶ κατὰ πάντα ὑπερῃρημένον, μόνῳ τῷ συνέχειν, καὶ προνοεῖσθαι τούτων ἐφαπτόμενον, ὡς ἄν τις εἴποι. τὰ δὲ ἑξῆς ὑποδείγματα πιστωτικὰ τοῦ λόγου τοῦ εἶναι πάντα ἐκ θεοῦ, ὡς αἰτίου τῆς τούτων ὑπάρξεως, ἄλλο παρὰ ταῦτα ὑπάρχοντος, καὶ ἐν ἑαυτῷ συνεστάναι ἄλλως παρὰ ταῦτα ὑπάρχοντι.

Καὶ ἔχει πάντα ἀριθμὸν) ὁ γὰρ ἀριθμὸς ἐκ πολλῶν μονάδων συντεθειμένων εἰς μέγεθος παραύξει. ἡ οὖν μονὰς, ὡς αἰτία ἀριθμῶν, ἑνοειδῶς τοὺς πάντας περιείληφεν ἀριθμούς· οὕτω καὶ τὸ κέντρον, ἤτοι σημεῖον, τὰς ἐπὶ τὸν κύκλον εὐθείας περιέχει.

Καὶ ἐν κέντρῳ) ταῦτα βεβαιωτικὰ τοῦ λόγου ὑποδείγματα. σημείωσαι ὡς καὶ ἀπὸ τῶν γραμμικῶν τὰ περὶ θεοῦ σαφηνίζει, κέντρῳ αὐτὸν παρεικάζων.

Ἑνοειδῶς ἡνωμένας) τὸ ἑνοειδῶς ἐνταῦθα τέθεικεν, ἀντὶ τοῦ ἁπλῶς, καὶ ὁμοίως· οὐ γὰρ ἑτεροίως.

Ἀλλὰ καὶ ἐν τῇ ὅλῃ τῶν ὅλων) πρόδηλον, ὅτι ἐν τῷ ὅλῳ τὰ μέρη, οὐκοῦν οἱ ἐν τοῖς καθ᾽ ἕκαστον τῶν ὄντων φυσικῶς θεωρούμενοι, τῶν ἐνυπαρχουσῶν αὐτοῖς δυνάμεων, ἢ κινήσεων λόγοι, ἐν τῇ καθόλου λαμβανομένῃ φύσει θεωροῦνται φησὶν, οἷς οἱ τῆς ἔξω φιλοσοφίας, πάντα τὰ καθ᾽ ἑαυτῆς ὑπάρχοντα, καὶ ἐν ἄλλοις θεωρούμενα, ἅ ἔμψυχά τε καὶ ἄψυχα φαμέν. ταῦτα πάντα ὑπὸ μίαν κατηγορίαν ἤγαγον, εἰπόντες οὐσίαν ἐν τῇ τοιαύτῃ φωνῇ περιλαμβάνοντες), καὶ τὰ τῆς καθ᾽ ἕκαστον οὐσίας ἰδιώματα, καὶ οἱ λόγοι ἀσύγχυτοι μένοντες· ἔτε-

Ministerio de Educación, Cultura y Deporte

ρος γὰρ τῶν ἐμψύχων, καὶ ἄλλος τῶν ἀψύχων ὁ λόγος. ὡσαύτως καὶ τῶν αἰσθητικῶν, τουτέστι λογικῶν τε καὶ ἀλόγων, καίτοι κατὰ τὸν τῆς οὐσίας, ἤτοι τοῦ ἁπλῶς εἶναι συνῳκειωμένοι λόγον. τὸ δὲ ἐν ψυχῇ μονοειδῶς εἴρηκε, σημαίνων μίαν εἶναι τὴν ἐκ ψυχῆς ἐνδιδομένην ὅλῳ τῷ σώματι ζωτικὴν δύναμιν, ποικίλως ἐνεργοῦσαν ἐν τοῖς μέρεσιν.

Ἀρχὴ γὰρ ἐστὶ τῶν ὄντων) εἰ αἴτιον ἐστὶ τὸ δι' ὃ γίνεται τὸ γινόμενον, εἰκότως ἐν τῷ πάντων αἰτίῳ πάντα προϋφέστηκεν, ὡς ἐν ἰδέᾳ καὶ παραδείγματι, καθὰ προείρημεν ὁμοῦ καὶ ἑνοειδῶς, καὶ τὰ ἐναντία, ὡς ἐν τῷ θεῷ ὡς εἴρηται ἐπιθεωρούμενα. πῶς δὲ καὶ ἡνωμένως, καὶ ἐναντία, οὕτω νοήσεις· τὸ κοσμηθὲν ἔχει τὸ εἶδος μεμερισμένον, ὡς ἐν τῷ κόσμῳ, ἀλλαχοῦ τὰ ἄστρα, καὶ ἀλλαχοῦ τὸν ἄνθρωπον· καὶ αὖθις ἄλλῃ τὸ πῦρ, καὶ ἄλλῃ τὸ ὕδωρ· ἐναντία γὰρ ὄντα, ἐὰν ὁμοῦ γένωνται, συμφθείρονται· ἐν δὲ ταῖς νοήσεσι τοῦ θεοῦ, καὶ πάντα ὁμοῦ ἦσαν ὄντα καὶ ἀσυγχύτως, καὶ οὐκ ἐν τόπῳ· οὐ γὰρ σώματά εἰσιν, οὔτε ἐν σώματι, ἀλλ' ἐν ἀϊδίοις νοήσεσιν, αἵτινές εἰσι παραδείγματα· ὅθεν καὶ πάντων ἀρχὴ ὁ θεός· ἀρχὴ γάρ ἐστι πᾶν τὸ προϋφεστὼς τοῦ γινομένου καὶ πρὸς τοῖς ἄλλοις, καὶ τάξις ἐστὶ τῶν ὡς τεταγμένων· τάξις δὲ ἐστὶν ἐργασία ὁμοιότητος πρὸς ἄλληλα πάντων τῶν ὄντων, καὶ συμμετρία γινομένη αἰτία κοινωνίας τῶν πρὸς ἄλληλα παντὸς τοῦ ὄντος. ἀλλὰ καὶ πᾶσα στάσις, καὶ πᾶσα κίνησίς ἐστι τῶν ὄντων ὁ θεός. διαφόρως δὲ ταύτας νοητέον καὶ ἐπὶ μὲν τῶν νοητῶν καὶ τῶν νοερῶν, ἡ φύσις ἀρχὴ οὖσα κινήσεως καὶ στάσεως, ἤτοι ἠρεμίας· ταὐτὸν γάρ ἐστιν ἐνέργειαν δηλοῖ ἥτε γὰρ κίνησις, ἡ εἰς διακονίας θείας καὶ διδασκαλίας τῶν ὑποβεβηκότων ἐνέργειά ἐστι ζωτική, ἥτε ἠρεμία καὶ στάσις, αἰώνιος οὖσα καὶ ἄτρεπτος, τὴν οἰκείαν ἐνέργειαν δηλοῖ τοὺς νόας, καὶ τῶν θείων ἐμφορεῖσθαι. ἐπὶ δὲ τῶν αἰσθητῶν ἡ φύσις

Ministerio de Educación, Cultura y Deporte

ἀρχὴ οὖσα κινήσεως καὶ στάσεως, ἤτοι ἠρεμίας, τὴν μὲν κίνησιν δηλοῖ εἰς τὸ εἶναι παραγωγήν· τὴν δὲ στάσιν, ἤτοι ἠρεμίαν, τὴν διὰ τῆς φθορᾶς τοῦ εἶναι, ἢ παῦσιν, ἢ μεταβολήν. λέγεται δὲ ταῦτα εἶναι ὁ θεός, ὡς αἴτιος αὐτῶν ὑπάρχων ὑπερουσίως· κίνησις δὲ ἐπὶ θεοῦ, ἡ εἰς τὰ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ ἐν ἀγαθότητι προνοητικὴ πρόοδος. στάσιν δὲ τὸ ἀεὶ ὡσαύτως ἔχειν, καὶ ἀνεκφοιτήτως, ἑαυτοῦ τὴν ἀνεπίγνωστον ἠρεμίαν καὶ ἀτρεμῆ ἀοχλησίαν κεκλῆσθαι. σημειωτέον δὲ, ὅτι τὰς νοητὰς δυνάμεις αἰωνίας ἐκάλεσεν, ὡς αἰῶνος μετεχούσας. ἡ δὲ τοῦτο λέγουσα γραφή ἐστι, Τὰ γὰρ βλεπόμενα πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. τὰ δὲ ἐν ἑτέροις ὑπάρχοντα, εἰσὶν οἷον ἁγιασμός, ἀθανασία, ἢ ζωή· ταῦτα γὰρ ἐν νοηταῖς καὶ νοεραῖς οὐσίαις τοιαῦτα εἰσί. κατ' ἐπίνοιαν δὲ λέγονται ἐν τοῖς νοητοῖς καὶ ἡμῖν, ὡς θεοὶ καὶ κύριοι καὶ δυνατοὶ ἰσχύϊ ἄγγελοι κατὰ μέθεξιν καὶ ἄνθρωποι.

Πᾶς ὅρος, καὶ τὰ ἄλλα) ὅσα τῷ εἶναι, ὄντα εἰσί, ταῦτα φησὶν ἐν ἑτέροις θεωρούμενα, ὑπάρχειν, καὶ οὐ καθ' ἑαυτά· αἱ γὰρ οὐσίαι· ταῦτα γὰρ ἐκάλεσεν ὄντα τῶν καθ' ἑαυτὰ εἰσὶν ἅς τινας χαρακτηρίζουσιν, ἀθανασία, σοφία, τάξις, ἁρμονία, καὶ τὰ σὺν αὐτοῖς, ἅπερ ἐν ἑτέροις ὑπάρχειν λέγονται, ὥσπερ καὶ τὰ κατ' αἴσθησιν περὶ τὰ σώματα ὁρώμενα· οἷον χρῶμα, σχῆμα, πηλικότης, καὶ τὰ ὅμοια· ἅπερ σωμάτων ἐκτὸς σώζεσθαι ἀδύνατον. διεῖλε δὲ αὐτὰ ὁ πατήρ, τῶν κατ' ἐπίνοιαν. ταῦτα δὲ εἶναι φαμὲν, τὰ τῇ νοήσει καταλαμβανόμενα, οἷον νόημα, λόγον, αἴσθησιν, καὶ τὰ τοιαῦτα· ἅτινα τῇ ἐπινοίᾳ μόνῃ οἱονεὶ τῇ ἐπενθυμήσει γνωρίζομεν· ἢ καὶ κατ' ἐπίνοιαν λέγει, τὰ νοητά, καὶ αἰσθήσει ὑποπίπτοντα μηδαμῶς.

Αἱ νοηταὶ καὶ νοεραὶ) σημείωσαι δὲ, ὅτι τὸ νοηταί, ὡς πρὸς ἡμᾶς· τὸ δὲ νοεραί, ὡς πρὸς τὸν θεὸν νοεῖται.

Ministerio de Educación, Cultura y Deporte

Καὶ τὸ εἶναι) καὶ τὸ θεοειδῶς εἶναι.

Καὶ τὰ ἄλλα πάντα) ὅτι αὐτὸς αἴτιος τοῦ εἶναι τὰ πάντα, καὶ πρὸ τοῦ εἶναι, ἅτε καὶ ἰδέα, ἤτοι παράδειγμα ὢν τοῦ εἶναι, ὡς ἐντεῦθεν δηλοῦται· τὸ γὰρ αὐτὸ εἶναι, οὐκ αὐτὸ ἐστὶν ὁ θεός, διὰ τὸ εἶναι τὸν θεὸν, ἀλλὰ διὰ τὸν θεόν, καὶ τὸ εἶναι ἐστὶ, καὶ λέγεται· διὸ ἐν τῷ θεῷ ἐστὶ τὸ εἶναι, ὡς ἰδέα· οὐ μὴν ὁ θεὸς, ἐν τῷ εἶναι ἐστί· πρὸ γὰρ τοῦ εἶναι ἦν· ὅμως διὰ τὸ πάντων αἴτιος εἶναι, καὶ παραγωγεὺς δείκνυται, καὶ ἔξω πάντων ἐστὶν, ὡς αἴτιος πάντων, καὶ τοῖς τῶν πάντων γνωρίσμασι προσαγορεύεται, ὡς τὰ πάντα παραγαγών.

Καὶ αὐτοῦ ἐστὶ τὸ εἶναι) αὐτοῦ μὲν, ὡς ἐξ αὐτοῦ ἐστὶ τὸ εἶναι· ἐν αὐτῷ δὲ τῷ συντηρεῖσθαι παρ' αὐτοῦ· οὐκ αὐτὸς δὲ τοῦ εἶναι, οὐδὲ ἐν τῷ εἶναι συνεχόμενος· ὑπὲρ γὰρ τὸ εἶναι, ὁ ὑπερούσιος.

Καὶ οὐκ αὐτὸς ἐν τῷ εἶναι) προσυπακουστέον ἐν ἀμφοτέροις τὸ αἴτιον, τουτέστι τὸ εἶναι αὐτοῦ ἔχει αἰτίαν, καὶ οὐχὶ αὐτὸς, ὡς ἐκ προηγουμένης αἰτίας ἔχει τὸ εἶναι.

Κατὰ πᾶσαν τῶν ὄντων ἐπίνοιαν) ἡ τῶν ὄντων θεωρία, ἣν ἐνταῦθα ἐπίνοιαν ἐκάλεσε, πολλή τις οὖσα καὶ ποικίλη πάσῃ ἐπιβολῇ τοῦ νοῦ, προϋπαντῶσαν εὑρίσκει τοῦ αἰτίου τὴν ἔννοιαν, ἤγουν τοῦ δημιουργοῦ. τὸ οὖν πολλαπλασιάζεσθαι δηλοῖ, τὸ ἐν τοῖς πολλοῖς τὸν αὐτὸν αἴτιον θεωρεῖσθαι.

Καὶ τὸ ἐστὶ, καὶ τὸ ἔσται) ἅπερ ἐν τῷ περὶ αὐτοῦ ἀπέφησε, νῦν ἐπιπὼν τῷ θεῷ ἀναγκαίως ἑαυτὸν ἑρμηνεύων κατὰ τὴν τοῦ αἰτίου ἔννοιαν ταῦτα νοεῖν ὑπέβαλε. τὸ μὲν οὖν ἐγένετο, καὶ γίνεται, καὶ γενήσεται, ἐπὶ μὲν τῶν κτισμάτων κυρίως κατηγορεῖται· τὰ μὲν γὰρ, ἅπαξ ἐγένετο, οἷον οὐρανὸς, ἄγγελοι, ἥλιος, καὶ τὰ τοιαῦτα, ἐφ' ὧν χώραν οὐκ ἔχει τὸ γίνεται καὶ γενήσεται. τὸ δὲ παρὰ τῷ Δαβὶδ λεχθὲν, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, ἢ κατὰ τὸ συντηρεῖσθαι ληπτέον, καθὰ εἴρηται, Ὁ πατήρ

Ministerio de Educación, Cultura y Deporte

τήρ μου ἕως ἄρτι ἐργάζεται· ἢ κατὰ τὴν συνήθειαν τῆς γραφῆς ἐνηλλαγμένως τὴν σημασίαν τὴν χρονικὴν πολλάκις παραγούσης, καὶ ἀντὶ παρῳχηκότος μέλλοντι κεχρημένης, καὶ τὸ ἔμπαλιν. ἐπὶ τούτων μὲν οὖν κυρίως τὸ ἐγένετο· γίνεται δὲ καὶ τὰ ἐν γενέσει καὶ φθορᾷ πάντα, καὶ ὅσα κατὰ ἀντιπεριχώρησιν· οἷον ἡ νύξ, ἡ ἡμέρα, θέρος, καὶ ἔαρ, καὶ τὰ τοιαῦτα. γενήσεται δὲ μόνως, ἅτινα οὔπω γεγόνασιν ὅλως. προσδοκῶνται δέ, οἷον ἡ τοῦ παντὸς μεταστοιχείωσις, καὶ τὰ σὺν αὐτῇ. ὡς τούτων οὖν ἁπάντων αἴτιος ὁ θεὸς ὑμνεῖται· οὐ γὰρ εἶπε, ταῦτα ἐπ' αὐτοῦ κατηγορεῖται, ἀλλὰ κυρίως ὑμνεῖται. τὸ δὲ ἦν καὶ τὰ σὺν αὐτῷ κατὰ πᾶσαν ἐπίνοιαν οὐκ ἄλλῳ τινὶ ἢ τῷ θεῷ ἁρμόσει, διὰ τὸ πάσης ἀρχῆς ἀνώτερον ἐπ' αὐτοῦ θεωρεῖσθαι τὸ ἦν. τὸ δὲ ἔστι καὶ τὸ ἔσται ὡς πάντη τὸ ἀναλλοίωτον, καὶ κατὰ πάντα ἀμετάβλητον ἔχοντος· διὸ καὶ ὑπερούσιος λέγεται. Εἰς τὸ αὐτό. Πῶς ἀνωτέρω εἰπών, οὔτε ἦν, οὔτε ἐστίν, οὔτε ἐγένετο, οὔτε γίνεται, οὔτε γενήσεται, ἐνταῦθα φησὶν ἐπ' αὐτοῦ καὶ τὸ ἐστί, καὶ τὸ ἔσται, καὶ τὸ ἐγένετο, καὶ τὸ γίνεται, καὶ γενήσεται, κυρίως ὑμνεῖται. ἆρα ἐναντίως ἑαυτῷ λέγει ὁ ἅγιος Διονύσιος; μὴ γένοιτο· ἀνωτέρω μὲν γὰρ αὐτὸν δημιουργὸν εἶπε πάσης ὑπάρξεως, ὑποστάσεως, οὐσίας, φύσεως, καὶ τοῦ χρόνου. εἰκότως οὖν ἐπὶ αὐτοῦ τὸ ἦν ἔταξε, καὶ τὰ ἕτερα, ἵνα νοήσῃς, ὅτι οὔτε ἀπὸ χρόνου, οὔτε ἐν χρόνῳ, οὔτε μετὰ χρόνον ἤρξατο ὁ θεός, ἀλλ' ὅτι καὶ αὐτοῦ τοῦ εἶναι ἀνώτερός ἐστιν· ἐν αὐτῷ γὰρ εἶπε τὸ εἶναι· ἐνταῦθα δέ, ἐπειδὴ κατὰ πᾶσαν ἐπίνοιαν εἶπεν αὐτὸν πολλαπλασιάζεσθαι, δικαίως εἶπεν ἐπ' αὐτοῦ καὶ τὸ ἦν, καὶ τὸ ἔσται, καὶ τὰ ἑξῆς· ἵνα οἷον καιρόν, ἢ χρόνον ἐπινοήσῃς, ἐκεῖ τὸν θεὸν εὑρήσεις καὶ ὑπὲρ τὰ ὄντα, καὶ προόντα, καὶ αὐτῶν τῶν ὄντων αἴτιον καὶ δημιουργόν, καὶ οὐδὲν ἐξ αὐτῶν ὄντα, ὥσπερ λέγομεν, ὅτι οὐδὲν τῶν ὄντων ἐστί, καὶ ἐν τοῖς πᾶσιν ἐστί.

Καὶ οὐδέν ἐστι τῶν πάντων) πρὸς τὸ πάνσχημος τὸ ἄμορφος, διὰ τὸ ὑπὲρ ἀσωματίαν, καὶ ὑπὲρ ἀϋλίαν, οὐ μεμορφωμένος· πρὸς δὲ τὸ πανείδεος, τὸ ἀκαλλής. ἀκαλλῆ δὲ λέγει, ὡς καὶ τοῦ κάλλους ἐξ αὐτοῦ γεγονότος, αὐτοῦ δὲ καὶ ὑπὲρ κάλλος ὄντος. αἱ δὲ χρήσεις, Καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, καὶ τὰ ἑξῆς.

Εἰ γὰρ ὁ καθ' ἡμᾶς ἥλιος) κάτω ἐν τῷ τέλει τοῦ ἑξῆς λόγου, ἤτοι τοῦ ἕκτου κεφαλαίου, ὅπου τὸ σημεῖον, δείκνυσιν ὅτι οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ ὁ ἥλιος, ἀλλ' ἐκ τῆς πάντων αἰτίας καὶ ἀρχῆς, ἥτις ἐστὶν ὁ θεός. καλῶς δὲ ἀπέδειξεν ἐκ τοῦ ἡλίου τὸ περὶ θεοῦ νοούμενον· ὥσπερ γὰρ αὐτὸς εἷς ὢν ὁ ἥλιος, πάντα τὰ αἰσθητὰ ζωογονεῖ καὶ τρέφει, καὶ αὔξει, καὶ ἀναλλάττει, τουτέστιν ἀπὸ μικρῶν μεγάλα ποιεῖ, ἢ καὶ ἀπὸ σπόρου τὸ ἐξ αὐτοῦ φυόμενον βλαστὸν ἢ δένδρον· καὶ ἐν πᾶσι τοῖς ὁρωμένοις ἐστὶ, μηδὲν ἐξ αὐτῶν ὑπάρχων· οὕτω καὶ ὁ θεὸς καὶ αὐτοῦ τοῦ ἡλίου, καὶ ἁπάντων τῶν αἰσθητῶν, καὶ τῶν νοητῶν, καὶ τῶν νοερῶν, ὢν αἴτιος, οὐδὲν ἐκ τῶν ὄντων ἐστὶ, καὶ ἐν τοῖς πᾶσιν ἐστίν· αὐτοῦ γὰρ τὰ πάντα μετέχει· διὸ καὶ ἡ γραφὴ, δικαιοσύνης ἥλιον αὐτὸν ὀνομάζει.

Παραδείγματα) τὰ παραδείγματα, ἅτινα καὶ ἰδέας καλοῦσιν, ἤδη μὲν καὶ ἀνωτέρω ἐδηλώσαμεν, ὅπως ὁρίζονται, ὅτι ποίησιν αὐτοτελῆ ἀΐδιον τοῦ ἀϊδίου θεοῦ τὴν ἰδέαν, ἤτοι τὸ παράδειγμα φησί. καὶ ἐνταῦθα μέντοι σαφηνίζει ὁ μέγας Διονύσιος τὴν γραφὴν, προορισμοὺς καλῶν τὰς ἰδέας, αἰνιττόμενος τὸν θεῖον Παῦλον, ὃς ἐν τῇ πρὸς Ῥωμαίους φησίν, Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ ἑτέρωθι, Προορίσας ἡμᾶς ἐν τῷ θελήματι αὐτοῦ· θέλημα γὰρ καὶ προορισμὸν τὰ παραδείγματα καὶ τὰς ἰδέας λέγει· παράγει μέντοι καὶ τὸν μακάριον Κλήμεντα, οὗ μέμνηται ὁ ἀπόστολος, εἰπόντα, ἐν

Ministerio de Educación, Cultura y Deporte

τοῖς οὖσιν εἶναι παραδείγματα ἀρχικώτερα, ὅτι τῶν πρός τι. σαφέστερον δὲ οὕτως ἔσται τὸ λεγόμενον, ἔστι τις δόξα γραμμῇ ἀπεικάζουσα τὰ πάντα· καὶ τῆς γραμμῆς, τὸ μὲν ἄνω μέρος, τοῖς νοητοῖς ἀποδιδοῦσα· τὸ δὲ κάτω, τοῖς αἰσθητοῖς. καὶ τούτων, τοῖς μὲν ἀρχικωτέροις, ἅπερ εἰσὶ τὰ ἰδίως νοητά, τὸ πρῶτον καὶ ἀνώτερον μέρος· τοῖς δὲ ἐκ τῶν νοητῶν, τὸ μετ' ἐκεῖνο· εἶτα οὕτω καθ' ὑπόβασιν τῆς γραμμῆς, τὰ ἄλλα. δεῖξαι γὰρ θέλει ἡ τοιαύτη δόξα, μὴ τῆς ἀξίας τῆς αὐτῆς εἶναι τὰ πάντα, ἀλλ' ἐξ ἀλλήλων ἔνια γινόμενα, ὅτι τὰ ὑφειμένα εἴδη, τῶν καθολικῶν ἐν δημιουργίᾳ καὶ ἀρχῶν, ἃς καθολικὰς ἀρχὰς ἀρχικώτερα φησί. τὸν οὖν ἱερὸν κλήμεντα φησὶ λέγειν, εἶναι καὶ ἐν τοῖς ποιήμασι παραδείγματα γενικώτερα, ἤτοι ἰδέας τῶν πρός τι, αἵτινες τῶν ὑποβεβηκότων εἰδῶν τῇ πρός τι τῶν ὑπερβεβηκότων ὑπόδειγμα ὑποστάντων, ὅτι τὸ ἔνυλον πῦρ πρὸς τὸ αἰθέριον. ἀλλ' οὐ ταῦτα κυρίως ἰδέας φησὶν ὁ μέγας διονύσιος, ἀλλὰ τὰς νοήσεις τοῦ θεοῦ· κἂν γὰρ λέγηται παραδείγματα ἐν κτίσει, ἀλλ' οὐ προσηκόντως, ὥς φησι μωϋσῆς· ποῦ δὲ ταῦτα εἶπεν ὁ ἅγιος κλήμης, οὐκ ἐδήλωσε.

Παραδείγματα δὲ φαμὲν εἶναι) πλάτων μὲν τὰς ἰδέας καὶ τὰ παραδείγματα ταπεινῶς καὶ ἀναξίως θεοῦ ἐξείληφεν· ὁ δὲ πατήρ, τῇ μὲν λέξει ἐχρήσατο, τὴν δὲ ἔννοιαν εὐσεβῶς ἐξηγήσατο. ἀφοριστικὰ δὲ ἔφη τὰ θεῖα θελήματα καὶ ποιητικά, τὸ μὲν, ὅτι μόνῳ τῷ βούλεσθαι τὰ πάντα ὑφίστησι καὶ ποιεῖ· τὸ δὲ, καὶ διὰ τὸ ἐπιπροειδῆ καὶ διάφορα τὰ ὄντα γίνεσθαι. σημείωσαι οὖν, ὅτι παραδείγματα καλεῖ, τοὺς ἐν τῷ θεῷ τῶν ὄντων οὐσιοποιοὺς καὶ ἑνιαίως προϋφεστῶτας λόγους, ἤτοι προορισμούς.

Προείπομεν, οὐ διὰ κυρίων) μᾶλλον ὁ μακάριος κλήμης,



Ministerio de Educación, Cultura y Deporte

δόξῃ τινὶ κατηκολούθησε λεγούσῃ, καὶ ἐν τῇ γενέσει τῶν ὄντων αἰσθητῶν εἶναι ἀρχικὰς τινὰς αἰτίας, οὐ τὰς τῶν νοητῶν, ἤτοι ἀσωμάτων ἀγγέλων ἐνεργείας ἤτοι εἰς οὐσίαν παραγωγάς, αἰτίας ἀρχικὰς ἔχειν τὰς ἰδέας ἤτοι νοήσεις τοῦ θεοῦ· περὶ ἃς ἰδέας παραδειγματικὰς οὔσας, τὰ νοητὰ εἶναι ὡς ἐνεργείας ἀρχικὰς καὶ ἡγεμονικάς. ἐπὶ δὲ τῶν αἰσθητῶν, αἴτιον ἀρχικὸν, καὶ εὐδαιμονικὸν, καὶ δημιουργικὸν, τὸ εἶδος, τὸ ἐπὶ τῇ ὕλῃ εἰρημένη φησὶ δόξα· τὸν γὰρ λόγον τῆς ἐν γενέσει φύσεως, καθ' ἣν εἰδοποιεῖται τὰ αἰσθητά, τοιοῦτον εἶδος φησὶν ἀρχεῖον. ἔοικεν οὖν τάχα τοῦτο εἰρηκέναι ὁ μακάριος Κλήμης· οὐκ ἔστι δὲ κυρίως ταῦτα εἰπεῖν παραδείγματα, ἤτοι ἰδέας ἀρχικάς, ἤγουν ἀρχικὰ αἴτια· οὐ γὰρ ἐξ αὐτῶν ταῦτα, ἀλλ' ἐκ τῶν θεοῦ νοήσεων, ὃς μόνος προσκυνητός.

Προόδου καὶ ἀγαθότητος) πρόοδον φησί, τὸ μὴ μόνον αὐτὴν περὶ τὴν αὐτῆς ἀσχολεῖσθαι θεωρίαν, ἀλλὰ χυθῆναι, καὶ ὁδεῦσαι, καὶ τὰ ὄντα ὑποστήσασθαι.

Πάντα μὲν ἐν ἑαυτῇ) ὅτι ἐπὶ πᾶσι τοῖς οὖσιν ἀγάλλεσθαι φησὶ τὸν θεόν, κατὰ τὸ ψαλμικόν, Εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ· καὶ ἐν παροιμίαις, Ἐγὼ ἤμην ᾗ προσέχαιρε. τὸ δὲ προέχει, ἐνταῦθα ἀντὶ τοῦ προώρισε καὶ προείληφε, κεῖται.

Πᾶσαν διπλόην) ἐπειδή τινες τὰς ἰδέας, καὶ τὰ παραδείγματα, ἐνυπόστατα ἔφησαν, τούτοις ἐπιρραπίζει τοὺς Ἕλληνας ὄντας, καὶ φησίν· εἰ γὰρ μὴ ἁπλῶς καὶ ἑνιαίως εἶεν αἱ ἰδέαι, νοήσεις ὑπερηπλωμέναι οὖσαι τοῦ ὑπερηπλωμένου καὶ ὑπερηνωμένου θεοῦ, σύνθετος ἂν εἴη ὁ θεός, ἐκ παραδείγματος καὶ ἑαυτοῦ, ὅπερ διπλόην ὠνόμασε. τὸ δὲ ἀγαλλομένη συμφωνεῖ τῷ Δαβίδ, Εὐφρανθήσεται κύριος, καὶ τὰ ἑξῆς.

Καθάπερ καὶ φωνὴ μία) σημείωσαι τὸ τῆς φωνῆς, ὅτι ἀ-

Ministerio de Educación, Cultura y Deporte

σώματος καὶ μία οὖσα ὑπὸ πολλῶν ὁμοίως ἀκούεται, καὶ οὔτε δαπανᾶται ἐκ τοῦ πλήθους. οὕτω καὶ ὁ θεὸς ὑπὸ πάντων ἐπίσης μετέχεται· τοῦτο γὰρ ἐστὶ τὸ ἑνικῶς. κατ' ἀναλογίαν δὲ τῆς πίστεως, καὶ οὔτε μεριζόμενος δαπανᾶται.

Ὡς τοῦ ἕνεκα) ἄνω ἐν τῷ περὶ τούτου κεφαλαίῳ εἴπομεν, τελείως ὁρίσαντες τελικὸν αἴτιον εἶναι, τὸ οὗ ἕνεκα τὸ γινόμενον.

Καὶ πέρας πάντων) τῷ πέρατι πάντως ἡ ἀπειρία ἀντεπινοεῖται. ὁ δὲ θεός, καὶ πέρας πάντων· οὐδὲν γὰρ ἐκβαίνει τὴν αὐτοῦ πρόνοιαν καὶ δυναστείαν. καὶ ἀπειρία δέ, ἐπεὶ κατὰ τὴν θείαν γραφὴν καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· καὶ πάλιν, Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται πέρας. ὡς οὖν ἀπερίληπτος καὶ ἄπειρος· ταῦτα γὰρ ὑπερεξόχως ἔχει ὁ θεός· καὶ πάντα ὑπερβεβηκὼς καὶ πέρας παντὸς πέρατος ὤν· εἰς αὐτὸν γὰρ τὰ πάντα περατοῦνται, καὶ ἀπειρία ἐστὶ πάσης ἀπειρίας. καὶ οὖν ἀπειρία λέγεται, καὶ ἡ ὕλη, ὡς ἀεὶ μετασχηματιζομένη, καὶ ἄλλοτε εἰς ἄλλα εἴδη μεταβάλλουσα, ἀλλ' οὖν πεπέρασται ἐν τῷ θεῷ, εἰ καὶ ἄστατός ἐστι καὶ ἀόριστος ὑπὸ θεοῦ μεταγομένη εἰς εἰδοποιίας. καὶ εἰκότως ὁ θεός, πέρας ἐστὶ τῆς τοιαύτης ἀπειρίας, καὶ ἄπειρος τοῖς πέρασι τῶν ὄντων, ὡς καὶ τὴν ὕλην ἐξ οὐκ ὄντων παραγαγών· φησὶ γὰρ ἡ γραφή, Ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.

Ἐν ἑνὶ γάρ, ὡς πολλάκις) ἀντίκειται τὸ πέρας τῇ ἀπειρίᾳ, κατ' ἀπόφασιν καὶ κατάφασιν, ὡς τὸ θνητὸν καὶ τὸ ἀθάνατον. καλῶς δὲ τό, ὡς ἀντικειμένων· οὐ γὰρ κυρίως ταῦτα ἀλλήλοις ἀντίκειται, οἱονεὶ κατὰ τὴν ἕξιν ἢ στέρησιν, ἀλλ' ὡς εἴρηται κατ' ἀπόφασιν καὶ κατάφασιν.

Παρὼν τοῖς πᾶσι) πανταχοῦ γάρ φησι παρών, καὶ τοῖς καθ' ἓν ἕκαστον, καὶ τοῖς πᾶσιν ὁμοῦ πάρεστι καὶ ὁμοίως. καὶ ἐστὼς



Ministerio de Educación, Cultura y Deporte

δὲ λέγεται ὁ θεός, τῷ κατὰ μηδὲν ὅλως ἐν αὐτῷ μεταβολὴν θεωρεῖσθαι· κινούμενος δέ, τῷ συνέχειν τὰ ὄντα καὶ συντηρεῖν. καὶ ταῦτα δέ, ὑπὲρ πᾶσαν ἐπίνοιαν· διὸ καὶ ἐπήγαγε τό, οὔτε ἑστὼς, οὔτε κινούμενος.

Καὶ ἑστὼς καὶ κινούμενος) δοκεῖ πως ἐναντίον εἶναι τὸ εἰρημένον, τὸ ἑστὼς καὶ κινούμενος, καὶ οὔτε ἑστὼς, οὔτε κινούμενος· πῶς γὰρ τὸ αὐτὸ πρᾶγμα καὶ ἵσταται καὶ κινεῖται, ἢ οὔτε ἵσταται, οὔτε κινεῖται. πρῶτον μὲν, οὐ δεῖ ἐκ τῶν αἰσθητῶν κατανοεῖν τὰ θεῖα, ἢ τὰς εἰκόνας ἐντεῦθεν λαμβάνειν. ἵνα δὲ μὴ δόξαιμεν λύσεως ἀπορεῖν, στάσιν εἴπομεν ἐν τοῖς ἔμπροσθεν τὴν γένεσιν· κίνησιν δέ, τὴν ἀλλοίωσιν, ἤτοι μεταβολήν. ἔστιν οὖν ὁ θεὸς πάντων γένεσις· ἀεὶ γὰρ ταῦτα εἰς τὸ εἶναι παράγει· ὥστε ἕστηκεν ὁ θεός· κινεῖται δὲ πάλιν, διότι πάντα μετασχηματίζει καὶ ἀλλοιοῖ πρὸς τὸ κρεῖττον· δι' αὐτοῦ γὰρ καλλίους γινόμεθα· ὅθεν καὶ περὶ αὐτοῦ πρὸ μικροῦ φησὶν ὁ θεῖος Διονύσιος, Πάντων ἀρχὴ καὶ τελευτὴ τῶν ὄντων· τὸ γάρ, οὔτε ἑστὼς, οὔτε κινούμενος, τὸ περὶ αὐτοῦ ἐξηγεῖται, τὸ μένων ἐφ' ἑαυτοῦ, καὶ ἐπὶ πάντα προϊών· μεταδίδωσι γὰρ πᾶσι τοῖς οὖσι τῆς οἰκείας ὁλότητος, καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος αὐτός ἐστι κατὰ τὸ εἰρημένον, Σὺ δὲ ὁ αὐτὸς εἶ. οὐκοῦν καὶ πρόεισι, καὶ ἐφ' ἑαυτοῦ μένει ὁ θεός.

Οὔτε ἐν τινὶ τῶν ὄντων) οὐκ ἐν τινὶ εἶπεν· ἐν πᾶσι γὰρ καὶ διὰ τὸ ἐν πᾶσιν ἄληπτον· αἰωνίως γὰρ ὄντα, τὰς ὑπερκοσμίους φησὶν οὐσίας, διὰ τὸ περὶ τῆς τοῦ χρόνου φύσεως γίνεσθαι αὐτάς. χρόνος γὰρ ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ γῆς ποιήσεως ἀριθμεῖται.

Η τῶν χρονικῶς) εἴρηται καὶ ἀνωτέρω, αἰώνιον λέγεσθαι κυρίως, οὐκ αὐτὸν τὸν αἰῶνα, ἀλλὰ τὸ αἰῶνος μετέχον. τὸ δὲ προσήκει τι, νόησον κατ' οὐσίαν. σημείωσαι δέ, ὅτι εἰσί τινα

Ministerio de Educación, Cultura y Deporte

τῶν ὄντων αἰώνια, οἱ δὲ ἄγγελοι· καὶ ὅτι οὐ τὸ αἰώνιον, ἤδη καὶ ἄναρχον. ἐν δὲ τῷ ἐφεξῆς κεφαλαίῳ εὐθὺς ἐν ἀρχῇ, τῇ τοῦ αἰωνίου φωνῇ καὶ ἐπὶ τοῦ θεοῦ κέχρηται.

Καὶ τὰ μέτρα τῶν ὄντων) μέτρα τῶν ὄντων εἰσὶν, οἱ αἰῶνες τῶν νοητῶν, ὁ δὲ χρόνος τῶν αἰσθητῶν· τὰ γὰρ νοητὰ, ὡς ὑπὸ μέτρου μετρεῖται, τοῦ αἰῶνος, εἰ δὲ ὁμωνύμως τῷ μετροῦντι αἰῶνι, καὶ τὰ μετρούμενα λέγονται· αἰῶνες γὰρ λέγονται καὶ οἱ ἄγγελοι. οὕτω δὲ ἐπὶ τῶν αἰσθητῶν· τὰ γὰρ μετρούμενα τῷ χρόνῳ, ὁμωνύμως χρόνοι λέγονται, ὡς δὲ ἡ κίνησις τῶν ἄστρων, καὶ τοῦ ἡλίου, καὶ οἱ βίοι· μετρούμενοι γὰρ ὑπὸ χρόνου, χρόνοι λέγονται.

## ΚΕΦΑΛ. ΕΚΤΟΝ.

ΚΑΙ συνοχικῆς αἰτίας) συνοχικὴν ὠνόμασεν, ὡς τὴν ζωὴν τῶν ἐν τοῖς οὖσιν, οὐ μόνον δημιουργήσασαν, ἀλλὰ δὲ εἰς τὸ διαμένειν συνέχουσαν.

Ἐξ αὐτῆς καὶ αἱ ψυχαὶ) μετὰ τὴν τῶν ἀγγέλων ζωὴν ἀκολούθως τάττει τὴν τῶν ἡμετέρων ψυχῶν, ἅτε δὲ λογικῶν οὐσῶν ἀθανασίαν. μετὰ δὲ τὰς λογικὰς ψυχὰς, ἐπάγει λοιπὸν τὴν ζωὴν τῆς αἰσθητικῆς ψυχῆς, καὶ τῆς θρεπτικῆς, ἤτοι φυτικῆς, ἤτοι τῶν ἀλόγων, δὲ τῶν φυτῶν, ἃς καὶ κατ' ἔσχατον ἀπήχημα φησὶν, ὅπερ ἄνω πολλάκις ἡρμηνεύσαμεν. αἱ δὲ ζωαὶ τῶν ἀλόγων καὶ τῶν φυτῶν, οὐκ εἰσὶ θεῖαι, ἀλλὰ τοῦ ἐνύλου πυρός τε καὶ πνεύματος. περὶ τούτων οὖν μόνων τῶν ἐσχάτων ὡς εἴρηται, ζώων φησὶ, τὸ τοῦ δαβὶδ εἰρῆσθαι, Ἀντανελεῖς τὸ πνεῦμά σου, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ



Ministerio de Educación, Cultura y Deporte

πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς· ἐπὶ γὰρ τῆς αἰσθητικῆς μόνης ψυχῆς, καὶ τῆς φυτικῆς ζωῆς, ταῦτα δέχεται τὰ θεῖα λόγια ὁ μέγας διονύσιος· περὶ γὰρ τῆς τῶν νοητῶν ζωῆς, ἢ τῆς καθ' ἡμᾶς, οὐ νοεῖ ταῦτα· τὴν γὰρ ζωὴν ταύτην οὐσιωδῶς δημιουργήσας εἰς ἀθανασίαν ὁ θεὸς, τοῖς νοητοῖς καὶ ταῖς ψυχαῖς ἡμῶν οὐκ ἂν ἀφέλοι αὐτῶν τὸ ζῆν· ἐπεὶ οὐδὲ οὐσίαι ἔσονται, ἀλλὰ καὶ περὶ ζώων ἀπὸ γῆς ἀναδυομένων, φησὶν ὁ δαβὶδ, οὐ μὴν περὶ τούτων. καὶ περὶ τῆς ζωῆς δὲ τῶν ἑκουσίως ἀποστατῶν δαιμόνων, ἐπάγει, ὅτι καὶ αὕτη διαμένει ἀνώλεθρος, τοῦ κτίσαντος αὐτοὺς θεοῦ τοῦτο βουλομένου, κἂν αὐτοὶ ἀπέστησαν τοῦ θεοῦ· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ θεοῦ, τοῦ ἐξ ἀρχῆς ποιήσαντος αὐτοὺς ἀθανάτους. ἔσχατον δὲ ἀπήχημα λέγει, τὴν ἀμυδροτέραν μετοχὴν τῆς ζωῆς, καὶ οἷον εἰπεῖν ὀλίγως μετέχουσαν ζωτικῆς δυνάμεως.

Ἧς ἀνταναιρουμένης) τὸ μὲν ψαλμικὸν ῥητὸν περὶ ἀνθρώπων καὶ τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως λέγει, ἣν μικρῷ πρόσθεν τρανότερον ἔθηκεν ὁ πατήρ. ἐνταῦθα δὲ τὸ ῥητὸν παρήγαγε, τὸν λόγον ποιούμενος περὶ πάντων τῶν ὁπωσοῦν ζωὴν ἐχόντων, δεικνὺς μὴ ἄλλως ταῦτα, ἢ ἐκ θεοῦ τὸ ζῆν θεωρεῖσθαι ἐν αὐτοῖς. τὸ δὲ ἀνταναιρεῖσθαι ἐπὶ τοῦ κεχωρίσθαι τέθεικεν, ὥσπερ καὶ τὸ ἐπιστρεφόμενα, ἀντὶ τοῦ μετέχοντα. ἀσθενεῖν δὲ ταῦτα πρὸς τὸ μετέχειν φησὶ, διὰ τὸ μὴ οἴκοθεν καὶ παρ' ἑαυτῶν ἔχειν τὴν ζωὴν, ἀλλ' ἐπακτὴν ἐκ θεοῦ· τὰ γὰρ ὅσον ἐφ' ἑαυτῶν, οὐκ ἐν τῷ ζῆν θεωρούμενα, τῇ δὲ πρὸς τὸν θεὸν ἀναθέσει τοῦτο ἔχοντα τρόπον τινὰ ἀναζῇ, καὶ ὡς αὐτός φησι, πάλιν ζῶα γίνεται.

Τὴν ὡς συμμίκτοις) θαυμασίως πάντα τὰ δόγματα μετ' ὀρθότητος διδάσκει· τὸν γὰρ περὶ τῆς ἀναστάσεως τρόπον

Ministerio de Educación, Cultura y Deporte

τὴν παραδιδοὺς, θνητοὺς μὲν ἡμᾶς ἀποφαίνει, ἅτε ἐξ ἀθανάτου ψυχῆς καὶ σώματος ὄντας θνητούς, τὴν δὲ ζωὴν οὐσιώδη τῆς ψυχῆς ἐλάττονά φησι τῶν ἀγγελικῶν οὐσιῶν, παρ' ὅσον αὐτὴν καὶ ἀγγελοειδῆ ζωὴν, οὐ μὴν ἀγγελικὴν ὀνομάζει, οὐχ ὡς αὐταγγελικὴν, ἀλλὰ παρεμφερῆ. καὶ ἡμᾶς μὲν μερικῶς φησιν εἶναι τὰς λογικὰς ψυχάς· ὅλους δὲ ἡμᾶς τοὺς ἐκ ψυχῆς καὶ σώματος ὄντας. ἀπαθανατίζεσθαι δέ φησι τὰ σώματα ἡμῶν ἐν τῇ ἀναστάσει, φάσκων τὸ περὶ ἀναστάσεως δόγμα ἄπιστον δοκεῖν τῇ παλαιότητι, ἀντὶ τοῦ τῇ ἀνοήτῳ δόξῃ τῶν ἑλλήνων, διὰ τὸ παρὰ φύσιν εἶναι τῆς ὕλης τὸ ἀπαθανατίζεσθαι. παλαιότης δὲ λέγεται ἡ ἀνοησία. εἰ δὲ καὶ ὑπὲρ φύσιν τὸ πρᾶγμα τῆς ἀναστάσεως, οἶδε πρὸς τὸν παρόντα βίον τὸν διὰ τροφῆς καὶ ἐκκρίσεως, καὶ νόσων διεξαγόμενον, ἀλλὰ πρὸς τὸν θεὸν, οὐδὲν παρὰ φύσιν, οὐδὲ ὑπὲρ φύσιν, ἐπειδὴ αὐτός ἐστιν ὁ πάσης ζωῆς αἴτιος.

Φημὶ καὶ τὰ συζυγῆ σώματα) ὅτι καὶ τὰ σώματα ἡμῶν ἀθανασίας μετέχειν ὁ θεῖος βούλεται λόγος, κατὰ τὸν ἀπόστολον, Δεῖ γὰρ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

Ὑπὲρ φύσιν) τοῦτό φησι, διὰ τὸ μόνῳ θεῷ κατὰ φύσιν εἶναι τὸ ζωοῦν.

Σίμωνος ἀντιρρητικοὶ λόγοι) σίμωνος φησὶν ἀντιρρητικοὺς εἶναι λόγους κατὰ τοῦ δόγματος ἡμῶν τοῦ λέγοντος, τὸ σῶμα ἡμῶν ἀνίστασθαι καὶ ἀθανατίζεσθαι, ὡς παρὰ φύσιν ὄντος τοῦ πράγματος. οἱ δὲ εἰρηκότες κατὰ σίμωνος, καὶ περὶ τούτων αὐτὸν ἐλέγχουσιν, εἰρηναῖος καὶ ὠριγένης καὶ ἱππόλυτος καὶ ἐπιφάνιος. ὁ δὲ μέγας διονύσιος θείως ἐκλύει τὸ λεγόμενον παρὰ σίμωνος, παρὰ φύσιν εἶναι τὴν ἀνάστασιν τῶν σωμάτων. τῷ γὰρ θεῷ οὐδενὸς ὄντος ἐναντίου, πῶς ἔσται τι παρὰ φύσιν. τὸ δὲ οἴεσθαι τινὰ ἐκ τῶν φανερῶν καὶ αἰσθητῶν τούτων τὰς ἀπο-

Ministerio de Educación, Cultura y Deporte

δείξεις πρίζεσθαι κατὰ τῆς ἀκαταλήπτου καὶ πᾶσιν ἀφανοῦς αἰτίας τῶν πάντων, τουτέστι κατὰ τοῦ θεοῦ, τοῦτο ἐστὶ τὸ ἀληθῶς ὑπὲρ φύσιν· τὰ γὰρ δοξαστὰ καὶ νοητά, πῶς αἴτια εἴη τὸ ὑπὲρ πᾶσαν αἴσθησιν καὶ νόησιν.

Τῷ περιφανεῖ τῆς αἰσθήσεως) οὐ χρή φησι, διὰ τὰ τῇ αἰσθήσει ληπτὰ ἀπιστεῖν, τοῖς περὶ θεοῦ λόγοις, ὅς ἐστιν ἡ πάντων ἀφανὴς αἰτία· κυρίως γὰρ τοῦτό ἐστι ὑπὲρ φύσιν εἰπεῖν, τὸ ἀθετεῖν τὰ ὑπὲρ αἴσθησιν, διὰ τὸ τῶν αἰσθητῶν περιφανές.

Εἴτε λογικήν, εἴτε αἰσθητικὴν εἴτε θρεπτικήν) σημείωσαι, πῶς διαιρεῖ τὰ περὶ ζωῆς μεθέξεις· ζωῆς γὰρ ἀρχὴν φησίν, ὅτι τὴν ἡμετέραν ψυχήν, καὶ τὴν αἰσθητικὴν δέ· αὗται γάρ, ἀρχαί εἰσι ζωῆς τοῖς δι᾽ αὐτῶν ἀρχομένοις εἰς ζωὴν κινεῖσθαι σώμασι· ζωῆς δὲ οὐσίαι, αἱ νοηταὶ δυνάμεις, καὶ αἱ ἡμέτεραι ψυχαί· τὴν γὰρ οὐσίαν ζωὴν οὖσαν ἔχουσιν, ὅτι ὕλην τινὰ καὶ ὑποκείμενον, καὶ αὐτοεῖδος ὅ ἐστι ζωῆς ὑπάρχουσαν, διὸ καὶ ζωοῦσι τὰ σώματα, ὡς ἔφην, αἱ ψυχαί. ὁ οὖν θεός, ὡς αἴτιος καὶ συμπληρωτικὸς τῆς ζωῆς ἡμῶν, ὡς συνοχεὺς καὶ διαιρετικός, ὡς τὰς διαφορὰς πάσης ζωῆς διατάξας, νοητῶν, λογικῶν, αἰσθητικῶν, αὐξητικῶν ἀρχὴ πάντων ἐστίν· ὥστε ἐπειδὴ ἄνω εἶπε καὶ τὸν ἥλιον ζωὴν διδόναι, καὶ τρέφειν πάντα, μὴ νοήσῃς, ὅτι ἀφ᾽ ἑαυτοῦ τοῦτο ἔχει, ἀλλ᾽ ἐκ τῆς πάντων ἀρχῆς καὶ αἰτίας.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ζ.

ΥΠΕΡ πᾶσαν σοφίαν) εἰσί τινες τῶν ἀγαίρων φιλοσόφων λέγοντες, ὅτι ἐὰν βούληται τὸν θεὸν λέγειν ὑπὲρ πᾶσαν σοφίαν καὶ σύνεσιν, ποιεῖ τε αὐτὸν ἄσοφον καὶ ἀσύνετον. πρὸς οὓς λεκτέον, ὁ θεὸς ἡμῶν ὑπὲρ πάντα τὰ νοούμενα καὶ ὄντα ἐστίν. εἴτε οὖν σοφία, εἴτε σύνεσις, εἴτε ζωὴ, εἴτε ὑπόστασις, εἴτε ὕπαρξις, εἴτε οὐσία νοεῖται παρ' ἡμῶν, ὑπὲρ ταῦτα πάντα ἐστὶν, οὐχ ὡς μὴ μετέχων αὐτῶν· τοῦτο γὰρ ἀνόητον· ὁ γὰρ αἴτιος τῶν γινομένων, πῶς οὐ μετέχει τῶν ἐξ αὐτοῦ, ἀλλ' ὡς τῶν πάντων ἐξ αὐτοῦ προελθόντων, καὶ τῆς αὐτοῦ μετεχόντων ὁλότητος· πᾶν γὰρ τὸ μετεχόμενον, ἀρχαιότερόν ἐστι τῶν ἐξ αὐτοῦ. διὸ καὶ ὢν, καὶ αἰὼν κυρίως, καὶ χρόνος ὀνομάζεται, ὡς καὶ τοὺς αἰῶνας καὶ τοὺς χρόνους ποιήσας. οὕτως οὖν καὶ ἐπὶ τῆς σοφίας καὶ τῆς ζωῆς λεκτέον, ὅτι καὶ αὐτῶν ἐστὶ δημιουργός. εἰ γὰρ ταῦτα ἄνωθεν εἶχεν εἰ ποιοῦμεν(?), δι' εἰσηκται(?) ὁ θεὸς ὕστερον σοφισθεὶς ἢ συνεπαθεὶς, ὅπερ τῆς αὐτῶν ἐστι τόλμης, οὐχ ἡμέτερον· μὴ γένοιτο.

Καὶ τοῦ καθηγεμόνος ἥλιος) σημείωσαι, ὅτι ἥλιον ἑαυτοῦ καὶ τοῦ ἁγίου ἱεροθέου τὸν ἀπόστολον παῦλόν φησι. σημείωσαι δὲ, πῶς ἔλαβεν ὁ πατὴρ τὸ ῥητὸν τοῦ ἀποστόλου· ὁ γὰρ χρυσόστομος καὶ οἱ λοιποὶ τῶν πατέρων περὶ τοῦ σταυροῦ αὐτὸ ἔλαβον.

Καὶ συνήθες ἐστὶ τοῖς θεολόγοις) τὸ εἰρημένον ἔθος εἶναι τοῖς θεολόγοις ἀντιπαθῶς ἐπὶ θεοῦ τὰς στερήσεις ἐπιφέρειν, οὕτως ἂν νοήσαιμεν· βουλόμενοι γὰρ ἐκεῖνοι τὸ φῶς τὸ θεῖον ὅσον δή τι παραστῆσαι, ὅτι ἀπρόσπελαστον καὶ ἀκατάληπτον, ᾧ μὴ δύναται προσβαλεῖν μηδὲν, μήτε ἄυλον, μήτε αἰσθητὸν, σκότος ὠνόμασαν, ὡς τὸ, Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, ὅπερ ὁ

θεῖος ἀπόστολος φησί, Φῶς οἰκῶν ἀπρόσιτον· ᾧ γὰρ μηδὲν πρόσεστιν ὅμοιόν ἐστι, τῷ μὴ ὁρῶντι ὑπεροχικῶς εἰπεῖν σκότῳ. πάλιν εἴρηται, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, λίαν ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· ὥσπερ οὖν ἡ ἀκατάληπτος καὶ ἀπερινόητος ἀκράτως τοῦ θεοῦ γνῶσις ἀγνωσία παρεικάζεται τῇ ὑπεραιρούσῃ πᾶσαν ἐν κτίσεσι γνῶσιν· ἡ γὰρ περὶ θεὸν ἀγνωσία τῶν περὶ τὰ θεῖα σοφῶν, οὐκ ἔστιν ἀμαθία, ἀλλὰ γνῶσις, συγγινώσκουσα, ὅτι ἐστὶν ἄγνωστος ὁ θεός· οὕτως οὖν καὶ κένωσιν καλοῦσι τοῦ θεοῦ λόγου τὴν ἐνανθρώπησιν, καίτοι πλήρη τυγχάνουσαν. μᾶλλον δὲ ὑπερπλήρη σοφίας καὶ δυνάμεως καὶ σωτηρίας, ἀλλὰ καὶ ἀσθένειαν θεοῦ τὸ διὰ σταυροῦ τρόπαιον ὀνομάζουσιν, διότι ἐπειδὴ θανάτῳ αἱ πονηραὶ καὶ ἀόρατοι δυνάμεις τοῦ διαβόλου κατελύθησαν, καὶ ἀντὶ θανάτου ἀνάστασις νεκρῶν καὶ βασιλεία οὐρανῶν ἀντεισήχθη. τοῦτον οὖν τὸν τρόπον καὶ μωρία θεοῦ, ἡ πᾶσαν σοφίαν, καὶ ἐπιστήμην ὑπεραίρουσα τῶν ἀνθρώπων, σύνεσις τοῦ θεοῦ. νοήσειε δὲ ἄν τις τὸ λεγόμενον, ἐννοῶν τοὺς ἀπὸ τῶν αἱρέσεων, μεθ᾽ ὧν καὶ τοὺς ἐθνικούς, οἳ συλλογισμοῖς αἰσθητοῖς ἀποδεικνύναι φαντάζονται θεοῦ σάρκωσιν, ἀδύνατον εἶναι μέχρι θανάτου οἰκονομηθεῖσαν. πρὸς οὓς ἐννοῶν ὁ θειότατος Παῦλος ἰλιγγιάσας ἀνέκραγεν, Ὦ βάθος πλούτου καὶ σοφίας θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ. τὸ οὖν ὑπεραῖρον πάσης κτίσεως σοφίας μέθοδον ἴσον ἂν εἴη τοῖς οὐ θεοδιδάκτοις μωρίας λόγοις· λόγοις γὰρ οὐκ ἂν ἐξομαλισθείη ἢ δι᾽ αἰσθητῶν ἀποδείξεων τὸ μυστήριον, πίστεως οὐ προηγουμένης.

Ἀντιπεπονθότως ἐπὶ θεοῦ) ἀντιπεπονθότως ἐστί, τουτέστιν ἀντιπεριστροφὴν τοῦ λόγου πάσχοντος· διὰ γὰρ τῶν τὰς στερήσεις δηλουσῶν ἀποφάσεων, ἡ περὶ θεοῦ ὑπεροχὴ δηλοῦται, ὅπερ ἐν ἑτέρῳ δύναμιν ὑπεροχικῆς ἀποφάσεως εἴρηκε.

Ministerio de Educación, Cultura y Deporte

Τὸ φαινόμενον ἐν αὐτῇ παράλογον) καὶ γὰρ τὸ κατὰ τὸν σταυρὸν πάθος, καὶ τὸ λέγειν θεὸν παθόντα σαρκὶ, καὶ παράλογον δοκεῖ, καὶ ἄτοπον, ὅπερ τὴν ὄντως ἐδήλου ἀλήθειαν.

Ἐνειλούμενοι) ἐν ἄλλοις, ἐνιλλόμενοι, τουτέστιν ἐπιστρεφόμενοι, ἐγκαλινδούμενοι. δείκνυσι δὲ διὰ τούτων, ὅτι οὐ δεῖ τὰ θεῖα τοῖς ἀνθρωπίνοις παραβάλλειν.

Τὴν μὲν ἔχειν δύναμιν) καὶ ἀνωτέρω εἴπομεν, ὅτι ὁ νοῦς νοεῖν βουλόμενος, κάτεισιν ἑαυτοῦ εἰς τὰς νοήσεις καταβαίνων· αἱ γὰρ νοήσεις κατώτεραί εἰσι τοῦ νοοῦντος, ὡς νοούμεναι, καὶ καταλαμβανόμεναι, καὶ σκεδασμὸς εἰκότως καὶ μερισμὸς τῆς ἑνότητος τοῦ νοῦ αὐτοῦ· ὁ μὲν γὰρ νοῦς, ἁπλοῦς καὶ ἀμερής, αἱ δὲ νοήσεις, παμπληθεῖς καὶ σκεδασταὶ, καὶ οἷον εἴδη τοῦ νοῦ· διὰ τοῦτο τὰ νοερὰ, τουτέστι τὰ νοοῦντα ἐλάττονά εἰσι τῶν νοητῶν, αὐτὰ τοῦ τῶν νοουμένων. ἕνωσιν δέ φησι τοῦ νοῦ, καθὼς ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, δι' ἧς πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ ἀνατείνεται, ἤγουν τῇ περὶ θεοῦ προσβάλλει θεωρίᾳ, τῷ πάντων ἐκστῆναι τῶν αἰσθητῶν καὶ τῶν νοητῶν. ἔτι δὲ καὶ τῆς οἰκείας κινήσεως εἶθ' οὕτω τῆς θείας γνώσεως δέξασθαι τὴν ἀκτῖνα.

Ταύτην οὖν τὴν ἄλογον) ἐνταῦθα μάλιστα σημαίνει, πῶς μωρία τοῦ θεοῦ, τὸ ὑπέρσοφον τῆς περὶ θεοῦ ἀκαταληψίας μέγεθος· φησὶ γὰρ ὅτι τοῖς αἰσθητοῖς περικεκλεισμένοι, τὸ περὶ ἀϋλίας καὶ ὑπερουσιότητος φέρε εἰπεῖν τοῦ θεοῦ κατεξετάζοντες δόγμα, πλανώμεθα, ἐκ τῶν αἰσθητῶν ἐκεῖνα σταθμώμενοι· οἷον τὸ περὶ τριάδος τῆς μονάδος προσκυνητῆς διεξιόντες κήρυγμα, καὶ τρισυπόστατον ἀμέριστον καὶ ἀδιαίρετον ἀκούοντες τινὲς θεολογίαν, εὐθὺς ἰλιγγιῶσιν, εἰς τὰ σώματα προσέχοντες, καὶ τόπου δεόμενα, καὶ διαστήματος, λέγοντες, πῶς οἷόν τε τρεῖς ὑποστάσεις ἐφ' ἑαυτῶν εἶναι, καὶ ἀδιαιρέτους εἶναι· καὶ γὰρ ἀγνοοῦσι μωραίνειν ἐν τοῖς αἰσθητοῖς, ἵνα τὰ θεῖα σοφισθῶσι,

Ministerio de Educación, Cultura y Deporte

καὶ τοιαῦτα ἕτερα μωρία, πρὸς οἷς ὁ κύριος ἀποτείνεται, Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε. καὶ ὁ θεῖος παῦλος λέγει, ὅτι ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν. ὥστε οὖν ἡ παρὰ ἀνθρώποις μωρία τοῦ θεοῦ, τὰ πνευματικά εἰσιν, ἅτινα μεταδιωκτέον· μωρὰν γὰρ σοφίαν εἶπε, τῷ μηδεμίαν αὐτῇ δύνασθαι προσβάλλειν σοφίαν· ὥσπερ οὖν καὶ ἄλογον καὶ ἄνουν, ὡς μὴ ἔχουσαν λόγον ἢ νοῦν ἑρμηνευτικόν, ἤγουν καταληπτικὸν αὐτῆς.

Ἐξ αὐτῆς αἱ νοηταὶ) σημείωσαι, ὡς καὶ ἐν ἄλλοις νοηταὶ εἰσὶ καὶ νοεραὶ δυνάμεις· καὶ εἰκότως ἐν αὐτοῖς εἰσιν οἱ αὐτοὶ καὶ νοητοὶ καὶ νοεροί, ὥσπερ αἱ ἄνω τάξεις, νοηταὶ μὲν καθ' ὃ ἐκ τῶν ὑποβεβηκότων νοοῦνται· νοεραὶ δέ, καθ' ὃ καὶ αἱ ἀνώταταί εἰσι, καὶ τὸν ὑπὲρ πάντα θεὸν νοεῖν, ὅσον ἐφικτόν, ἀνατείνονται, ἄνωθεν μὲν τρεφόμεναι τῇ νοήσει, τρέφουσαι δὲ τὰς ὑφειμένως νοοῦντας· αἱ γὰρ ἡμέτεραι ψυχαί, νοεραὶ μόνον· νοοῦσαι γὰρ ἐπιστητῶς, ὅσον δή τι, τὰ ὑπερβεβηκότα, οὐκέτι ἔχουσι νοερόν τι μετὰ ταύτας, ἵνα καὶ νοηθῶσιν· ἡ ἄλογος γὰρ καὶ ἄνους ψυχή, μεθ' ἡμᾶς. αἱ δὲ νοήσεις, τῶν θείων νόων, οὐκ ἐν διανοήσεσι τῶν καθ' ἡμᾶς, εἰς ἃς διανοήσεις κάτεισιν ἡμῶν ὁ νοῦς ἐκ τῶν μεριστῶν, τουτέστι τῶν αἰσθητῶν καὶ διεξοδικῶν λόγων, ἀντὶ τοῦ τῶν εἰδῶν καὶ τοῦ πλήθους, ὅπερ ἐστὶ τῶν ὑλικῶν συνάγουσαι τὰς νοήσεις ἀΰλως πάντα ἐν τῷ ἁπλῷ θεωροῦσαι.

Νοηταὶ) τὸ νοηταὶ νόησον, ὡς πρὸς ἡμᾶς· τὸ δὲ νοεραί, ὡς πρὸς τὸν θεόν.

Ἡ ἀπὸ μεριστῶν) ἡμεῖς ἐν μεριστοῖς τοῖς αἰσθητηρίοις· ἄλλο γὰρ ἀκοή, καὶ ἕτερον ὄψις, καὶ τὰ ἄλλα ὁμοίως. καὶ ἀπὸ μεριστῶν τῶν κατὰ ταῦτα αἰσθητῶν, τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβάνομεν, ἢ ἐν μεριστοῖς μὲν τοῖς κατὰ μέρος νοήμασι, ἀπὸ μεριστῶν δὲ

Ministerio de Educación, Cultura y Deporte

τῶν μαθήσεων, ἤτοι τῶν νοουμένων· ἔσθ' ὅτε δὲ καὶ διὰ λόγων τῶν διεξοδικῶν, τουτέστι σαφῆ καὶ διηπλωμένην τὴν ἐξήγησιν ποιουμένων. αἱ δὲ νοεραὶ φύσεις, ἀκοινωνήτως εἰς τὰ τοιαῦτα πάντα ἔχουσαι, ἑνιαίᾳ καὶ ἁπλῇ νοήσει τῆς ἀληθείας τὴν γνῶσιν ἐλλάμπονται.

Καὶ ἔστιν αὐταῖς) τοῖς ἀγγέλοις νοερὰν εἶναι φησὶ δύναμιν καὶ ἐνέργειαν, ἐκ τῆς ὑπερφυοῦς σοφίας τοῦ θεοῦ γενομένην. ἐξ αὐτοῦ γὰρ οἱ θεῖοι ἄγγελοι κατὰ μετοχὴν τὴν δύναμιν τῆς νοερᾶς ἐνεργείας ἔχουσι, καθ' ἣν νοοῦσιν ἑαυτοὺς καὶ τὰ ὄντα, καὶ τὰς ἰδέας ἐποπτικῶς νοοῦντες, ἃς νοήσεις ὠνόμασε τοῦ θεοῦ εἶναι. ἐπείσακτον οὖν ἔχουσιν ἐξ αἰτίου τοῦ θεοῦ τὴν νοερὰν ταύτην ἐνέργειαν, καὶ νοοῦσι τὰ ὄντα λίαν ὑπεραναβεβηκότως τῶν ψυχῶν, εἴγε, αἱ μὲν ψυχαὶ ἐκ τῶν ὄντων αὐτῶν νοοῦσι τὰ ὄντα, καὶ τοῖς εἴδεσιν ἐπιβάλλουσιν, ὅπερ διεξοδικώτερόν ἐστι νοεῖν, καὶ κύκλῳ περιϊέναι τὰ πάντα, οἵ γε μὴν ἄγγελοι κατὰ τὴν ἑνοῦσαν αὐτοῖς θεοειδῆ, ἑνιαίως τὰ πλήθη τῆς κτίσεως νοοῦσι, καὶ οὐ μερίζονται εἰς τὸν σκεδασμὸν τῆς ποικιλίας τῶν ὄντων, ἤτοι εἰς τὰ αἰσθητά, ὡς λογικαὶ ψυχαί· ἐκείνου δὲ πόσως ἀξιοῦνται αἱ ψυχαί, εἰς μίμησιν ἀγγέλων, ὅτε τὴν νόησιν τῶν πολλῶν εἰς ἓν συνελίττουσαι ἔχουσιν ὁμοῦ πάντα ἐν αὐταῖς ἀσυγχύτως διακεκριμένα, καὶ ἔξωθεν μέντοι αἱ ψυχαὶ ἐπείσακτον ἔχουσι τὸ νοεῖν, τῶν ἀγγέλων ἐξ ἑαυτῶν καὶ ἐν ἑαυτοῖς νοούντων, ἅτε καὶ θεοειδῶν ὄντων. καὶ ταῦτα μὲν περὶ τῶν νοητῶν· περὶ δὲ θεοῦ ὅπως νοεῖ, ἔχεις καὶ ὧδε καὶ ἄνω ἐν πέμπτῳ κεφαλαίῳ ἐγγὺς τοῦ τέλους. ὃ δὲ εἴπομεν περὶ ψυχῶν, ὅτι ἀγγελοειδῶς εἰς ἓν τὰ πολλὰ συνελίξασαι νοοῦσι, μάλιστα ἐν τῇ ἀναστάσει τελείως ἕξουσιν, ὅτε αὖθις ἐν τοῖς ἑαυτῶν σώμασι γενόμεναι, τὴν τῶν ὄντων γνῶσιν τελείαν ἀπολήψονται. ταῦτα δὲ ἡ τῶν δικαίων ἀνάστασις, τελείως ἕξει, κατὰ τὸ

Ministerio de Educación, Cultura y Deporte

εἰρημένον, Καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα· καὶ πάλιν, Νῦν, ὡς ἐν κατόπτρῳ καὶ αἰνίγματι βλέπομεν· τότε δὲ, πρόσωπον πρὸς πρόσωπον, τὴν τῶν ὄντων γνῶσιν δηλονότι παιδευθησόμεθα.

Διεξοδικῶς δὲ καὶ κύκλῳ) εἴρηται ὅτι τὸ διεξοδικῶς νοεῖται. διεξοδικῶς τοίνυν καὶ κύκλῳ, τουτέστιν οὐκ ἀθρόᾳ τοῦ νοῦ ἐπιβολῇ ἡ ἀνθρωπίνη ψυχὴ τὴν θείαν κατακαλύπτεται γνῶσιν, ἀλλὰ τὴν διηνεκῆ τῶν ὄντων κατανόησιν ἐκ τοῦ κατὰ μέρος δεχομένη. καθ' ὃ καὶ τῆς ἀγγελικῆς ἀπολείπεται θεοπτίας, ἐπεὶ τὸ ἓν αἴτιον τὴν τῶν ποικίλως θεωρουμένων συνάγει ἔννοιαν, καὶ τῶν ἰσαγγέλων ἀξιοῦται νοήσεων.

Τυχεῖν οὐκ ἐφίεται) ἐφίεται μὲν ἐξ ἀλογίας τὸ ἰσόθεον ὁ δαιμόνιος νοῦς· οὐκ οἶδε δὲ ὅπως τούτου τυχεῖν ἔνεστιν, οὐ φύσει παθὼν τὴν ἄγνοιαν, ἀλλ' ἑκουσίως τὸ παρὰ φύσιν αἱρούμενος. σημείωσαι δὲ, ὅτι οἱ δαίμονες καθ' ὃ νοῦν ἔχουσιν, ἐκ τοῦ ἀγαθοῦ τοῦτον κέκτηνται· ἀγνοήσαντες δὲ καὶ μὴ βουληθέντες μεῖναι ὅπερ ἦσαν, ἔκπτωσιν σοφίας ὑπέμειναν.

Καθ' ὑπεροχὴν) περὶ τοῦ, ὅτι τὰ κατὰ στέρησιν λεγόμενα ἐπὶ τοῦ θεοῦ, καὶ τὰ ἐναντία, ὑπεροχικῶς νοοῦνται.

Καὶ πάντα τἄλλα ἔνδοθεν) μηδεὶς ἐκ τούτων πρὸς ἀτόπους ἀπαγέσθω ἐννοίας, ὥστε λέγειν καὶ τῶν κακῶν ἐν ἑαυτῷ κατ' αἰτίαν περιέχειν τὸν θεὸν, ἤγουν αἴτιον αὐτῶν ἐκ τούτου εἶναι συνάγεσθαι· οὐ γὰρ περὶ τούτων ἐστὶν ὁ λόγος τῷ πατρί· ἤδη γὰρ ἔδειξε μήτε ὂν, μήτε ἐν τοῖς οὖσι τὸ κακὸν, ἀλλὰ περὶ τῶν ἐν οὐσίᾳ ὄντων, οἷον ἀγγέλων καὶ τῶν λοιπῶν κτισμάτων, καθὼς καὶ προεῖπεν, ὧν τὴν γνῶσιν, οὐκ ἐκ τοῦ μανθάνειν αὐτὰ, ὁποῖά εἰσιν, ἔχει· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, οὐκ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων, καὶ τὸ οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων, ἀλλ' ὡς ποιητὴς τούτων τὴν εἴδησιν τῶν οἰκείων ἔργων περιέχει.

Ministerio de Educación, Cultura y Deporte

περιέχει, εἰδὼς ὅπως αὐτὰ, καὶ ἐφ' οἷς παράξει πρὸς γένεσιν, ὧν ἡ παρατροπὴ καὶ ἔλλειψις, ἤγουν ἡ ἀποτυχία καὶ ἀδυναμία τὸ κακὸν εἰσάγει, τῇ στερήσει τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν ποιοῦσα· πρὸς τοῦτο γὰρ τὸ τοῦ φωτὸς παρήγαγεν ὑπόδειγμα· τῇ γὰρ τούτου στερήσει τὸ σκότος παρυφίσταται, καὶ αἰτίαν ἔχει τὴν ἀποστάσιν τῆς τοῦ φωτὸς φύσεως, ὥσπερ καὶ τῶν στερήσεων αἱ ἕξεις ἀρχηγικώτεραι τυγχάνουσι, καὶ ὡς ἄν τις εἴποι, αἰτίαι. ἐνταῦθα οὖν ὁ πατὴρ περὶ τῶν ὑπὸ θεοῦ εἰς γένεσιν ἀχθέντων, καὶ τῆς ἑκάστου τούτων φύσεως τὸν λόγον ποιεῖται, ἃ καὶ προϋφεστάναι ἐν τῷ θεῷ κατὰ πρόγνωσιν καὶ τὸ προωρίσθαι εἴρηκε.

Καὶ οὐσίαν περιέχει) ὅτι ἡ γνῶσις τὴν οὐσίαν περιέχει καὶ περισυνείληφεν.

Ὥσπερ καὶ τὸ φῶς) ἄπρωτον τὸ τῆς παραβολῆς· ὥσπερ γὰρ εἴ τις ὑπόθοιτο τὸ φῶς τοῦτο τὸ ὁρατὸν ἔννουν εἶναι καὶ λογικὸν· εἶτα πυθοίμεθα αὐτοῦ, εἰ γινώσκει τὸ σκότος· τὸ δὲ εἴποι γινώσκειν, καὶ πρὶν γένηται αὖ τὸ σκότος· γινώσκειν δὲ οὐ κατά τινα πεῖραν· πῶς γὰρ ἴδοι σκότος τὸ φῶς· εἰ γὰρ φῶς, οὐκ ἔσται σκότος· ἀλλὰ γινώσκειν εἴποι τὸ φῶς καθ' ὃ φῶς ἐστί· διὸ καὶ οἶδεν, ὅτι ἐὰν συστείλῃ τὸ οἰκεῖον φῶς, οὐδεὶς ὄψεται· οὕτω καὶ ὁ θεὸς κατ' αἰτίαν ἐν ἑαυτῷ τὴν πάντων εἴδησιν ἔχει, οὐ τῇ πείρᾳ ταύτην ἐπικτησάμενος, ἐπεὶ οὕτως εὑρίσκεται μεταγενέστερος ὁ θεὸς τῆς γνώσεως, ἢ κατά τινα χρόνον μὴ γινώσκων. σημείωσαι ὅτι τὸ σκότος εἶναι τὸ αἰτιατόν, ἐξ ἐλλείψεως τοῦ φωτὸς παρυφιστάμενον, ὅπερ ἐστὶ κατὰ μανιχαίων.

Τοῦ σκότους) ὅτι τὸ σκότος οὐχ ἑτέρωθεν, ἀλλ' ἀπὸ τοῦ φωτὸς γνωρίζεται.

Καὶ οὐκ ἐκ τῶν ὄντων) ὅρα πῶς φησὶ τὸν θεὸν εἰδέναι τὰ ὄντα οὐκ ἐκ τῆς πάντων γνώσεως, ἀλλ' ἐκ τῆς ἰδίας, ὥσπερ τὸ



Ministerio de Educación, Cultura y Deporte

φῶς οἶδε τὰ τοῦ σκότους, οὐδὲν τοῦ σκότους ἔχων ἐν ἑαυτῷ· ταῦτα δὲ πολλαχῶς ἐν τῷ πέμπτῳ κεφαλαίῳ εἴρηται. πῶς ὁ θεὸς ἑαυτὸν γινώσκων, ἤτοι νοῶν, νοεῖ καὶ γινώσκει τὰ ὄντα παραδειγματικῶς.

Οὐκ ἄρα ὁ θεὸς) ἐν οὐδεμιᾷ γὰρ διπλόῃ τὸ θεῖον πάντη ἁπλοῦν ὄν, τὸ ὑπὲρ πᾶν ἁπλοῦν.

Καὶ γὰρ καὶ τοὺς ἀγγέλους) τὸ τοὺς ἀγγέλους εἰδέναι τὰ ἐπὶ γῆς, οὐ δι' αἰσθήσεως προσεδρεύοντας τοῖς αἰσθητοῖς, ὡς ἡμεῖς· ἀλλὰ διὰ δυνάμεως ἐπαναβεβηκυίας ἐπιβάλλειν νοεῖσθαι, ἐκ διαφόρων λογίων, δῆλον ὡς ἐν τῷ Τωβίᾳ, ὅπου εἴρηται, ὅτι ὁ θεῖος Ῥαφαὴλ ὁ ἄγγελος εἶπε τῷ υἱῷ τοῦ Τωβίου λαβεῖν τὴν χολὴν τοῦ ἀνελθόντος ἰχθύος, ὡς ἀφαιροῦσαν λευκώματα ὀφθαλμῶν γινόμενα ἀπὸ ἀφοδευμάτων στρουθίων· οὐ γὰρ ἄν τις ὑπονοήσειεν, ὅτι παθὼν ἔμαθε τὴν ἰατρείαν. ἀλλὰ καὶ ὁ ἐν τοῖς Κριταῖς ἄγγελος ἐπὶ τοῦ Γεδεὼν εἰς τὴν θυσίαν ἐκβαλὼν ἐκ τῆς πέτρας πῦρ, οὐκ αἰσθήσει οἶδεν, ὅτι τὸ πῦρ καυστικόν, ὡς ἡμεῖς, ἀλλ' ἀνωτέρῳ τινὶ τρόπῳ προσφόρῳ. οὕτω καὶ τὰ λοιπά. εἰ δέ τις εἴποι, καὶ πῶς τοῦ αἰωνίου πυρὸς αἰσθήσεται ὁ διάβολος, καὶ οἱ ἄγγελοι αὐτοῦ, ἐν τῷ προσφόρῳ τόπῳ λεχθήσεται. ἀλλὰ καὶ ἐν τῷ Δανιὴλ ἐν τῷ κεφαλαίῳ τοῦ Βαλτάσαρ, οἶδεν ὁ γράφων, γράμματα μὴ μαθών. σημείωσαι δέ, ὅτι οὐ κατ' αἴσθησιν τοῖς ἀγγέλοις ἡ γνῶσις τῶν αἰσθητῶν· οὐδὲ γὰρ τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις κέχρηνται· ἀλλὰ νοερᾷ δυνάμει καὶ φύσει.

Ἐπὶ δὲ τούτοις, ζητῆσαι χρή) συζητεῖ πῶς θεὸν γινώσκομεν. καὶ φησὶν ὀρθῶς, ὅτι θεοῦ μὲν φύσιν, ὅ, τί ποτέ ἐστιν οὔτε τινὶ πώποτε τῶν ἐν δημιουργίᾳ ἐγνώσθη, οὔτε ἐπιστητῶς, οὔτε ἐποπτικῶς· τούτοις γὰρ ἐπιβαλλόμεθα τοῖς ἀσωμάτοις· ἀλλὰ γινώσκεται ὁ θεὸς ἐκ τῆς τῶν κτισμάτων διατάξεως· εἰ γὰρ κατὰ τὸν θεῖον ἀπόστολον ἡ τῶν δημιουργημάτων καλλονή, γενεσιουργόν,

Ministerio de Educación, Cultura y Deporte

τουτέστι τὸν τὴν ἐν μυέσει ποιητὴν μηνύει, εἰκότως ἡ τῶν ὄντων διάταξις γνῶσίς ἐστι τοῦ διατάξαντος· τὰ γὰρ ὄντα, τουτέστι τὰ εἴδη, καὶ αἱ καθ' ἕκαστον κτίσεις, ἔτι αἱ ἀγγελικαὶ τάξεις, καὶ τὰ αἰσθητὰ πάντα, εἰκόνες εἰσὶ καὶ ὁμοιώματα τῶν θείων ἰδεῶν, ἤτοι παραδειγμάτων τῶν ἐν τῷ θεῷ, ἅτινα παραδείγματα, αἱ ἀΐδιοι νοήσεις εἰσὶ τοῦ θεοῦ, δι' ἃς καὶ καθ' ἃς ἅπαντα τὰ ἐν αὐτῷ, οὐχ ἕτερα ὄντα αὐτοῦ, καὶ παραχθέντα γέγονεν, ὡς καὶ ἐν τῇ ἀποκαλύψει ὁ θειότατος Ἰωάννης φησί τινα τῶν πρεσβυτάτων ἀγγέλων εἰπεῖν αὐτῷ, ὅτι τὰ πάντα ἦσαν καὶ γεγόνασι, τὰς ἰδέας λέγων, ὅτι ἦσαν· καὶ τὰς εἰκόνας καὶ τὰ ὁμοιώματα τῶν ἰδεῶν, ἤτοι παραδειγμάτων τὰ γεγονότα πάντα· τῶν γὰρ νοητῶν, τὰ νοερά, εἰκόνες· καὶ τῶν ὑπερβεβηκότων, τὰ ὑποβεβηκότα. κατ' ἀφαίρεσιν οὖν τούτων πάντων· ἀφήρηται γὰρ τῶν ὄντων ὁ θεός· οὐδὲν ὢν τῶν ὑπ' αὐτοῦ κτισθέντων· ἀλλ' ἀφάτως ὑπερέχων πάντων ὑπεροχικῶς γινώσκεται ὁ θεός.

Ἐκ τῆς αὐτοῦ φύσεως) σημείωσαι ἀναγκαῖον πάρεργον εἰς εὐσεβείας ἀπολογίαν.

Καὶ εἰκόνας τινὰς) ἐνταῦθα θεῖα παραδείγματα τοὺς προορισμοὺς ἐκληπτέον, ὧν εἰκόνες, τὰ τῆς κτίσεως ἀποτελέσματα. τοὺς δὲ προορισμούς, προθέσεις ἐκάλεσεν ὁ ἀπόστολος, ὡς ἐν τῇ πρὸς ἐφεσίους εἰπών, κατὰ πρόθεσιν τῶν αἰώνων. ἐν πᾶσι δὲ τοῖς κτίσμασι δηλαδή, γινώσκεται, ὡς ὁ τεχνίτης ἐν τοῖς τεχνητοῖς. πάντη δὲ κεχώρισται τὸ κατ' οὐσίαν τῶν πάντων, κἀντεῦθεν ἄγνωστος ὢν τοῖς τεχνητοῖς ἐκ τῆς ἀγνωσίας γινώσκεται ὥσπερ οὖν καὶ διὰ τῆς τῶν κτισμάτων ἐπιστημονικῆς κατανοήσεώς τε καὶ γνώσεως. ταῦτα οὖν ἐπαναλαμβάνων συνῆψε τὰ ἑπόμενα. Εἰς τὸ αὐτό. Ἐπειδὴ καὶ αἱ ἰδέαι τῶν ζώων ἐν τῷ θεῷ καὶ πάντων τῶν κατὰ φύσιν εἰσὶ καθόλου,



Ministerio de Educación, Cultura y Deporte

ἀλλ' οὐχ ὡς τῶν καθ' ἕκαστα εἴδωλα καὶ ὁμοιώματά εἰσι τῶν ἐκεῖ τὰ ἐνταῦθα· πάντα γὰρ τὰ ὧδε, εἴδωλα τῶν ἐκεῖ· ἡ γὰρ ψυχὴ καὶ αὐτὴ εἰκὼν καὶ ὁμοίωμα τῆς ἰδέας.

Καὶ διὰ γνώσεως ὁ θεός) πῶς διὰ τῶν ἐναντίων γινώσκεται ὁ θεός, καὶ διὰ τῶν θέσεων, καὶ τῶν ἀφαιρέσεων, δηλοῖ ἐπεξιὼν αὐτά· ὃ γὰρ καὶ ἄνω ἐν τῷ πρώτῳ κεφαλαίῳ εἶπε, μηδὲν εἶναι τῆς οὐσίας τοῦ θεοῦ παραστατικόν, μὴ νόησιν, μὴ ἐπαφήν, μὴ φαντασίαν, μὴ δόξαν, μηδ' ὅσα ἔφη ἐκεῖ καὶ ἐνταῦθα, ἅτινα καὶ ἡρμηνεύσαμεν ἐν ἐκείνοις, νῦν λέγει καὶ διὰ τῶν ἐκεῖ ἀπηγορευμένων γινώσκεσθαι τὸν θεόν. οὐ μὴν τὴν οὐσίαν αὐτοῦ· καὶ πάλιν μηδὲν αὐτὸν ἔχειν τούτων εἰς κατάληψιν. ὡς μὲν οὖν αἴτιος ἁπάντων, γινώσκεται ἐκ τῶν ἐξ αὐτοῦ· ὡς δὲ μηδὲν ὢν τῶν ἐξ αὐτοῦ, μένει ἀγνοούμενος ὑπὸ πάντων. πῶς δὲ καὶ διὰ τῆς ἀγνωσίας γινώσκεται, καὶ ἐνταῦθα φησὶ, καὶ ἀνωτέρω εἴρηται ἐν κεφαλαίῳ δευτέρῳ.

Καὶ οὔτε νοεῖται) διὰ γὰρ τῶν δεδημιουργημένων νοούμενοι ἐφαπτόμεθα τῆς ἐπιστήμης, ἔχομεν ὅτι θεός ἐστι· τίς δέ, ἢ ποταπός, ἢ πηλίκος αὐτὸς ὁ θεός, οὔτε νοοῦμεν, οὔτε ὀνομάζομεν, οὔτε νῷ ἢ αἰσθήσει καταλαμβάνομεν· ὅμοιον γὰρ τούτῳ ἐστὶ καὶ τὸ ἐν πᾶσιν ἐστὶν ὁ θεός, καὶ ἐν οὐδενὶ τῶν πάντων ἐστί.

Κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν) σημείωσαι, ὅτι κατὰ τὰ προπαρατεθειμένα τὴν ἕνωσιν ἔλαβε τῆς ὑπὲρ νοῦν τοῦ θεοῦ θεωρίας.

Αὕτη γάρ ἐστι κατὰ τὸ λόγιον) τοῦτο καὶ ἐκ τῆς σοφίας Σολομῶντός ἐστιν, ἔνθα λέγεται τεχνῖτις ἡ σοφία τῶν πάντων· καὶ ἐκ τῶν παροιμιῶν, ἔνθα εἴρηται ἐκ τῆς σοφίας, Ἐγὼ ἤμην ἁρμόζουσα παρ' αὐτῷ· καὶ ὁ Δαβὶδ, Πάντα ἐν σοφίᾳ ἐποίησας.

Λόγος δὲ ὁ θεός) περὶ τοῦ θεοῦ λόγου, καὶ διὰ τί λέγεται λό-

Ministerio de Educación, Cultura y Deporte

γος, οὐ δηλούσης τῆς τοιαύτης ὀνομασίας. καὶ μίαν αἰτίαν ἐνταῦθά φησι, καθ' ἣν ὀνομάζεται λόγος, διὰ τὸ τὰς τῶν ὄντων πάντων αἰτίας ἐν ἑαυτῷ ἔχειν· οἱ γὰρ λόγοι φύσεως ἁπάσης, ἐν αὐτῷ εἰσὶν, ὡς αἰτίῳ πάσης δημιουργίας· δι' αὐτοῦ γὰρ τὰ πάντα· αἵ τε γὰρ ἰδέαι, καὶ τὰ παραδείγματα ἐν αὐτῷ, οὐχ ἕτερα ἐν ἑτέρῳ. ἀλλ' αἱ νοήσεις ἀΐδιοι οὖσαι, καὶ λόγοι ποιοῦντες τὰ πάντα, τουτέστι φύσις· καὶ ἡ φύσις γὰρ λόγος, αἰτίαν ἔχων καὶ φύσιν, ὡς οὐκ εἰκῆ καὶ μάτην αἱ φύσεις τῶν ὄντων εἰσί. λέγει δὲ αὐτὸν λόγον, καὶ ὡς διὰ πάντων χωροῦντα ἀκωλύτως, καὶ πάντα περιιόντα καὶ μέχρι τῶν ἐσχάτων ὡς ἐν τῇ πρὸς ἑβραίους· Ζῶν γὰρ ὁ λόγος καὶ ἐνεργὴς, καὶ τὰ ἑξῆς.

Οὗτος ὁ λόγος ἐστὶν) ὅτι ὁ θεὸς λόγος, ἡ αὐτὸ καὶ τῷ ὄντι οὖσα ἀλήθεια, εἰκότως ἐστὶ καὶ ἁπλῆ τῶν ὄντων γνῶσις. οὗ δὲ ἐστὶ γνῶσις, εὐθὺς ἐπισυνάπτει διδάσκων.

Εἰ γὰρ ἡ γνῶσις ἑνωτική) τὰ περὶ τῆς ἀληθοῦς γνώσεως σαφηνίζων, αὐτὸς ὁ θεὸς λόγος χριστὸς ἰησοῦς, περὶ οὗ ὁ λόγος· καὶ ὅτι ἡ γνῶσις ἀληθῶς ἑνωτική ἐστι τῶν ἐγνωκότων καὶ τῶν ἐγνωσμένων φησὶ, Κἀγὼ γινώσκω τὰ ἐμὰ πρόβατα, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα· ὥσπερ γὰρ ἡ γνῶσις γνοῦσα ἐκεῖνο ὃ γνῶναι ἠθέλησεν, ἑνοῦται τῷ γνωσθέντι, οὐκ ἔτι ἀμφιβολίαν ἔχουσα περὶ αὐτοῦ, οὐδὲ διὰ τὴν ἀμφιβολίαν σχιζομένη εἰς ἑτέρας ἐννοίας καὶ ἀστατοῦσα, καὶ ἄγνοια διὰ τοῦτο γινομένη, διὰ τὸ μὴ πεπεισθῆναι ὅτι ἔγνω· οὕτως οἱ πιστοὶ τῇ γνώσει ἑνωθέντες, τῷ γνωσθέντι χριστῷ, ὅς ἐστιν ὁ θεὸς λόγος, καὶ τὴν πίστιν εἰς αὐτὸν ἐρείσαντες, μονιμωτάτην καὶ ἀσάλευτον τῶν ἐγνωσμένων τὴν πίστιν ἔχοντες, ὅτι θεὸν ἔγνωσαν καὶ ὑπὸ θεοῦ ἐγνώσθησαν, ἐξεστήκασι μὲν τῆς ἀγνοίας, ἣν εἴπομεν διαιρεῖν, καὶ σχίζειν καὶ διασαλεύειν εἰς δήποτε ἄλλας ἀμφιβολίας, ὡς μὴ γνοῦσαν

ὃ δεῖ γνῶναι. ἐφεστήκασι δὲ τῇ βεβαιότητι τῇ πίστει πληροφορηθέντες, ὅτι ἔγνωσαν καὶ ἡνώθησαν διὰ τοῦτο τῷ γνωσθέντι. ὁ μὲν οὖν ἐν τῷ σκότῳ τῆς ἀγνοίας, κατὰ τὸν ἀπόστολον, ὢν, ὑπὸ τῆς πλάνης αὐτῆς σαλευόμενος, περιφέρεται παντὶ ἀνέμῳ τῆς κυβείας τῶν ἀνθρώπων, ὥσπερ οἱ ἐν πελάγει κλυδωνιζόμενοι· καὶ ταῦτα γάρ φησιν ὁ ἀπόστολος, καὶ νομίζει τοὺς γνωστικοὺς μαίνεσθαι, ὡς καὶ ὁ Φῆστος ἔφη τῷ Παύλῳ κηρύττοντι τὴν θείαν γνῶσιν, Μαίνῃ Παῦλε. ὁ δὲ γνωστικὸς καὶ ὄντως ὢν χριστιανὸς, ἅτε τῇ ἀληθείᾳ γνοὺς Χριστὸν, καὶ δι' αὐτοῦ τὴν θεογνωσίαν κτησάμενος, τὴν ἑνιαίαν λέγω τῆς ἀληθείας γνῶσιν· ἑνιαία δὲ ἐστὶν ἡ ἁπλῆ καὶ ἀσύνθετος γνῶσις· ἐξέστηκε μὲν τοῦ κόσμου, μὴ ὢν ἐν τῇ κοσμικῇ τῶν ἀπίστων γνώμῃ καὶ πλάνῃ· ἑαυτὸν δὲ γινώσκει νήφοντα καὶ ἀπηλλαγμένον τῆς πολυπλανοῦς ἀπιστίας· διὸ καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκουσιν ὑπὲρ τῆς ἀληθείας, οὐ μόνον μέχρι θανάτου κινδυνεύοντες ἑκάστοτε διὰ τὴν ἀλήθειαν, ἀλλὰ καὶ τῇ ἀγνωσίᾳ τελευτῶντες πάντοτε, τῇ δὲ γνώσει ζῶντες, καὶ χριστιανοὶ μαρτυρούμενοι.

Διαιρέσεως αἰτία) διαίρεσιν ἐνταῦθα τὸ τῆς γνώμης ἀίδρυτον καὶ εἰς πολλὰ μεριζόμενον ἔφη.

Ἑστίας) μονῆς, οἰκήσεως.

Τῇ ἑνιαίᾳ τῶν χριστιανῶν) ἑνιαίαν τὴν καθ' ἡμᾶς πίστιν ὠνόμασεν, ὡς ἁπλῆν τε καὶ ἀπλανῆ τὴν τοῦ ὄντος ἀληθῶς ἔχουσαν γνῶσιν.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. η.

ΚΑΙ ὡς δύναμιν) κατὰ τί λέγεται δύναμις ὁ θεός.

Καὶ τὴν κυρείαν αὐτῇ) ὡς τὸ, Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

Δυνάμεων ἀφορίζουσα) ἀφορίζουσα, τουτέστιν ἀποδιαστέλλουσα καὶ χωρίζουσα.

Κατὰ δύναμιν ἄκλιτον) ἄκλιτον ἔφη, τουτέστι τῆς οἰκείας ἀκρότητος μὴ ὑποκάμπτουσαν· οὐ γὰρ κλινόμενος εἰς δύναμιν δημιουργεῖ, ἀλλ' ἀκίνητος καὶ ἄκαμπτος ὑπάρχων τῆς ἰδίας ἰσχύος παράγει τὰ ὄντα. Τάχα δὲ λεκτέον ἄκλειτον καὶ τὸ διὰ μὴ κλειόμενον· διὸ ἐπάγει καὶ ἀπερίκλειστον· οὐ γὰρ κλείεται, ὡς ἀδυναμοῦσα ἔν τινι· ἀλλ' ἀεὶ ἀνέῳγεν ἐν δυνάμει τοῦ πάντα ποιεῖν, ἡ τοῦ θεοῦ δύναμις.

Καὶ τὴν ἀσθένειαν δυναμοῖ) ἀσθένειαν καλεῖ, τὰ ὑλικὰ ταῦτα καὶ περίγεια σώματα, ἅ τινα καὶ ἔσχατα ἀπηχήματα φησί, καθὰ πολλάκις ἀνωτέρω ἔφημεν, διὰ τὸ ἀμυδρῶς καὶ κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα μετέχειν τῆς δυνάμεως τοῦ θεοῦ. καὶ περὶ μὲν τῶν καθ' ἡμᾶς σωμάτων εἴρηται, Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με χριστῷ. θεωρητέον δὲ τοῦτο καὶ ἐν τοῖς λοιποῖς ζώοις, ὡς ἐπὶ τῶν ἐμπίδων, καὶ τῶν μυῶν, καὶ τῶν τοιούτων, ὁπόσον ἰσχύουσιν ἐν τοῖς οἰκείοις κέντροις, τὰ οὕτως ἀσθενῆ καὶ ἐξουθενημένα ζῶα, ἐνδυναμωθέντα παρὰ τοῦ ποιήσαντος θεοῦ· ὅθεν καὶ ἐν Ἰωὴλ τῷ θείῳ προφήτῃ φησὶν ὁ θεὸς περὶ ἀκρίδος, καὶ βρούχου, καὶ κάμπης, Η δύναμίς μου ἡ μεγάλη· καὶ πῶς ἄχρι τούτων τὸ ἀπειροδύναμον τοῦ θεοῦ φθάνει, φησὶν εἰκόνας θαυμαστὰς καὶ ἀληθεστάτας. ἀλλὰ καὶ ἐν τοῖς ἀ-

Qq 4

Ministerio de Educación, Cultura y Deporte

ψύχοις τὸ αὐτὸ εὑρήσεις, ἐν πόαις καὶ βοτάναις, καὶ μετάλλοις θεωρῶν δυνάμεις βλαπτικὰς καὶ ὠφελίμους καὶ εὔθρυπτα τὰ πλείω, καὶ ἄλλα ἰσχυρὰ, καὶ ἀνένδοτα, ὡς τὴν ἀδάμαντα.

Ἄλλως. Ἀσθενεῖ μὲν δυναμουμένην ἐν τούτοις τὰ ἀσθενέστατα τῶν ζώων φησὶ, ταύτην ἔχοντα τοῦ ὄντος εἶναι τὴν δύναμιν. ἡ ἀσθένειαν οἰητέον, τὴν ἄψυχον καὶ πάντη ἀκίνητον φύσιν, ἥτις τὴν οὐσιώδη, τουτέστι τὴν τοῦ ὅλως εἶναι δύναμιν, εἴληφεν ἐκ θεοῦ.

Καὶ αὐτὸ δὲ, εἰ θέμις) τουτέστιν, ἐκ τῶν δυνατῶν εἶναι τὸ ὅλως, μὴ τοῦτο τῆς θείας δυνάμεως ὑποστησαμένης.

Δύναμιν εἰς τὸ εἶναι ἔχει) τὴν δύναμιν, οὐ μόνον τὴν εἰς τὸ συνεστάναι ἰσχὺν νοεῖ, ἀλλὰ καὶ τὴν ἐπιτηδειότητα εἰς τὸ τοιῶσδε εἶναι δύναμιν σημαίνει. διάδοσιν δὲ καλεῖ δυνάμεως, τὴν εἰς τὰ ἔξω περὶ τὰ ὄντα πρόοδον τῆς προνοίας τοῦ θεοῦ καὶ ἀγαθότητος, εἰς τὸ εἶναι τὰ ὄντα καὶ παραχθῆναι. καὶ πρώτην μὲν δύναμιν φησὶ, τὴν τῶν ὄντων. ταῦτα δέ εἰσι τὰ νοητὰ, καὶ ἀσώματα ὄντα λεγόμενα, ὡς ἀθάνατα. τοῖς δέ γε νοητοῖς καὶ τὰ νοερὰ συγκαταλεκτέον, ὡς ψυχικὰς τὰς καὶ λογικὰς νῦν λεγομένας· ὁ γὰρ λόγος νοῦς ἐστὶ, καθ' ὃν ἡ ψυχὴ κατὰ ὑπόβασιν μετὰ τοὺς ἀγγέλους νοερὰ λέγεται· εἶτα καὶ ταύτης ὑφειμένη δύναμις ἡ αἰσθητικὴ, ἡ τῶν ἐμψύχων ἀλόγων· εἶτα ἡ ζωτικὴ, καὶ ἡ φυτικὴ, ἡ τῶν φυτῶν ἁπάντων καὶ βοτανῶν, καθ' ἣν φυτικὴν ζωὴν αὔξει· μετὰ δὲ πάσας ἡ ὑλώδης δύναμις, τουτέστιν ἡ τῶν ἀψύχων, οἷον τῶν μεταλλικῶν, καὶ γεωδεστέρων, ἥτις δύναμις ἡ συνιστῶσα, καὶ εἰς τὸ εἶναι διαρκεῖν ποιοῦσα, καὶ τὴν τῶν ποιοτήτων δύναμιν δίδωσι θερμῶν ἢ ψυχρῶν, ἢ τῶν ἑξῆς κράσεων· καὶ ἤτοι ὠφελεῖν, ἢ τοιῶσδε ὠφελεῖν. καὶ τὰς ὀρεκτικὰς δὲ δυνάμεις, τοῦ θέλειν ἀεὶ δύνασθαι καὶ ἐπιθυμεῖν, ὁ χορηγῶν ἐστὶ θεὸς, καὶ δυναμοῖ πρὸς

Ministerio de Educación, Cultura y Deporte

φιλίαν τὰ ἡνωμένα, καὶ πρὸς κοινωνίαν, τουτέστι τὰ σπέρματα πάντων, ἤτοι τὰ στοιχεῖα συμμέτρως πρὸς σύνοδον ὁδεύοντα, καὶ πρὸς ἄλληλα μιγνύμενα, καὶ πλησιάζοντα περαίως, εἰς δύναμιν ἄγει τοῦ τὰ αἰσθητὰ ὅμοια γίνεσθαι. τῆς γοῦν ἑνώσεως ταύτης, καὶ τοῦ μίγματος τῶν ἡνωμένων, εἰς φιλίαν ὡς ἔφημεν, στοιχείων τρεπομένου εἰς διαφορὰν καὶ χωρισμόν, διακρινόμενα τὰ μέρη χωρίζεται εἰς γενέσεις καὶ ζώων, καὶ φυτῶν, καὶ τῶν ἑξῆς. καὶ λαμβάνει πόθεν ἡ διάκρισις αὕτη, ἤτοι ὁ χωρισμός, δύναμιν εἰς τὸ εἶναι καὶ παραγωγὴν τοῦ εἶναι τὰ κατ' εἶδος γινόμενα. τὰς οὖν συγκρίσεις καὶ διακρίσεις, ἑνώσεις τε φιλίας ἔφη, καὶ ἀσύγχυτα τε ἀσύμφυρτα τὰ εἴδη διάκρισιν ὠνόμασε.

Καὶ τὸ εἶναι ταῦτα) ἡ τῶν ὄντων φύσις τὸ εἶναι ἐπιζητεῖ, οὐ προαιρετικῶς, ἀλλὰ τῷ ἀναγκαίῳ τε καὶ χρησίμῳ τῆς ὑπάρξεως· καὶ τοῦτο οὖν φησὶ τὸ οὕτως εἶναι, καὶ τὴν δύναμιν τοῦ ἐπιζητεῖσθαι, ὡς ἀναγκαῖον τὸ εἶναι παρὰ τῆς θείας καὶ ἀπειροδυνάμου οὐσίας.

Καὶ εὐθημοσύνας) εὐθημοσύνας φησὶ, τὰς εὖ ἐχούσας θέσεις καὶ τάξεις εὐθέτους καὶ εὐσχήμους δημιουργίας. ἀγγελικῶν δὲ ἑνάδων, τῶν ἁπλοτήτων φησίν. ἢ ἑνάδας καλεῖ, τὰς τῶν οὐσιῶν αὐτῶν ἁπλότητας, καὶ ἀσωματίας, καὶ ἀϋλίας. σημείωσαι δὲ, ὅτι τοὺς ἀστέρας διαιωνίζειν λέγει.

Καὶ τάξεις ἀνομοιώτους) ἀνομοιώτους, τὰς οὐρανίας οὐσίας, μὴ κατὰ τὸ ἀϊδίως εἶναι νοήσῃς· αὐτοὶ γὰρ κατὰ τὸ γεγραμμένον, λειτουργικὰ πνεύματά εἰσιν· ἀλλὰ περὶ τὴν φυλακὴν τῶν ἐξ ἀρχῆς αὐταῖς ὑπὸ θεοῦ τεταγμένων ὅρων, τὸ ἀναλλοίωτον νόησον. περιόδους δὲ, τοῦ χρόνου τὸ μῆκος τούτου, τὸ δὲ ἐπὶ τὸ πρόσω φορὰν λέγει. διάκρισιν δὲ, τὴν διὰ τῆς ἐναλλαγῆς τῶν καιρῶν, ἤτοι ὡρῶν σημείωσιν πρὸς τὰ αὐτὰ πάλιν

Ministerio de Educación, Cultura y Deporte

ἀποκαθισταμένην· διὸ καὶ συνελίξεις ἐκάλεσε, τοῦ χρόνου τὴν κίνησιν. ἢ περιόδους χρονικάς φησι, τὰς τῶν πλανήτων ἄστρων κινήσεις, ἐπί τινα ἀριθμὸν χρόνου διερπούσας τὰ ιβ. τῶν λεγομένων οἴκων διαστήματα· ἀποκαταστάσεις δέ, τὰς ἀπὸ σημείου τινὸς ἐπὶ τὸ αὐτὸ σημεῖον ἐπαναδρομάς, οἷον ὁ ἥλιος δι᾽ ἐνιαυτοῦ περιπολεῖ τοὺς ιβ. οἴκους ἀπὸ τοῦ λεγομένου κριοῦ ἐπὶ τὸν αὐτὸν κριὸν διερχόμενος· ἡ σελήνη διὰ μηνός, καὶ οἱ ἑξῆς ε. οὕτως· ἐκ γὰρ τούτων οἱ χρόνοι μετροῦνται.

Καὶ τὰς τοῦ πυρὸς δυνάμεις) τοῦ αἰθερίου δηλονότι. φησὶ δὲ περὶ τῶν τεσσάρων στοιχείων, καὶ ὅτι ἡ γῆ ἐπ᾽ οὐδενὸς τεθεμελίωται. ἡ δὲ γραφή φησιν, Ἐπὶ ὑδάτων ἐθεμελίωσας.

Τὰς οὐσιώδεις) ἴσως οὐσιώδη λέγονται, καὶ τὰ πάντα ἄψυχα καὶ ἀναίσθητα, δηλονότι ἀπὸ τοῦ εἶναι οὕτω λεγόμενα.

Καὶ τὴν θέωσιν) ἐκθεοῦνται οἱ δίκαιοι καὶ οἱ ἄγγελοι κατὰ τό, Ἐγὼ εἶπα, θεοί ἐστε.

Παντελῶς θέσις) θέσιν καλεῖ, τὴν εἰς τὸ εἶναι παραγωγήν, ἀντὶ τοῦ ὃ μὴ μετέχει δυνάμεως, οὐδὲ ἐν δημιουργίᾳ ἐστί.

Καίτοι φησὶν Ἐλύμας ὁ μάγος) δείκνυται ἐντεῦθεν, τοῦ ἁγίου τούτου ἀνδρὸς ἡ ἀρχαιότης· ἃ γὰρ εἶπεν Ἐλύμας ὁ μάγος, ὅτε καὶ ἀντέστη τῷ ἁγίῳ Παύλῳ ἐν Κύπρῳ, γινώσκει, οὗ αἱ πράξεις τῶν ἁγίων ἀποστόλων μέμνηνται, ὅμως πολλοὺς ὁμοίους τῷ Ἐλύμᾳ ἡ ἀσέβεια ἔχει, οἵ φασι, πρὸς ἡμᾶς λέγοντας, Ἰησοῦν χριστὸν τὸν θεὸν λόγον σαρκὶ παθεῖν ὑπὲρ ἡμῶν, ἀλλὰ μὴ θεότητι, ὅτι εἰ μὴ δέχεσθε αὐτὸν θεότητι παθεῖν ὡς ἠθέλησεν, ἀδύναμον ποιεῖτε τὸν θεόν, φάσκοντες μὴ δύνασθαι θεότητι παθεῖν εἰ ἐθέλοι· πρὸς οὓς λεκτέον, ὅτι αὐτὸ οὐκ ἠβουλήθη ὁ θεός, ἔχων εἰς τί πάθοι, τὸ παρὰ φύσιν γενέσθαι, ἵνα ἡ θεότης πάθοι ἡ κατὰ φύσιν ἀπαθής. ὅρα πῶς ἑρμηνεύει τὸ ἀποστολικὸν ῥητόν, Οὐ δύναται ὁ θεὸς ἑαυτὸν ἀρνήσασθαι.

Ministerio de Educación, Cultura y Deporte

Ἡ γὰρ ἑαυτοῦ ἄρνησις) ὥσπερ ἔφην, ἐλύμας ὁ μάγος σκώψας τὸν θεῖον παῦλον εἰπόντα, μὴ δύνασθαι ἀρνήσασθαι ἑαυτὸν τὸν θεὸν, καὶ τό γε ἐπὶ παύλῳ ἀδύνατον δείκνυσθαι τὸν θεὸν δυνάμενον ἃ βούλεται, τουτέστιν ἀρνήσασθαι ἑαυτὸν, φιλοσοφώτατα λύει ὁ μέγας διονύσιος· φησὶ γὰρ, ὅτι ὁ θεὸς ἀλήθεια ἐστὶν ἡ δὲ ἀλήθεια, ὂν ἐστί· τὸ δὲ ψεῦδος ὡς ἀνυπόστατον, οὐδὲ ὂν ἐστίν. ἐὰν οὖν ἀρνήσηται ἑαυτὸν ὁ θεὸς, ἡ ἀλήθεια ψευσαμένη, μὴ ὂν γίνεται, καὶ πῶς οἷόν τε τοῦτο συμβῆναι. τὸ οὖν μὴ δύνασθαι ἐπὶ θεοῦ λεγόμενον, ἀφάτου δυνάμεως ἐστὶ σημεῖον· ὅμοιον γὰρ ἐστὶν εἰπεῖν, ὅτι δύναται ὁ θεὸς ἑαυτὸν ποιῆσαι μὴ εἶναι θεὸν, ἀλλὰ χωρῆσαι εἰς ἀνυπαρξίαν, ὃ μετὰ τοῦ ἀδυνάτου καὶ τὸ βλάσφημον ἔχει. πῶς τοίνυν λεχθήσεται ὁ ὢν ἔσται μὴ ὤν. οὐ δύναται τοίνυν ὁ θεὸς, τουτέστιν ἀναχώρητον ἐστὶ μὴ εἶναι αὐτὸν, ἤγουν ἀνένδεκτον μὴ εἶναι αὐτόν. οὐκοῦν καὶ τὸ μὴ δύνασθαι τὸν θεὸν, τουτέστι τὸ ἀδύνατον εἶναι τὸν θεὸν, οὐ δυνατὸν γίνεσθαι· ὥσπερ γὰρ τὸ φῶς, καθὸ φῶς, οὐ δύναται σκότος γίνεσθαι· οὕτω καὶ ταῦτα ἀδύνατα τῷ θεῷ, διὰ τὴν ἀνυπέρβλητον ἀλήθειαν. οὕτως οὖν οὐκ οἶδεν ὁ θεὸς κατὰ στέρησιν τὸ μὴ εἰδέναι, οἷον οὐ πεπείραται ὁ θεὸς, ὅ ἐστιν, οὐκ οἶδε τί ἐστιν αὐτὸ τὸ μὴ εἰδέναι. ἤτοι ἀγνοεῖν τι. κατὰ στέρησιν δὲ οὐκ οἶδε τὸ ἀγνοεῖν· στέρησις γὰρ ἐστὶν ἡ ἄγνοια, οὐχ ὑπόστασις, ἀλλ' ἔξωθεν τῆς οὐσίας, περὶ ἣν συμβαίνει ἡ στέρησις· ἔλλειψις γὰρ ἐστὶ τοῦ ὀφείλοντος παρεῖναι. οὐκοῦν ἐστέρηται ὁ θεὸς τοῦ ἀγνοεῖν, καὶ οὐδέποτε οἶδε τὸ μὴ εἰδέναι· εἰ γὰρ μὴ κατὰ στέρησιν εἴποιμεν μὴ εἰδέναι τὸν θεὸν τὴν ἄγνοιαν εὑρίσκεται τῆς οὐσίας αὐτοῦ τὸ μὴ εἰδέναι· καὶ ἦν ἂν οὐσιώδης αὐτοῦ ἡ ἄγνοια, καὶ εὑρίσκεται ὁ θεὸς σκότος· ἡ γὰρ ἄγνοια, σκότος ἐστίν. οὕτως ὑψηλῶς νοήσεις καὶ τὸ, Ἀδύνατον ψεύσασθαι θεόν· καὶ τὸ, Οὐ δύναται ποιεῖν ὁ υἱὸς οὐδὲν ἀφ' ἑαυτοῦ, ἐὰν μή τι βλέ-

Ministerio de Educación, Cultura y Deporte

πη τὸν πατέρα ποιοῦντα, ὅπερ ὅμοιον ἐστὶ τῷ εἰπεῖν, ἀμήχανόν ἐστιν ἕτερα βουλομένου τοῦ πατρὸς, ἕτερα βουληθῆναι τὸν υἱόν· ἓν γὰρ θέλημα τῆς μόνης προσκυνητῆς τριάδος κατὰ τὴν θεότητα· οὐδὲ γὰρ ἀγνοοῦμεν, ὅτι περ ὁ υἱὸς τοῦ θεοῦ, καὶ θεὸς, ὁ εἷς τῆς πανυμνήτου καὶ παναχράντου τριάδος γενόμενος ἄνθρωπος, προσέλαβεν ἀνθρώπινον θέλημα φυσικὸν καὶ ἀναμάρτητον.

Καὶ τὸ μὴ εἶναι οὐκ ἔστιν) ἀπόφασις κατὰ ἀποφάσεως τιθεμένη, κατάφασιν ποιεῖ. ὁ οὖν λέγων, ὅτι τὸ μὴ εἶναι οὐκ ἔστιν ἐν θεῷ τὸ εἶναι, αὐτὸν συνάγει. οὕτως οὖν φησὶν, οὐ δύναται μὴ δύνασθαι, ὡσαύτως καὶ τὸ μὴ εἰδέναι οὐκ οἶδεν, ἐξ ὧν συνάγεται τὸ πάντως αὐτὸν εἰδέναι καὶ δύνασθαι. καλῶς δὲ προσέθηκεν ἐνταῦθα τὸ κατὰ στέρησιν· οὐ γὰρ ὑπεροχικῶς ταῦτα λέγονται, ἀλλὰ στερητικῶς, τὸ οὐ δύναται, καὶ οὐκ οἶδε.

Δικαιοσύνη δὲ ὑμνεῖται) κατὰ τὸ δικαιοσύνη ἐστὶν, ὁ θεός. ὅρος δὲ δικαιοσύνης ἐστὶν, ἀρετὴ διανεμητικὴ τοῦ κατ' ἀξίαν· ἢ ἰδιοπραγία τῶν τῆς ψυχῆς μερῶν· ἢ μεσότης πλεονεξίας καὶ μειονεξίας· ἢ ἕξις ἀπονεμητικὴ ἰσότητος· ἢ ἕξις τοῦ κοινῇ συμφέροντος ἐστοχασμένη· ἢ ἐπιστήμη ἀπονεμητικῶν, καὶ μὴ, καὶ οὐδετέρων.

Διαλοιδοροῦνται) περὶ τῶν λαλούντων κατὰ τοῦ θεοῦ ἀδικίαν, ὥς φησιν ὁ ψαλμωδὸς ἐνταῦθα εὐκαίρως εἶπεν, ἀλλόκοτα τὰ αὐτῶν δεικνὺς ῥήματα· αὐτοκίνητοι γὰρ ὄντες, τουτέστιν αὐτεξούσιοι, καὶ τῶν ἰδίων ὁρμῶν ἄρχοντες, διὰ τί, φασὶν, αὐτεξούσιοι γεγόναμεν· καὶ οὐ μᾶλλον καὶ ἄκοντες κωλυόμεθα ἁμαρτάνειν, ἀγνοοῦντες ὅτι λίθοι ἑτεροκίνητοι βούλονται εἶναι καὶ γήϊνα σώματα ἔχοντες, διὰ τί μὴ ἐν ταυτότητι, φασὶ, μένομεν, τουτέστιν ἄτρεπτοι, ἀθάνατοι ὄντες καὶ χρώμενοι τοῖς ὑλικοῖς καὶ προσκαίροις. ὅπερ ἀγνοούντων ἐστὶ φύσιν αἰσθητῶν καὶ νοητῶν καὶ πολλὴν ἀλογίαν νοσούντων· τὸ γὰρ σῶμα

Ministerio de Educación, Cultura y Deporte

ἡμῶν ὑλικὸν καὶ πρόσκαιρον τὸ τρεπτὸν ὑπάρχον, εἰκότως ἐδέετο τῶν ὁμοίων, προσκαίρων φημὶ καὶ ὑλικῶν· ἡ δὲ ψυχὴ ἄϋλος καὶ ἀθάνατος κτισθεῖσα, εἰκότως τὸ αὐτεξούσιον ἔχει, διὰ τὴν πρὸς τὸν δημιουργὸν ὁμοιότητα, ἅπερ μὴ νοοῦντες ἐν ἑκατέρῳ οἱ λοίδοροι μέμφονται τὴν θείαν πρόνοιαν, τὴν αὐτὴν ὁρῶντες εὐταξίαν· τοῦτο γὰρ δηλοῖ τὸ, καὶ ὅλως τὰ ἄλλων ἄλλοις ἀποδιδόασιν.

Αὐτοκινήτοις) αὐτεξουσίοις.

Ἀλλ' εἴποι ἄν τις) πρὸς τοὺς λέγοντας πῶς οὐκ ἄδικος ὁ θεὸς ὁ συγχωρῶν τοὺς δικαίους ὑπὸ τῶν φαύλων κακοῦσθαι.

Ἄλλως. Ἐνταῦθα ζητεῖ κεφάλαιον προτεθὲν ἡμῖν ὑπὸ ἑτέρου· φησὶ γὰρ, εἴποι ἄν τις, καὶ τὰ λοιπά, λυόμενον εὐσεβῶς καὶ θεοφιλῶς· λέγει γάρ, δι' ἣν αἰτίαν συγχωρεῖ ὁ θεὸς δίκαιος ὤν, ἀδικεῖσθαι τοὺς ὁσίους ἄνδρας ὑπὸ ἀδίκων καὶ πλεονεκτῶν· πολλοὺς γὰρ ὁρῶμεν δικαίους, ζημίας ὑπομένοντας, ἢ ἐν χρήμασιν, ἢ ἐν πράγμασι παρὰ τῶν ἀδίκων καὶ πλεονεκτῶν· καὶ ἀπολογεῖται δεξιῶς· λέγει γὰρ, ὅτι οἱ ὅσιοι οὐκ ὀφείλουσι τοῖς γηΐνοις καὶ προσκαίροις προσπάσχειν, ἐπεὶ οὐκ ἔτι ὅσιοι· προτιμᾶν γὰρ ὀφείλουσι τὰ ὄντως ἐραστὰ καὶ θεῖα· χρημάτων γὰρ ἐφιέμενοι, οὐκ ἔτι ὅσιοι. καὶ λέλυται ἡ ἐρώτησις· τοῦτο γὰρ ὁ θεῖος Παῦλος φησί, Διὰ τί γὰρ μὴ μᾶλλον ἀδικεῖσθε, λέγων μὴ περὶ τὰ κοσμικὰ ἐπτοῆσθαι. καὶ πάλιν τὸν θεῖον ἔρωτα εἰσηγούμενος, περὶ ὃν οὔτε ἀδικία, οὔτε πλεονεξία δύναται γενέσθαι, φησί, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ, θλίψις, ἢ στενοχωρία, καὶ τὰ ἑξῆς. προσύλους δὲ φησὶ τοὺς ἐμπαθεῖς, καὶ μόνοις τοῖς γηΐνοις προσκειμένους. παρευδοκιμεῖσθαι δέ ἐστι, τὸ ἡττόνως εὐδόκιμον φαίνεσθαι.

Ταῖς ἀγγελικαῖς ἀρεταῖς) ὅτι καλῶς λέγεται καὶ ἐπ' ἀγγέλων ἀρετή, ὥσπερ καὶ ἐπὶ θεοῦ, κατὰ τὸ, Ἐκάλυψεν οὐρανοὺς ἡ

ἀρετὴ αὐτοῦ· καὶ ὅτι ἀδικεῖσθαι τοὺς περὶ τὰ ὑλικὰ πράγματα, τῆς θείας ἐστὶ προνοίας συνεθιζούσης αὐτοὺς τῶν θειοτέρων ἐφίεσθαι.

Τῆς τῶν ὑλικῶν προσπαθείας) ὅρα πῶς φησίν, ὅτι τὸ μὴ προσπάσχειν τοῖς ὑλικοῖς πράγμασιν ἀῤῥενότητα δηλοῖ, τουτέστιν ἀνδρίαν· οἱ γὰρ δουλεύοντες κοσμικοῖς καὶ σωματικοῖς πάθεσι, θηλυδρίαι εἰκότως προσαγορεύονται· καὶ ὅτι ἡ θεία δικαιοσύνη, οὐ βούλεται διὰ τούτων ἡμᾶς θέλγειν καὶ ἀπολλύειν, ἀλλὰ συνεθίζει πρὸς τὴν τούτων περιφρόνησιν, κατὰ τὸ εἰρημένον, Ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. εἰ οὖν, οἱ τὸν πλοῦτον ἔχοντες, οὐκ ἀγαπῶνται ὑπὸ τοῦ θεοῦ. ἐρεῖς ὅτι, πρῶτον μὲν οὐχ ὁ πλοῦτος καθ᾽ ἑαυτὸν κακός, ἀλλ᾽ ἡ περὶ τοῦτον προσπάθεια, καὶ ἡ κακὴ χρῆσις· ἔπειτα, οἶδεν ὁ θεὸς τοὺς ἐν ἡμῖν ἀσθενεῖς, καὶ βουλόμενος αὐτοὺς προσῶσαι εἰς προκοπήν, καὶ χρήματα ἴσως καὶ βίου περιφάνειαν δίδωσιν αὐτοῖς, οὐκ ἀγνοῶν ὅπερ εἰσι· πῶς γάρ, ὁ γινώσκων πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ᾽ ἵνα μηδεμίαν ἔχωμεν ἀπολογίαν κατὰ τὸν ἀπόστολον, Διὰ τοῦτο ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε· καὶ πάλιν, Ἔχομεν ἀρχιερέα μέγαν, δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν.

Τὸ μὴ θέλγειν) θέλγειν ἐστὶ τὸ δι᾽ ἡδονῆς ἀπατᾶν. λέγεται δὲ καὶ τὸ ἁπλῶς ἡδύνειν.

Τῶν ἀρίστων) τῶν ἐπιθυμητῶν.

Ἀμειλίκτῳ στάσει) ἀμείλικτον στάσιν φησί, τὴν ἀνένδοτον πρὸς τὸν γαργαλισμὸν τῶν χειρόνων ἔνστασιν, καὶ τὸ μὴ κάμπτεσθαι πρὸς τὰ ὑλικὰ διὰ τῶν πειρασμῶν.

Τῆς ἐν τοῖς ὅλοις ἰδιοπραγίας) ἰδιοπραγίαν ὠνόμασε, τὴν ἑκάστου τῶν ὄντων κατὰ φύσιν ἰδιάζουσαν κίνησιν· οὐδὲ γὰρ τὰ ἀγγέλων ἀνθρώποις πράττειν δυνατόν, ἢ τὰ πυρὸς ὕδατι,

Ministerio de Educación, Cultura y Deporte

καὶ τὸ ἔμπαλιν.

Καὶ ὡς ἐκ τῶν χειρόνων) τὰ χείρω ἐνταῦθα μὴ νοήσῃς πρὸς τὰ ποιήματα· οὐδὲν γὰρ ἐν αὐτοῖς κακόν· ἀλλὰ πρὸς τὴν ἁμαρτίαν, ἥτις ἐκ τῆς ἡμετέρας προαιρέσεως κατὰ στέρησιν ἀγαθοῦ παρυπέστη· ἀναρπάζει γὰρ ἡμᾶς ὁ θεὸς ἐξ αὐτῆς ἑκόντας, εἰ προσδράμοιμεν αὐτῷ.

Καὶ ἀρρεπῆ πρὸς τὰ χείρω) ταῦτα περὶ τῶν αἰσθητῶν τε ὑπὸ τὴν κτίσιν ὄντων νόμιζε λέγειν αὐτόν, ὅτι πάντα ἐν τῇ οἰκείᾳ εὐταξίᾳ διαφυλάττει· οὐδὲν γὰρ αὐτῶν μετετράπη, ἀλλ' οὕτως ὡς ἐκτίσθησαν, ἔμειναν· τοῦτο δηλοῖ τὸ ἀμετάβλητα. ἀρρεπῆ δὲ πρὸς τὰ χείρω, ἢ ὅτι προαιρετὰς αὐτὰς πεποίηκεν, ἢ ὅτι οὐδὲν ἐξ αὐτῶν τῆς οἰκείας ἐξέστη καταστάσεως, ἢ πρὸς τὰ ὑποδεέστερα μετηνέχθη· ὁ γὰρ οὐρανὸς καὶ ἡ γῆ ἔμειναν, καὶ τὰ ἐν αὐτοῖς ὡσαύτως ἔχοντα. τὸ δὲ τὴν ἀλλοτριοπραγίαν ἐξορίζειν, καὶ ἀμεταπτώτους φυλάττει τὰς ἑκάστου ἰδιότητας. οὕτω νόησον, ὅτι τὰ στοιχεῖα ἐναντία τυγχάνουσιν ἀλλήλοις, οἷον τὸ θερμὸν καὶ ψυχρόν, καὶ ὑγρὸν καὶ ξηρόν, καὶ ἕκαστον αὐτῶν ἐν τῇ ἰδίᾳ ὁλότητι ἐναπομένει, καὶ οὐ μεθίσταται πρὸς τὸ ἐναντίον· οὐδέποτε γὰρ τὸ πῦρ ὕδωρ γίνεται, οὐδὲ τὸ ὕδωρ πῦρ· εἰ δὲ καὶ συνέλθοιεν κατὰ τὴν τοῦ δημιουργοῦ κέλευσιν, μένει ἕκαστον αὐτῶν, σῷζον τὴν οἰκείαν ἰδιότητα.

Καὶ τὰς ἀναλογίας) ἀναλογίας φησί, τὰς ἁρμοδιότητας ἑκάστης φύσεως καὶ συμμετρίας.

Οὐκ ἀπὸ σκοποῦ) τουτέστιν οὐκ ἔξω τοῦ σκοποῦ τῆς γραφῆς.

Ὑπερείδουσα) ὑποστηρίζουσα.

Τῶν λελωβημένων) βεβλαμμένων, τῶν λώβην τε ἀχρείωσιν προξενούντων.

Ministerio de Educación, Cultura y Deporte

Καὶ πᾶσα ἀνισότης) οὐχ ἁπλῶς φησὶ τὴν ἀνισότητα ἐξορίζειν, ἀλλ᾽ ἐν τοῖς καθ᾽ ἕκαστον, τουτέστι τὸ μὴ ἴσως καὶ ὁμοίως ἕκαστον τῶν γεγονότων ἐν ταυτότητι τῇ κατὰ φύσιν διαμένειν· διὸ καὶ τὸ κατὰ στέρησιν προσέθηκεν, ἐπεὶ κατὰ τὸ ἀδιάφορα εἶναι τὰ ὄντα καὶ ἄνισα, ἡ ἀνισότης οὐκ ἐκβάλλεται.

Τῆς ἐν αὐτοῖς ἑκάστοις ἰδιότητος) δύο τρόποις καθ᾽ οὓς ἀνισότης λέγεται εἰδὼς, τοὺς δύο τέθεικε, καὶ φησὶν, ὅτι δικαιοσύνη κατὰ τοῦτο λέγεται ὁ θεὸς, καθ᾽ ὃ καὶ τὴν ἰσότητα πάντων ἐπιμετρεῖ, καὶ τὴν ἀνισότητα πάντων ἐξορίζει. ἀνισότητα δὲ νῦν φησὶ, τὴν κατὰ στέρησιν τῆς ἰσότητος συμβαίνουσαν, τουτέστι τὴν πλεονεξίαν· τὸ γὰρ ἴσως νέμειν ἑκάστοις τὰ κατ᾽ ἀξίαν, τοῦτο συγκρατεῖ πάντα καὶ σώζει. ταῦτα φήσας ἐπιφέρει καὶ τὸν ἕτερον τρόπον, καθ᾽ ὃν ἀνισότης λέγεται· καὶ γὰρ οἶδέ τινας, τὰ μὲν νοητὰ καὶ ἀσώματα εἴδη, καὶ τὰς πρώτας τῶν ὄντων ἀρχὰς, φημὶ δὴ τὴν ἀθάνατον δημιουργίαν, τὰς ἑνάδας, τουτέστι τὰς ἁπλᾶς οὐσίας, ἰσότητα καὶ ταυτότητα ὀνομάσαντας· τὰ δὲ αἰσθητὰ, ἃ καὶ μεριστά εἰσι, καὶ ἐν μεταβολῇ, καὶ διάφορα, καὶ ἄλλοτε ἄλλως ἔχοντα, ἀνισότητα καὶ ἑτερότητα καλέσαντας. λέγει οὖν, ὅτι καὶ ταύτην τὴν ἀνισότητα νοήσῃ τις, τὴν τῶν αἰσθητῶν εἰς εἴδη διαφορὰν, δι᾽ ἧς αἱ τῶν ζώων, καὶ τῶν φυτῶν, καὶ τῶν ἑξῆς γενέσεις ὑφίστανται, ἀλλὰ καὶ ταύτης τῆς ἀνισότητος ὁ θεὸς φύλαξ καὶ φρουρός ἐστι, μὴ ἐῶν τὰ ἐναντία εἰς ἓν συμμιχθῆναι, καὶ συνδραμόντα διὰ τῆς φυράσεως εἰς φθορὰν ἐλθεῖν· ὡς γὰρ παρήγαγε πάντα, οὕτω συντηρεῖ αὐτὰ, καὶ εἰσὶν ὡς ἐξ ἀρχῆς ἐγένοντο.

Τὴν γὰρ ἀνισότητα) σημείωσαι, ὅτι τὴν ἀνισότητα φησὶ, καὶ τὴν ἐν τῷ ὅλῳ πρὸς ὅλα διαφορὰν τῶν ὅλων, καὶ ὅτι τὴν τοιαύτην ἀνισότητα ἡ τοῦ θεοῦ δικαιοσύνη φρουρεῖ. σημείωσαι δὲ, ὅτι ἐστὶ καὶ φυσικὴ ἀνισότης.

ΚΕΦ.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ϛ.

ΤΟΥΤΩΝ τῶν θεωνυμικῶν) σαφέστατα φησὶ θεωνυμικῶν ἀγαλμάτων, ἐξ ἑλλήνων ἐπὶ τὸ ἀληθὲς μεταγαγών· ἐκεῖνοι γὰρ οἷά τινας ἀνδριάντας ἐποίουν, μήτε χεῖρας, μήτε πόδας ἔχοντας, οὓς ἑρμᾶς ἐκάλουν. ἐποίουν δὲ αὐτοὺς διακένους θύρας ἔχοντας, καθάπερ τειχοπυργίσκοις. ἔσωθεν οὖν αὐτῶν ἐτίθεσαν ἀγάλματα, ὧν ἔσεβον θεῶν· ἔξωθεν δὲ ἀπέκλειον τοὺς ἑρμᾶς. ἐφαίνοντο οὖν οἱ ἑρμαῖ εὐτελεῖς, ἔσωθεν δὲ τούτων, θεῶν αὐτῶν καλλωπισμοὺς εἶχον. οὕτως οὖν κἀνταῦθα νόησον, τὰ μὲν περὶ τοῦ ὄντος καὶ ἀληθινοῦ θεοῦ μόνου ἐν τῇ γραφῇ ὀνόματα ἀνάξια εἶναι περὶ θεοῦ λεγόμενα, ὡς τὸ μικρὸν, καὶ τὸ καθῆσθαι, καὶ τὰ ἑξῆς· ἀναπτυσσόμενα δὲ τὰ ὀνόματα, καὶ ἀξίως θεοῦ ἑρμηνευόμενα, ἔχουσιν ἔσωθεν τὰ ἀγάλματα καὶ τοὺς θείους τύπους τῆς περὶ θεοῦ δόξης.

Μέγας μὲν οὖν ὁ θεὸς ἐν τοῖς λογίοις ὑμνεῖται) οὐ πρὸς ἀντιπαράθεσιν ὁ θεὸς μέγας φησὶν ἑτέρου, ὥσπερ βοῦς μείζων προβάτου, ἢ κύαμος κέγχρου· ἀλλὰ διὰ τὸ ἀπαράθετον καὶ ὄντως ἀκατάληπτον τῆς θείας μεγαλειότητος· τοῦτο γὰρ ἐσήμανε τὸ ἰδίως, ἤγουν ἰδιότητα εἰπών.

Μέγας μὲν οὖν ὁ θεὸς ὀνομάζεται) εἰ καὶ ἑρμηνεύει τῶν ἐπὶ θεοῦ κατηγορουμένων τὰς προσηγορίας, ἀλλ᾽ ἀνάγκη γραφικαῖς μαρτυρίαις ταύτας τεκμηριῶσαι. μέγας μὲν οὖν εἴρηται, ἔνθα γέγραπται, Μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ ὅσα τοιαῦτα ἐν τῇ γραφῇ. τὸ δὲ εἶναι καὶ μικρὸς, δηλοῦται ἐν τῇ τρίτῃ τῶν βασιλειῶν, ἔνθα φησὶ πρὸς ἠλίου τὸν προφήτην, Ἰδοὺ φωνὴ αὔρας λεπτῆς, καὶ ἐκεῖ κύριος· δηλοῖ



Ministerio de Educación, Cultura y Deporte

περ ὡς περιεχόμενον αὐτὸν ὑπὸ τῆς αὔρας, ὅ ἐστι σμικρότητος. τὸ δὲ αὐτὸς, ἐχθὲς ἐνταῦθα, καὶ ἐν τῷ, Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. τὸ δὲ ἕτερον, ὅτι τῷ Ἰεζεκιὴλ ὤφθη ὡς ἄνθρωπος ἐκ πυρὸς καὶ ἠλέκτρου, καὶ ἑτέρωθι, Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς λαμπάδες, καὶ τὰ λοιπά. ὡς εἶδος χαλκοῦ καὶ κλιβάνου, ὅπερ φησὶν Ἰωάννης ἐν ἀποκαλύψει. καὶ ὅμοιος, ὅτι καθ᾽ ὁμοιότητα αὐτοῦ λέγει δημιουργεῖν τὸν ἄνθρωπον. ἀνόμοιος δὲ, ἐν Ἡσαΐᾳ, ὅταν λέγῃ, Τίνι με ὡμοιώσατε, λέγει κύριος, ὅτι οὐδὲν ἔχω ὅμοιον. καὶ ἑστὼς καὶ ἀκίνητος, ἐν τῷ λέγειν Μωσεῖ περὶ τῆς πέτρας, Ὧδε ἐγὼ ἕστηκα πρὸ τοῦ σε εἶναι ἐκεῖ, καὶ τὰ ὅμοια. καθήμενος δὲ, ἔνθα ὁ Βαροὺχ φησὶ, Σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα. καὶ πάλιν, Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ. κινούμενος δὲ, ὡς ὅταν λέγῃ, Καὶ ἐπέβη ἐπὶ χερουβὶμ, καὶ ἐπετάσθη. καὶ πάλιν, Δεῦτε καταβάντες, συγχέωμεν τὰς γλώσσας αὐτῶν. καὶ, Ἔκλινεν οὐρανοὺς καὶ κατέβη. καὶ ταῦτα μὲν νῦν. ἐν δὲ ταῖς κατὰ μέρος ἐξηγήσεσι, τὰ δέοντα σαφηνισθήσεται.

Τὸ μέγεθος τοῦτο καὶ ἄπειρόν ἐστιν) ἐπειδὴ παντέλειον πέρας ἔχει ὁ θεὸς, καὶ ὑπερτέλειος ὢν, καὶ ὑπεράπειρός ἐστιν. ὡς τὸ, Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται πέρας. ἀλλὰ καὶ ὑπὲρ πάντα ἐστὶν ἀριθμόν. εἰ γὰρ λέγοιτο ὁ θεὸς εἷς καὶ ἕν, ἀλλ᾽ οὖν ὑπὲρ τὸ ἕν ἐστι. κυρίως μὲν γὰρ τὸ ἕν, σχέσιν δηλοῖ πρὸς τοὺς ἐξ αὐτοῦ πολλοὺς ἀριθμοὺς, καὶ οἱονεὶ ἀρχὴ πλήθους ἀριθμῶν εἶναι δοκεῖ. ὅμως ἠξίωσεν ὁ θεὸς καὶ τὸ ἓν ἐκ τῶν ἐξ αὐτοῦ δέξασθαι, ἐπειδὴ τὸ ἓν, ἁπλοῦν ἐστὶ καὶ ἀμερὲς καθ᾽ ἑαυτὸ, καὶ ἀσύνθετον. ἀλλὰ καὶ οὕτως ὑπερίωται, ἀντὶ τοῦ ὑπὲρ τὸ ἕν ἐστι. διὸ εἴρηται, Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.

Οὕτως οὖν ἐπὶ θεοῦ τὸ σμικρὸν) πάντα γὰρ τὰ ὄντα, καὶ τὰ λίαν μεγάλα, καὶ τὰ ἄγαν μικρὰ, μετέχουσι τῆς τοῦ μικροῦ

Ministerio de Educación, Cultura y Deporte

μετουσίας· οὐδὲν γὰρ τῶν ὄντων διέφυγε τὸ σμικρὸν ἐν πᾶσιν ἀναφαινόμενον· ἢ ὅτι ἐκ μικροῦ πρὸς τὸ μεῖζον πρόεισι τὰ ἐν αὐξήσει, τοῦτο φησὶν ὁ πατήρ· ἢ ὅτι ἐν τῷ μείζονι τὸ μικρὸν ἐνθεωρεῖται, καὶ οὐκ ἐν τῷ μικρῷ τὸ μεῖζον κατ' αὐτὸ τὸ μεῖζον εἶναι.

Καὶ διϊκνούμενον) τὸ ὑπεροξύτερον τῆς τοῦ θεοῦ καὶ ἐπὶ τὰ ἀσώματα χωρήσεως, ἐντεῦθεν δηλοῦται· τὸ γὰρ διϊκνεῖσθαι ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος· οὕτω γὰρ ἔχειν δοκεῖ τοῦτο ἀποφαίνει, ὅτι καὶ αὐτὸ τὸ ἀσώματον τῆς ψυχῆς ἑνοειδὲς ὑπὸ τοῦ θεοῦ διαιρεῖσθαι δύναται· διὸ καὶ τὰς ἐννοίας ὁ θεὸς νοεῖ, ἃς ὁ νοῦς κινούμενος καὶ ἐνεργῶν νοεῖ, καὶ τῆς τοσαύτης ἀσωματίας καὶ ἀδιαιρεσίας· εἰ γὰρ μεταξὺ νοῦ καὶ νοήσεως, ὁ θεὸς μέσος χωρεῖ, ὡς καὶ εἴρηται, Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, ἀλλὰ καὶ μεταξὺ τῆς ψυχῆς καὶ τοῦ πνεύματος, τουτέστιν ἐν ᾧ τὰς αἰσθήσεις ἐπιτεταγμένας ἔχομεν, δι' οὗ καὶ τοῖς αἰσθητοῖς ἡ ψυχὴ προσβάλλει, καὶ τὸ διανοητικὸν τῶν σκέψεων ἔχομεν, ἀκωλύτως χωρεῖ ὁ θεός. τοῦτο δὲ τὸ πνεῦμα δύναμιν καὶ οἱονεὶ δευτέραν ψυχὴν αἰσθητικὴν τῆς ψυχῆς οἱ παρ' ἕλλησι σοφοὶ καλοῦσιν. ἡ οὖν αἰσθητικὴ αὕτη ψυχή ἐστιν ἡ μέχρι μυελῶν, καὶ φλεβῶν, καὶ ἀρτηριῶν, καὶ ὀστέων, καὶ ὅλου τοῦ σώματος διήκουσα.

Ἀμείωτον, ἀγέννητον) σημείωσαι ποσαχῶς λαμβάνεται τὸ ἀγεννήτου ἡ ὀνομασία, ἢ τὸ μήπω γενόμενον, γενησόμενον δὲ, ὡς ἡ Σάρρα εἶπε τὸ, Οὔπω μέν μοι γέγονεν. ἢ ὡς ἀτελείωτον, ὡς ὁ ἐν χαλάνῃ πύργος. ἢ ὑπὸ τοῦ ὡς τὸ, Παῦλος ἀπόστολος, οὐκ ἐξ ἀνθρώπων. ἢ τόδε, ὡς Ἰοῦστος εἰς τῶν δώδεκα. ἢ μηδαμῇ μηδαμῶς ὄν, ὡς ὅσα τερατεύονται ἕλληνες, σκύλλαν, καὶ χίμαιραν, καὶ τὰ ὅμοια. ἰδικῶς οὖν καὶ ἀπολύτως τὸ ἀγέννητον ἐπὶ θεοῦ. Εἰς τὸ αὐτό. Εἰπὼν ἀγέννητον τὸν θεόν,



Ministerio de Educación, Cultura y Deporte

τὰς παλινφήμους ἑρμηνείας τοῦ ὀνόματος ἀποκαθαίρει, καί φησιν, ὅσα μὴ εἰς τὸ γεγενῆσθαι δέξῃ τὴν λέξιν, ὡς τοῦ θεοῦ ἔχοντος τὸν ὑπὲρ αὐτὸν, ἵνα ἐκ τοῦ περὶ αὐτοῦ γένηται τόδε, οἷον δημιουργὸς, ἢ ἀγαθὸς, ἢ πνεῦμα, ἢ πῦρ, ἤ τι τοιοῦτον, ἀλλὰ μηδὲ ἀγέννητον ὑπολάβῃς τὸν αὐτὸν, μηδὲ ὄντα παντελῶς, μήτε ἐν γενέσει, μήτε ἕτερόν τι. πῶς οὖν δεῖ τὸ ἀγέννητον ἀκούειν, φησὶν ἐφεξῆς. ταῦτα δὲ κατὰ ἀρειανῶν καὶ εὐνομιανῶν ποιεῖ τῶν ἐκ γεννητοῦ καὶ ἀγεννήτου τὸν θεὸν βλασφημησάντων.

Ἀλλ' ὡς τοῦ παναγεννήτου) ἐπειδὴ ὥς φησιν ὑπὲρ πᾶν ἀγέννητον ὄντα τὸν θεὸν, ποιεῖ νομίζεσθαι, καὶ λέγειν αὐτὸν ἐκ τούτου εἶναι τινα μετὰ τὴν ἁγίαν τριάδα ἀγέννητα ἐν τῇ κτίσει, φέρε σαφὲς ποιήσωμεν τὸ σημαινόμενον. καὶ τέως δῆλος ἐστὶν ἐξ ἀρχῆς ὁ θεῖος διονύσιος, ἅτε μάλιστα τότε ἐν ἐφέσῳ ἀκμαζόντων τῶν φιλοσόφων, ἔνθα καὶ ἡ ἰωνικὴ φιλοσοφία συνειστήκει, τοῦ ἁγίου τιμοθέου ἐπισκόπου ὄντος, σπουδάζων πάντα τὰ ἐκείνοις ἐσφαλμένως λεγόμενα, ἐπὶ τὴν ἀλήθειαν μεταγαγεῖν. ἤδη οὖν εἶναι δόγμα τινῶν αὐτῶν λεγόντων τὰ νοητὰ πάντα καὶ ἀθάνατα, καὶ νοερὰ γεννητὰ πάντα καὶ ἀγέννητα· γεννητὰ μὲν, ὡς ἐξ αἰτίας τοῦ θεοῦ ὑποστάντα κατὰ πρόοδον ἐλλαμψεως· ἀγέννητα δὲ, καθ' ὃ μὴ ἐν χρόνῳ, ἀλλ' αἰωνίως, τουτέστιν ἐν τοῖς αἰῶσι προῆλθον· καὶ γὰρ ἔφαμεν ἄνω τὰ αἰσθητὰ, τὸν χρόνον ἔχειν· τὰ δὲ νοητὰ, τὸν αἰῶνα, ὅθεν καὶ αἰώνια λέγονται. ὡς οὖν ἐκ προόδου λάμψαντα καὶ ἀγέννητα αὐτὰ εἶπον, πάλιν ἤδη ἑτέροις καὶ τόνδε τοῦ ὁρατοῦ εἰπόντας κοσμὸν καὶ γεννητὸν, καὶ ἀγέννητον· καὶ γεννητὸν μὲν, καθ' ὅσον εἰς τόνδε τὸ πᾶν, ἢ ἐξ ἑνὸς ἐπὶ πολλὰ ὁδεύει, ὅπερ ἐστὶν ἐπὶ τὰς γενέσεις τῶν κατ' εἶδος ζώων, καὶ φυτῶν, καὶ τῶν ἄλλων· ἢ ἐκ τῶν πολλῶν ἐπὶ τὸ ἓν, ἀντὶ τοῦ, ὅταν ἐπὶ φθορὰν ὁδεύῃ, εἰς τὴν ἐπὶ τὰ στοιχεῖα

Ministerio de Educación, Cultura y Deporte

ἀνάλυσιν. ἀγένητον δὲ αὖθις τὸν αὐτὸν λέγοντας κόσμον, ἤτοι ἀΐδιον, καθ' ὅσον τῆς κινήσεως τῆς ἐπὶ γένεσιν, καὶ τῆς ἀποκαταστάσεως τῆς ἐπὶ φθορὰν, οὐδέποτε κατ' αὐτοὺς ἐφίσταται. φησὶν οὖν ὁ μέγας Διονύσιος, ὅπως ποτ' ἂν λέγοιτο τὸ ἀγένητον, εἴτε ὡς ἔφην, εἴτε ὡς οἱ Ἕλληνες, μὴ ἐπὶ τοῦ θεοῦ τοῦτο δέξῃ, τὰ μὲν ἄλλα αἰτιατῶς λέγεται ἀγένητα· ὁ θεὸς δὲ, ἀναιτίως καὶ ἀπολύτως· ὡς γὰρ αἰτίᾳ θεῷ πάντων ἁπαξαπλῶς ὑπερέχοντι.

Μονοειδῶς καὶ ταυτοειδῶς) μονοειδῶς μὲν ἔφη, διὰ τὸ παντελῶς ἀπαράβλητον τῆς θείας φύσεως· ταυτοειδῶς δὲ, διὰ τὸ ἀναλλοίωτον καὶ ἀμετάβλητον. ἀφοριζόμενον δὲ, τὸ δεικνύμενον, ἀπὸ τοῦ ὁρίζειν ἢ τὸ ἐξῃρημένον καὶ κεχωρισμένον.

Καὶ τὸ ταυτὸν) τὸ ἀεὶ ταυτὸν καὶ ὡσαύτως ἔχον, ἐπὶ μόνης τῆς τῶν ὅλων ποιητικῆς ὁρᾶται αἰτίας, ἐξ ἧς καὶ τοῖς κτίσμασι τὸ ἐν ταυτότητι διαμένειν δεδώρηται, καὶ ἡ τῶν ἐναντίων, ἤγουν ἑτεροίως ἐχόντων πρὸς ἄλληλα σύνταξις. ταυτῶς οὖν ἅπαντα καὶ τὰ μὴ ἐν ταυτότητι φύσεως, ἐν τῷ θεῷ θεωρεῖται· πάντων γὰρ τῶν ὄντων ταυτῶς, ἤγουν ὁμοίως, αἴτιος ὁ θεός.

Κατὰ τὴν μίαν καὶ ἑνικὴν) τὸ ἀεὶ ὡσαύτως καὶ ἀναλλοιώτως ἔχειν ὁ ὑπέρ ἐστι ταυτὸν, ὁ θεός ἐστι· καὶ ὑφ' ἑτέρου μὲν αὐτὸς οὐ περατοῦται, οὐδὲ ἐστί τι αὐτοῦ πέρας, εἰς αὐτὸν δὲ τὰ πάντα περατοῦται· καὶ ἔστιν ὁ αὐτὸς ἀεὶ θεὸς, ὡς μονὰς ὢν, καὶ τὸ ἀληθῶς ταυτὸν, καὶ ὅρος ἑαυτοῦ, καὶ τῶν ἁπάντων ὅρος, ἐκ πάντων ἀφωρισμένος καὶ ὑπεραναβεβηκὼς μονοειδῶς καὶ ταυτοειδῶς, τουτέστι κατὰ τὸ μονὰς εἶναι ἡ πάντων ἀμιγὴς καὶ ἁπλῆ καὶ κατὰ τὸ ταυτὸν, αἴτιον τοῦ κατὰ τὸ ὡσαύτως ἔχειν· οὐδὲν γὰρ διαφέρει, μονάδα εἰπεῖν, ἢ μονοειδὲς καὶ ταυτὸν, ἢ ταυτοειδές· τὸ γὰρ αὐτὸ σημαίνει. μεταδίδωσι καὶ τοῖς ἐξ αὐτοῦ κτίσμασι τοῦ ταυτοῦ ὁ θεὸς, ὅθεν τὰ πάντα κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως κα-



Ministerio de Educación, Cultura y Deporte

θῶς καὶ ἐγίνοντο ἐν τῇ συμπνοίᾳ καὶ σωτηρίᾳ καὶ συμπαθείᾳ μένοισιν, ὡς δύνανται τούτου μετέχοντα. οὕτω καὶ τὰς ἑτερότητας, τουτέστι τὰς ἐξ αὐτοῦ τοῦ δημιουργήματος διαφόρους προόδους, ἐν ἑαυτῷ σωζομένας ἔχει καὶ συντεταγμένας, ὅμως τῆς ταυτότητος ἑαυτοῦ ἐχόμενος, καὶ εἰς ἑτερότητα μὴ ἀλλοιούμενος, μήτε εἰς ἐναντιότητα, καίτοι καὶ ἐναντία ἐν τοῖς αἰσθητοῖς συνέχων.

Ἐπειδὴ πᾶσι προνοητικῶς) καθ' ὑπερβατόν ἐστιν ἡ σύνταξις, πρὸς τὸ οἰητέον ἔχουσα τὴν ἀπόδοσιν, ἵνα ᾖ, τὸ τέλος οἰητέον, ἐπειδὴ πᾶσι προνοητικῶς πάρεστιν ὁ θεός, καὶ τὰ ἑξῆς.

Ὡς γὰρ εἰ τὴν ψυχὴν) ὅρα πῶς ἔνεστι τὴν ψυχὴν σωματικῶς νοῆσαι, καὶ πῶς νοεῖ μέρη ψυχῆς εἶναι σωματικῶς· καλῶς γὰρ αὐτὴν διαπλάτει τῷ λόγῳ.

Τῇ ἀμερεῖ) ἀμερὴς ἡ ψυχὴ οὐχ ἁπλῶς, ἀλλ' ὡς πρὸς σῶμα ἀμερής· μέρη γὰρ αὐτῆς καὶ τὰς δυνάμεις φησίν, ὧν εἰς εἰκόνα τὰ μέρη τοῦ σώματος ἔσθ' ὅτε παραλαμβάνεται.

Ἀναπτύξεσιν) ἀνάπτυξιν δὲ λέγει, διάπλωσιν ἤτοι σαφήνειαν τῆς ἐγκεκρυμμένης ἐν τῇ λέξει ἐννοίας. τὸ δὲ ἀνακαθαίρεσθαι, τὸ παντοίως τῶν σωματικῶν ἀπαλλάξαι τὸ θεωρούμενον.

Τὰ τριττὰ τῶν σωμάτων σχήματα) τριττὰ σχήματα τῶν σωμάτων φησί, τὸ τριχῇ διαστατόν, ὡς εὐθὺς σαφηνίζει. καὶ καλῶς ἐντεῦθεν νοήσεις τὸ εἰρημένον τῷ ἀποστόλῳ, Ἵνα γνῶτε, τί τὸ βάθος, καὶ τί τὸ ὕψος, καὶ τὰ ἑξῆς, ὅπερ τινὲς εἰς τὸν σωτήριον σταυρὸν ἐδέξαντο. σημείωσαι δὲ, τί μῆκος, καὶ βάθος, καὶ πλάτος ἐπὶ θεοῦ.

Νῦν δὲ αὐτὸ τὴν θείαν) τὸ ἑνότητα, καὶ ταυτότητα, καὶ ἰσότητα, καὶ ὁμοιότητα, τὸ αἴτιον τῆς τῶν ὅλων συμπαθείας, καὶ

Ministerio de Educación, Cultura y Deporte

προνοίας, καὶ σωτηρίας ἐκάλεσαν οἱ παλαιοί, ὅπερ καὶ ἓν ἔλεγον· ἑτερότητα δὲ, καὶ ἀνομοιότητα, καὶ ἀνισότητα, τὴν εἰς τὰ μεριστὰ, καὶ μεταβλητὰ, καὶ αἰσθητὰ, καὶ τὴν εἰς τὰ ὄντα δὲ, ἤτοι νοητὰ δημιουργικὴν πρόνοιαν ἐκάλουν, ἀναλόγως τοῖς δηλουμένοις, νοοῦντες καὶ τὰ ὀνόματα, ὡς καὶ ἄνω διαφόρως εἰρήκαμεν. ἄλλοι δὲ, τὴν ταὐτότητα καὶ ἑτερότητα, ἤτοι ταὐτὸν καὶ ἕτερον εἶδος καὶ στέρησιν εἶπον. ἕτεροι δὲ, πέρας καὶ ἄπειρον. ἑνιαῖον δὲ πολλαπλασιασμὸν φησὶ, τὸ ἐν οἰκείᾳ ἁπλότητι μένοντα τὸν θεὸν, τὰ ποικίλα καὶ παντοδαπὰ εἴδη τῆς κτίσεως παραγαγεῖν· πρόοδον γὰρ λέγει, τὴν πρὸς τὸ κτίσαι τὰ ὄντα, ἐπὶ κίνησιν καὶ ὁρμήν.

Ὅμοιον δὲ τὸν θεὸν) ἐφ' ἡμῶν οὐκ ἔστιν εἰπεῖν ὅμοιον· τὸ γὰρ σῶμα ἡμῶν ἐξ ὁμοιομερῶν καὶ ἀνομοιομερῶν συνέστηκεν, ὡς καὶ Ἀριστοτέλης δείκνυσιν ἐν τῇ ἀρχῇ τῆς περὶ ζώων γενέσεως πραγματείας· ὁ δὲ θεὸς, ὅ ἐστιν ὅλως ὁμοίως ἐστὶν, ἐπεί τοι γε ἡ θεία γραφὴ, ὡς ἀεὶ τὸν αὐτὸν ἀναλλοιώτως ὄντα ἀνόμοιον πᾶσι φησὶν, ὡς τὸ, Τίς ἐν θεοῖς ὅμοιός σοι κύριε· καὶ πάλιν, Τίνι με ὡμοιώσατε λέγει κύριος· καὶ αὖθις, Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ τῶν προφητῶν ὡμοιώθην, τουτέστιν αὐτὸς ἐγὼ ἐμαυτῷ, ὡς Εἰρηναῖος λέγει ἐν τοῖς κατὰ αἱρέσεων.

Τῇ κατὰ δύναμιν μιμήσει) ἔστι μὲν τὴν μίμησιν λαβεῖν ἐν τούτοις ἐπὶ τῆς νοερᾶς καὶ λογικῆς φύσεως πρὸς τὸν θεὸν ἐπιστρεφομένης, κατὰ τὸ, Γίνεσθε τέλειοι, καὶ γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἅπερ, ἐπὶ θεοῦ μὲν κυρίως, καὶ ὑπὲρ πάντα ὅρον καὶ λόγον· ἐπὶ δὲ τῶν κτισμάτων κατὰ τὴν ἑκάστου δύναμιν ἀναλόγως τῇ φύσει. ἔστι δὲ μίμησιν ἐν τούτοις νοῆσαι καὶ τὴν μετοχὴν τῶν ἐν θεῷ θεωρουμένων ὑπερουσίως, ὧν τὰ παραχθέντα πρὸς γένεσιν εἴληφε τοῦ εἶναι, καὶ τῶν λοιπῶν μετέχοντα ὧν διεξῆλθον ἐν τοῖς περὶ τούτων. τὸ δὲ εἰπεῖν ὅμοια



Ministerio de Educación, Cultura y Deporte

θεῷ κατὰ τὴν ἄλλην εἰκόνα, ὡς ἀναιροῦντος ὅτι τὸ ἐπὶ τοῦ ἀνθρώπου τοῦτο εἰρῆσθαι, ἀλλὰ κατὰ τὸν τῆς μετοχῆς λόγον καὶ ἐπὶ τῶν λοιπῶν τὴν λέξιν παρῴδησε.

Καὶ κατὰ ἄλλην εἰκόνα) πῶς τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν νοητέον, ἐνταῦθα φησίν, ὅτι οὐ κατ' εἶδος, ἀλλὰ κατὰ τὸ ἐπεστράφθαι, καὶ τὸν νοῦν ἀνατεταμένον ἔχειν πρὸς τὸν θεὸν τὸ αἴτιον τοῦ εἶναι καὶ εὖ εἶναι, ὅπερ ἕτεροι τὸ αὐτεξούσιον ἐνόησαν, ἐπεὶ οὐ κατὰ τὴν οὐσίαν ὁ θεὸς ὅμοιος τοῖς λογικοῖς· οὔτε γὰρ ἡμεῖς ὅμοιοι ταῖς εἰκόσιν ἡμῶν ταῖς ἐκ κηροῦ τυχὸν ἢ χαλκοῦ, ἅτινα ἑτερούσια ἡμῖν ἐστὶ καὶ πως ὅμοια· τὰ μὲν γὰρ ὁμοταγῆ, τουτέστι τὰ τῆς αὐτῆς τάξεως καὶ οὐσίας, ὡς τὰ χερουβὶμ καὶ σεραφὶμ καὶ αἱ λοιπαὶ τάξεις, ὁμοιοῦνται ἀλλήλοις κατὰ τὸ προηγούμενον εἶδος· ὅπερ εἶδος ἐπὶ τῶν νοητῶν ἐστὶν. οἷα τις ὑποκειμένη ὕλη ἄϋλος ζωὴ οὖσα, καὶ αὐτὸ τὸ εἶδος ὅ ἐστιν ἕκαστον τῶν νοητῶν· ὁ δὲ θεὸς οὐχ οὕτω πρὸς τὰ ἐξ αὐτοῦ· οὐ γὰρ ὅμοιον τὸ αἴτιον τοῖς αἰτιατοῖς. ὃ δὲ εἶπον ἐπὶ τῶν νοητῶν, νόησον καὶ ἐπὶ τῶν νοερῶν ἡμῶν ψυχῶν.

Ἐπὶ μὲν γὰρ τῶν ὁμοταγῶν) ὁμοταγῶν φησὶ τῶν ὁμοφυῶν, ἐξ ὧν ἡ ὁμοιότης ἀντιστρέφει, οἷον πέτρος παύλῳ ὅμοιος κατὰ τὴν φύσιν, καὶ ἀντιστρόφως παῦλος πέτρῳ ὅμοιος· ἐπὶ δὲ τοῦ ἀνθρώπου καὶ τῆς τούτου εἰκόνος, οὐχ ὁ αὐτὸς λόγος· οὐ γὰρ ὁ τῆς οὐσίας λόγος ὁ αὐτὸς ἐπ' ἀμφοῖν, ὅπερ ἐκάλεσε προηγούμενον ὁμοίου εἶδος. ὁ δὲ ἄνθρωπος καὶ ἑτέρως λέγεται, οὐχ ὅμοιος τῇ ἰδίᾳ εἰκόνι, ὅτι ἡ εἰκὼν μὲν πρὸς τὴν τοῦ ἀνθρώπου γέγονεν ὁμοιότητα, καὶ οὐχὶ ὁ ἄνθρωπος πρὸς τὴν ταύτης. οὕτως οὖν καὶ ἐπὶ τοῦ αἰτίου, καὶ τῶν ἐξ αὐτοῦ, μὴ δεκτὸν εἶναι τὸ ἀντιστρέφειν. ἀντιστρέφειν δέ ἐστιν, ἃ καὶ τοῖς τὸν ἐναντίον ἀλλάζουσι λόγον, ἐπίσης ἐστὶν εἰπεῖν, οἷον εἰ ζῶον τὸ κατὰ γαστρός, καὶ τὸ ἐναντίον, εἰ οὐ ζῶον τὸ κατὰ γαστρός, οὕτω φησὶν ὁ κλήμης

Ministerio de Educación, Cultura y Deporte

ἐν ἀρχῇ τοῦ πέμπτου στρωματέως, ὥσπερ οὖν καὶ ἐνταῦθα. εἰ οὖν καὶ ὅμοια τὰ ὁμοταγῆ, καὶ ἐκ τοῦ ἐναντίου, εἰ οὐχ ὅμοιον τὰ ὁμοταγῆ.

Τῆς αὐτομοιότητος) ἔθος ἐστὶ τῷ μεγάλῳ Διονυσίῳ, τὸν θεὸν λέγειν ἐπὶ τῶν αἰτιατῶν, αὐτὸ εἶναι τὸ αὐτοὸν καὶ τοῦ αὐτοεῖναι ὑποστάτην· καὶ αὐτὸν εἶναι τὴν αὐτοζωήν, καὶ τῆς αὐτοζωῆς ὑποστάτην· ὡς καὶ νῦν αὐτὸν εἶναι τὴν αὐτομοιότητα, καὶ τῆς αὐτομοιότητος ὑποστάτην. φησὶ δὲ ταῦτα, οὐχ ὡς ἑτέραν μὲν φάσκων ζωὴν αὐτὸν τὸν θεόν, ἑτέραν δὲ παρῆχθαι ζωὴν οὐσιώδη, καὶ δεῖν εἶναι ἐνυπόστατον παρὰ τὸν θεόν, ἧς μετέχει τὰ τῆς ζωῆς μετέχοντα, ἀλλ' ὡς αὐτὸς ἑαυτὸν ἑρμηνεύει ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ, αὐτοζωὴ καὶ αὐτοδύναμις, καὶ αὐτομοιότης, καὶ τὰ τοιαῦτα λέγεται ὁ θεός, ὡς ἀρχικῶς τοῦτο ὤν, καὶ θεϊκῶς, καὶ αἰτιατικῶς· τοῦτον γὰρ αὐτὸς τῷ ὄντι πηγαῖός ἐστι· τῆς δὲ αὐτοζωῆς ἐστιν ὑποστάτης, καὶ αὐτομοιότητος, καὶ τῶν τοιούτων, ὡς μεθεκτῶς αὐτοῖς τοῖς προσφόρως ἐν τοῖς οὖσι τῆς δωρεᾶς ταύτης μετέχουσι χορηγῶν· πάντα γὰρ οἰκείως ἑαυτοῖς μετέχει τῶν τοιούτων· αἱ μὲν πρῶται καὶ ἀνώταται τῶν νοητῶν κτίσεις, ἀρχηγικῶς· τὰ δὲ ἑξῆς, ὑποβατικῶς. ὁμοιότητα δὲ τὸ ἄνω ἔφημεν, τὴν τῶν ὅλων ἑνότητα, καθ' ἣν τὰ ὅλα τοῦδε κατὰ τὸ ὡσαύτως ἔχοντος καὶ κατὰ τὰ αὐτὰ εἰς σύμπνοιαν μετέχει, κατὰ μετουσίαν τοῦ προσφόρου αἰτίου. ἐνδεχόμενον δὲ εἰπεῖν· οὐ γὰρ τελείως, οὐδὲ καθόλου ἡ μίμησις.

Τὸ ἀποδέον) ἀπολεῖπον.

Τί δὲ καὶ περὶ τῆς θείας στάσεως) τὴν στάσιν, καὶ τὴν καθέδραν τὸ αὐτὸ δέχεται· στάσιν γὰρ οὐ τὴν εἰς τὸ ὀρθὸν [illegible], ἀπὸ τοῦ συγκεκάμφθαι ἐν τῇ καθέδρᾳ ὑπόνοιαν φησίν, ἀλλὰ τὸ ἀκλόνητον καὶ ἀμετάτρεπτον τοῦ θεοῦ, βεβαίαν, στάσιν ἐκά-

λεσεν, ὡς καὶ τὸ καθῆσθαι τὸ ἐν ἀνονομάστῳ βασιλείᾳ καὶ ἀναπαύστως διαρκῶς καὶ ἀκαταλήπτως ἔχειν. καὶ μὴν ἐν τῇ γραφῇ, ὡς ἀπὸ τοῦ καθῆσθαι ἀνιστάμενος εἴρηται, ὡς ἐν τῷ, Ἀνάστηθι κύριε, πρόφθασον αὐτούς· καὶ πάλιν, Ὡς ἀποστάσεως ἐπὶ τῷ καθῆσθαι μεταβαίνων, ἐν τῷ, Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου· καὶ, Ἡ ἱππασία σου σωτηρία· καὶ αὖθις, Ἐπέβη χερουβὶμ, καὶ ἐπετάσθη· μάλιστα δὲ τὸ, Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην· καὶ, Ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ· ταῦτα δὲ οὐ σαρκικῶς, ἀλλὰ θεοειδῶς.

Καὶ ἐπὶ πάντα προϊόντα) ἐπὶ πάντα προϊὼν καὶ κινούμενος λέγεται ὁ θεὸς, ὡς ἐν τῷ Ἱερεμίᾳ, Ἐγὼ θεὸς ἐγγίζων, καὶ οὐχὶ πόρρωθεν· καὶ πάλιν, Ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων· καὶ μάλιστα, Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ, καὶ τὰ ἑξῆς. ἐν δὲ ταῖς θεοφανείαις, Κλῖνον οὐρανούς σου, καὶ κατάβηθι· καὶ, Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ.

Οὐ κατὰ φορὰν, ἢ ἀλλοίωσιν) διδάσκων εὐσεβῶς νοεῖν τὰ περὶ θεοῦ λεγόμενα, φησὶν, ἀκούων κινεῖσθαι τὸν θεὸν, μηδέποτε νοήσῃς κίνησιν τὴν ἐπὶ τῶν κτιστῶν νοουμένων καὶ μάλιστα τῶν αἰσθητῶν· τὰ γὰρ ὑλικὰ, κινεῖται μὲν κατὰ φοράν· φορὰ δὲ ἐστιν, ἡ κατὰ ὅλον τόπον ἐναλλαγὴ, καὶ μάλιστα ἡ μὴ δυναμένη ἐφ᾽ ἑαυτῆς στῆναι, ὅταν ἐθέλῃ. κίνησις δέ ἐστιν, ἡ κατὰ ἀλλοίωσιν· ἀλλοίωσις δέ ἐστιν, ὅταν μένοντος τοῦ ὑποκειμένου αἰσθητοῦ ὄντος μεταβάλλῃ ἐν τοῖς αὐτοῦ πάθεσιν ἐναντίοις οὖσιν, ἢ καὶ μεταξὺ ἐναντίων καὶ μὴ, οἷον τὸ σῶμα ὑγιαίνει, καὶ πάλιν κάμνει. τὸ αὐτὸ καὶ ὁ χαλκὸς ποτὲ στρογγύλος, ποτὲ γωνοειδὴς, τουτέστιν εἰς γωνίας μετασχηματισθείς. ὅταν δὲ ὅλον μεταβάλλῃ, μὴ ὑπομένοντος αἰσθητοῦ τινὸς, ὡς ὑποκειμένου τοῦ αὐτοῦ, ἀλλ᾽ οἷον ἐκ γῆς πάσης αἷμα, καὶ ἐξ ὕδατος ἀὴρ, ἢ ἐξ ἀέρος παντὸς ὕδωρ, ἢ ὡς ἡ ῥάβδος Μωσέως εἰς ὄφιν, ἢ τὸ ὕδωρ εἰς αἷ-

Ministerio de Educación, Cultura y Deporte,

μα, τοῦτο καὶ τροπὴ, καὶ γένεσις, καὶ φθορὰ, μετακινηθέντων τῶν προτέρων, ἀλλ' ἔστι καὶ κατ' ἑτεροίωσιν κίνησις εἰς τὸ ἀνόμοιον, καὶ ἀπὸ χρώματος εἰς χρῶμα. πάλιν τοπική ἐστι κίνησις, ἡ ἐκ τόπου εἰς τόπον μετάστασις· ἥτις κίνησις ἢ κατὰ τὴν εἰς ὀρθὸν πορείαν γίνεται, ἢ κατὰ κυκλοφορίαν, ὡς ὁ τροχὸς κινεῖται· κατά τινας δὲ καὶ ὁ οὐρανός· ἢ κατὰ τὴν μικτὴν ἐξ εὐθείας καὶ κυκλικῆς, ὡς ἡ ἑλικοειδὴς πορεία, οἷα ἐστὶν ἡ τῶν ὄφεων· ἔστι καὶ νοητὴ κίνησις, καθ' ἣν ὁ νοῦς ἐνεργῶν, ἢ καὶ οἱ θεῖοι νόες νοοῦσι τὰ ὄντα. ἔστι καὶ ψυχικὴ κίνησις καθ' ἣν εἰς νοήσεις κινεῖται, καὶ εἰς τὸ κινεῖν τὰς αἰσθήσεις. ἔστι καὶ ἄλλη κίνησις φυτική, ἡ εἰς αὔξησιν καὶ τροφὴν κινοῦσα τὰ ἐπιτήδεια. ὁ οὖν θεὸς οὐ κατὰ μίαν τούτων κινεῖται, ἀλλὰ κίνησις τοῦ ἀκινήτου καὶ ἀεὶ ὡσαύτως ἔχοντος λέγεται ἡ εἰς τὸ γενέσθαι τὰ ὄντα, βούλησις αὐτοῦ, καὶ πρόοδος τῆς εἰς πάντα προνοίας αὐτοῦ.

Οὐ τὴν ἐξ ἀμφοῖν) κίνησιν τὴν μεταβατικὴν λέγει, ἣν καὶ ἑλικοειδῆ ὀνομάζει. ἀσχέτῳ δὲ, τουτέστιν ἀπολύτῳ καὶ ἀσυναφεῖ.

Ἀλλὰ καὶ κινήσεις θεοῦ) ἀπαγορεύσας τὰ τῶν σωματικῶν κινήσεων ἐπὶ θεοῦ, ὅπως χρὴ θεοπρεπῶς νοεῖν κίνησιν ἐπὶ θεοῦ σαφηνίζει, τὰς αἰσθητὰς ἐν τῷ παντὶ κινήσεις ἀναγωγικῶς ἑρμηνεύων.

Καὶ τὸ μὲν εὐθὺ) πῶς ἡ κατὰ κύκλον, καὶ ἡ κατ' εὐθεῖαν, καὶ ἡ ἑλικοειδὴς κίνησις ἐπὶ θεοῦ νοεῖται, ἀνάγνωθι τὸ τέταρτον κεφάλαιον, μετ' ὀλίγα φύλλα τῆς ἀρχῆς τοῦ κεφαλαίου, καὶ μαθήσῃ, πῶς ἐπὶ ἀγγέλων, καὶ ψυχῶν, καὶ σωμάτων αἱ τοιαῦται νοοῦνται.

Τὰ μέσα καὶ ἄκρα) ἀεὶ τὰ ὑπερβεβηκότα περιέχει τὰ ὑποβεβηκότα. ἄκρα μὲν οὖν καλεῖ τὰς ἀνωτάτω δυνάμεις καὶ πελαζούσας θεῷ. μέσα δὲ, τὰς μετ' ἐκείνας μὲν, τῶν δὲ αἰ-

Ministerio de Educación, Cultura y Deporte

σθητῶν ἁπάντων ὑπερκειμένας. αἱ μὲν οὖν ἀνώταται περιέχουσι τὰς μέσας· αἱ δὲ μέσαι, τὰ αἰσθητά· διὰ τοῦτο γὰρ καὶ τάξεις ἐν τοῖς οὐρανοῖς ἀγγέλων εἶπεν ἡ γραφή. ὁ μέντοι θεὸς ἅπαντα περιέχει, ὡς ὁ κύκλος τὰ ἐντὸς αὐτοῦ πάντα, καὶ εἰς ἑαυτὸν ὡς πρὸς αἴτιον ἐπιστρέφει. σημείωσαι δὲ, τί τὸ ταυτὸν, καὶ δικαιοσύνη ἐπὶ τοῦ θεοῦ, καὶ τί ἴσον.

Ὁμοίαν χώρησιν) ὁμοία χώρησις δι' ἀλλήλων καὶ ἐπὶ τῶν στοιχείων· ἡ γὰρ ἐπίσης κρᾶσις τούτων, καὶ τὸ μὴ ὑπερταλαντεύειν ἐν τοῖς συγκρίμασι τὰς διαμέσεις τοῦ κόσμου ποιεῖ· εἰ γὰρ τι τῶν στοιχείων πλεονάσει, φθείρεται τὸ γινόμενον.

Καὶ κατὰ τὸ πᾶσαν ἰσότητα, νοητὴν) ἰστέον ὅτι, νοητὸν μὲν ἐστὶ τὸ τῇ αἰσθήσει οὐχ ὑποπίπτον, οὔτε τὸ νοερὸν ἔχον ἐν ἑαυτῷ, ὡς αἱ δυνάμεις τῆς ψυχῆς καὶ τῶν αἰσθήσεων· νοερὸν δὲ, τὸ ἁπλᾶς καὶ ἀπολύτους ἔχον τὰς νοήσεις, ὡς ἄγγελοι. λογικὸν δὲ, τὸ διὰ λόγου καὶ θεωρίας τὰς τῶν ὄντων γνώσεις δεχόμενον, ὡς ὁ ἀνθρώπινος νοῦς. αἰσθητὸν δὲ, τὸ τῇ αἰσθήσει ὑποπίπτον, ὡς τὰ μέρη τῆς κτίσεως, ἅπερ διαιροῦνται εἰς οὐσιώδη καὶ φυσικά, τουτέστιν εἴς τε τὰ ἀκινήτως καὶ πάντῃ ἀναισθήτως ὄντα, καὶ εἰς τὰ τὴν ὁποιανοῦν ἔχοντα κίνησιν· τὴν γὰρ φύσιν, ἀρχὴν κινήσεως καὶ ἠρεμίας ὁρίζονται. θελητὴν δὲ ἰσότητα, τὴν προαιρετικήν. οὐκ ἀγνοῶ μέντοι, ὡς καὶ καταχρηστικῶς καὶ ἐπὶ τῆς τοῦ ἀνθρώπου ψυχῆς νοερά τε καὶ λογική.

Πάσης ἰσότητος ποιητικὴν δύναμιν) ἔστιν ἰσότης ἡ ἐν ταῖς φύσεσιν ἐκ θεοῦ τοῦ πάντων ποιητοῦ διδομένη, καὶ ἔστιν ἰσότης θελητὴ, ἣν ἐθέλοντες καὶ ἐκ προαιρέσεως κατορθοῦσιν οἱ τὸ δίκαιον καὶ τὸ περὶ τὸν βίον ἰσονομικὸν μετιᾶσι. καὶ αὕτη οὖν ἡ ἰσότης, ἐκ θεοῦ συνέστη. πᾶσαν γοῦν ἰσονομίαν καὶ δικαιοσύνην ὁ θεὸς ἐν ἑαυτῷ ἁπλῶς καὶ ἀμερῶς, ὡς ἐν ἰδέαις καὶ παραδείγμασιν ἐν ταῖς ἀϊδίοις αὐτοῦ νοήσεσι περιέ-

Ministerio de Educación, Cultura y Deporte

χει, ἤτοι περιέχει κυρίως εἰπεῖν.

## ΚΕΦΑΛ. ι.

ΩΣ παντοκράτορα, καὶ ὡς παλαιὸν) πολιὸς μὲν ὤφθη ὁ θεὸς τῷ Δανιὴλ, λευκὴν ἔχων τὴν κεφαλὴν, ὡς ἔριον, καθ' ὃ καὶ παλαιὸς ἡμερῶν ὠνομάσθη· νεώτερος δὲ τοῦ πολιοῦ γέροντος, ὅταν ὡς ἀνὴρ ὤφθη τῷ Ἀβραὰμ μετὰ τῶν ἀγγέλων· καὶ νεανίσκος, ἃ καὶ θεωρῶν ἀπέλυσεν. ὧδε, πρεσβύτην μὲν, ὡς πάντων ἐκ θεοῦ τε ὄντων καὶ μετ' αὐτόν· διὸ καὶ νεωτέρων αὐτοῦ. νέον δὲ, ὡς ἀεὶ ἐν ἀκμαίᾳ καὶ εὐσταθεῖ μακαριότητι ἀπαλαίωτον ὄντα. εἰ δὲ καὶ εἴποις τὸ συναμφότερον, τουτέστι τὸ γηραλέον καὶ νέον ἅμα ὡς ἀπ' ἀρχῆς αὐτοῦ δηλοῦν ἐπὶ πάντα διήκοντα καὶ προϊόντα ἄχρι τέλους διαιωνίζειν, ὅπερ τέλος τῆς ἀρχῆς ἐστὶ νεώτερον, ἐξ ἧς φησὶ καὶ τοῦτο λόγον. εἶτα παράγει καὶ γνώμην Ἱεροθέου τοῦ θείου· περὶ τούτου γὰρ ἐπιβάλλω λέγειν αὐτὸν οἰκεῖον ἱεροτελεστὴν, ἅτε διδάσκαλον ἑαυτοῦ ἀποκαλοῦντα.

Καὶ πολιὸς καὶ νέος) πῶς, ποτὲ μὲν πολιὸς, ποτὲ δὲ νέος, ὁ κύριος χαράττεται, ὡς τὸ, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας· τὸ γοῦν σήμερον, τοῦ χθὲς νεώτερον.

Ἐπείπερ ἡ μονὰς) ἐπειδήπερ ἡ ἀριθμητικὴ, τὸ ἐν ἀριθμοῖς διαίρεσιν ἔχον πλῆθος εἰς πέρας ἀνήγαγε, μονάδα μὲν ἀρχὴν θεμένη τοῦ παντὸς ἀριθμοῦ· δυάδα δὲ, ἀρτίων, καὶ τῶν ἑξῆς εἰς μέγεθος προϊόντων ἀριθμῶν κατὰ πρόσθεσιν μονάδων, ἐπειδὴ τὸ πλῆθος, τουτέστιν ἡ κτίσις ἐκ τοῦ θεοῦ ἐστίν· ὁ δὲ ἀριθμὸς ἐπὶ τῷ πλήθει ἐστίν· εἰκότως τὸ κατ' ἀριθμὸν, νεώτερον ὀνομάζεται· τὸ γὰρ πλῆθος, τὸ καὶ ἀριθμούμενον, μετὰ τὸν

Ministerio de Educación, Cultura y Deporte

θεὸν ἀφράτως καὶ ἐκ τοῦ θεοῦ παρήχθη· ἀλλὰ καὶ τοῦ νεωτέρου τούτου ἀριθμοῦ τῆς κτίσεως· ἀρχηγικωτέρα ἐστὶν ἡ μονὰς, ὡς ἔφην, ἡ καὶ τῶν ἀριθμῶν αἰτία, καὶ ἔχουσα σχέσιν τινὰ πρὸς τὰ ἐξ αὐτῆς πολλά. οὐκοῦν ὁ θεὸς, ὡς καὶ τούτων αἴτιος, καὶ μονάδος λόγον ἐπέχων νεώτερος κατὰ τὴν εἰρημένην θεωρίαν ἐκ τῶν ἐξ αὐτοῦ προσαγορεύεται. εἰσὶ δὲ οἳ τὰ σώματα ἀριθμὸν ὠνόμαζον.

Καὶ ἀπολύτως ἀγέννητα) αἰῶνα μὲν ἐν τῷ πέμπτῳ κεφαλαίῳ, περὶ αἰῶνος καὶ χρόνου πλατέως διελάβομεν· νῦν δὲ τὰ ζητούμενα σαφηνιστέον· οὐ μόνον γὰρ ἡ γραφὴ, φησὶν, αἰώνιον καλεῖ τὸν θεὸν, ἐν τῷ λέγειν, Ὁ θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς· τὸν γὰρ θεὸν λέγει ἀπολύτως ἀγέννητον, ἅτε καὶ ἀναιτίως ὄντα τοῦτο· ἀλλὰ καὶ τὰ μετέχοντα ἀφθαρσίας καὶ ἀναλλοίωτα περὶ αὐτὴν τὴν οὐσίαν αἰώνια λέγει, εἴτε ἀγγέλους, εἴτε ἀνώτερον οὐρανὸν, ὡς τὸ, Ἐστήσεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ τὸ, Τὰ μὴ βλεπόμενα, αἰώνια. ἀναλλοίωτα δὲ φησὶ μεῖναι τὰ ὡς ἐγένοντο. καὶ πύλας αἰωνίας καλεῖ εἴτε οὐρανοὺς, εἴτε τοὺς ἐφεστηκότας τούτοις ἀγγέλους, οἷα πυλωρούς. καὶ τὰ ἀρχαῖα δὲ αἰώνια καλεῖ, ὡς καὶ τὸ, Ἔτη αἰώνια ἐμνήσθην. καὶ τὸν καθ᾽ ἡμᾶς χρόνον, αἰῶνα φησὶν, ὡς τὸ, Ἕως τῆς συντελείας τοῦ αἰῶνος· καὶ τὸ, Ὅπως ἐξέληται ἡμᾶς ἀπὸ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ· καὶ ἀνάπαλιν, τὸν αἰῶνα, χρόνον λέγει, ὡς τὸ, Ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· αἰὼν γὰρ, ἀλλ᾽ οὐχ ἡμέρα, τὰ ἐν τῇ ἀναστάσει· καὶ πάλιν, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. καὶ τὸν χρόνον δὲ, αἰῶνα φησὶν, ὡς τὸ, Αἱ ἡμέραι τοῦ αἰῶνος, καὶ μωαβίτης, καὶ ἀμανίτης οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον κυρίου, ἕως δεκάτης γενεᾶς εἰς τὸν αἰῶνα· τὰς γὰρ δέκα γενεὰς, αἰῶνα

Ministerio de Educación, Cultura y Deporte

φησίν. Ἄλλως. Οὐ χρή, φησίν, ἔνθα ἡ γραφὴ αἰώνιον λέγει, πάντως τὸ ἀΐδιον νοεῖν· τοῦτο γάρ ἐστι τὸ πάντῃ καὶ ἀπολύτως, τουτέστι κατὰ πᾶσαν ἔννοιαν, ἀγένητον καὶ ἀΐδιον· ἀλλὰ καὶ ἀγγέλους τῇ τοιαύτῃ λέξει σημαίνεσθαι, ὡς τὸ ἐν ταυτότητι διαμένειν ἔχοντας.

Αἰῶνος μεθέξειν) ὅτι καὶ οὗτος ὁ πατὴρ αἰῶνα λαμβάνει κατὰ τὸν θεολόγον Γρηγόριον, τοῦ διηνεκοῦς, ἤγουν τοῦ ἀεὶ εἶναι τὴν δήλωσιν.

Καὶ ἔγχρονος αἰὼν δοξάζεται) ἔγχρονος αἰών, τὸ ἐν ψαλμοῖς, Ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος. αἰώνιος δὲ χρόνος, τὰ παρὰ τῷ ἀποστόλῳ, οἷον τὸ πρὸ χρόνων αἰωνίων, καὶ χρόνοις αἰωνίοις σεσιγημένου· καὶ ἐν Μωσεῖ τό, Ἔσται σοι κατόχιμος εἰς τὸν αἰῶνα. σημείωσαι δέ, ὅτι ἄφθαρτος καὶ ἀεὶ ὡσαύτως ἔχων ὁ μέλλων αἰών.

Ἡ καὶ μᾶλλον ἴσμεν αὐτοῖς) αὐτοῖς τοῖς ἁγίοις δηλονότι. σημείωσαι δέ, ὅτι τὰ νοητά, ὄντα καλεῖ, οἷς καὶ τὸν αἰῶνα συναριθμεῖ· τὰ δὲ αἰσθητά, γένεσιν λέγει, ὧν καὶ τὸν χρόνον εἶναι σημαίνει. ταῦτα τελείως ἔχεις ἐν κεφαλαίῳ πέμπτῳ.

Οὐχ ἁπλῶς συναΐδια θεῷ) σοφώτατα κατασφαλίζεται τὸν ἀκροατὴν εἰς εὐσέβειαν, φάσκων μὴ χρῆναι ὑπονοεῖν τὰ λεγόμενα αἰώνια, κατὰ τοῦτο καὶ συναΐδια εἶναι θεῷ τῷ πρὸ αἰώνων. καὶ ἤδη μὲν γὰρ ἄνω εἰρήκαμεν αἰώνιον λέγεσθαι κυρίως, οὐκ αὐτὸν τὸν αἰῶνα, ἀλλὰ τὸ αἰῶνος μετέχον. οὐκοῦν τὰ νοητὰ κυρίως καὶ ὄντα ὡς ἀθάνατα γενόμενα, καὶ αἰώνια ὡς ἀτελεύτητα βουλήσει θεοῦ διαμένοντα χρὴ λέγειν, ἅτε καὶ παραχθέντα ὑπὸ θεοῦ οὐ πρότερον ὄντα. κυριολεκτῶν δὲ μάλιστα, τὰ τῶν παρ' Ἕλλησι φιλοσόφων σεμνὰ μετάγει ἐπὶ τὴν εὐσέβειαν ἀσφαλῶς. φησὶν οὖν, ὄντα μὲν εἶναι καὶ αἰώνια, τὰς ἀσωματώδεις δυνάμεις ὑπὸ θεοῦ δημιουργηθείσας, οὐ μὴν

συναϊδίοις θεῷ, ὡς ἕλληνες ληρῳδοῦσιν, ἅμα θεός, ἅμα πάντα, λέγοντες. εἰσὶ δὲ καὶ τὰ γινόμενα ταῦτα, φησί, τὰ περίσγεια σώματα, ἃ καὶ γένεσιν καὶ φθορὰν ὀνομάζουσιν, ὡς τῆς ὑποστάθμης ὄντα τῆς ὕλης, καὶ παχύτερα πάντα τὰ μετὰ σελήνην. εἰσὶ δὲ μέσα ὄντα, ἤτοι αἰωνίων καὶ γινομένων, ἤτοι παχυτέρων καὶ περιγείων σωμάτων, τῶν γινομένων τε καὶ ἀπογινομένων πυκνῶς εἰς γένεσιν καὶ φθοράν, ἅτινα μέσα τούτων, σώματα μέν εἰσι καὶ αὐτά, πλὴν καὶ αἰῶνος μετέχουσι, καὶ χρόνου πως, τὰ δὲ μέσα εἰσίν, οὐρανὸς καὶ ἀστέρες πάντες· σώματα γὰρ καὶ ταῦτα, εἰ καὶ λεπτομερέστερα, καὶ τῆς ὕλης τὸ εἰλικρινέστατον, ὡς φησὶν ὁ ἀπόστολος, Σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια· εἶτα σαφηνίζων, ποῖα εἰσίν, ἐπάγει, Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ὁ μὲν οὖν ἀνώτερος οὐρανός, ἐν τοῖς αἰῶσι γέγονε καὶ ἡ γῆ· πρὸ γὰρ τοῦ κληθέντος φωτὸς τοῦ καὶ ἡμέρας κληθέντος ἐδημιουργήθησαν, ὡς φησὶ μωϋσῆς. ἐν δὲ τοῖς χρονικοῖς διαστήμασι, τὸ στερέωμα καὶ οἱ ἀστέρες, πλὴν καὶ σώματα καὶ ἔγχρονα· εἰσὶ γὰρ καὶ ἁπλᾶ καὶ ὁρατά, ὅμως αἰώνια ἔσονται, μεθέξοντα καὶ αὐτὰ αἰῶνος, ὡς καὶ τὰ σώματα ἡμῶν μετασχηματιζόμενα εἰς ἀφθαρσίαν, ὡς καὶ ὁ ἀπόστολος δηλοῖ, τὸ σχῆμα λέγων παράγειν τοῦ κόσμου τούτου, οὐ τὸν κόσμον. διὸ καὶ περὶ τῶν μέσων τούτων σωμάτων εἴρηται ἐν ψαλμοῖς, Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. σημείωσαι οὖν ὅτι οἱ ἀστέρες, καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ ὁ οὐρανός, σώματα μέν εἰσι λεπτομερέστερα· ἀθάνατα δέ, θεοῦ βουλήσει ἐγένοντο, ὡς καὶ τὰ σώματα ἡμῶν γίνονται μετὰ τὴν ἀνάστασιν. Ἄλλως.

Μέσα ὄντων καὶ γινομένων, ἀγγέλους ἔφη καὶ ψυχάς, τῇ μὲν, αἰῶνος μετέχοντα, διὰ τὸ ἄφθαρτον καὶ ἀθάνατον· τῇ δέ, χρόνου, διὰ τὸ ἐν γενέσει ὁρᾶσθαι· διὸ ταῦτα ἔγχρονα καὶ αἰώ-

νια

Ministerio de Educación, Cultura y Deporte

νια φησί· περιέχεται γὰρ τὰ μὲν ὄντα, τῷ αἰῶνι δηλονότι, τουτέστιν ὅσα περὶ θεοῦ λέγεται· τὰ δὲ ἐν γενέσει, τῷ χρόνῳ· εἰ καὶ ἀκούοντας αἰώνια καὶ ἔγχρονα, οὐχ ἁπλῶς οὕτω ταῦτα λαμβάνειν χρὴ, ἀλλὰ κατὰ τοὺς συνεγνωσμένους αὐτοῖς τρόπους φησὶν, ἤγουν τοὺς σαφῶς πιστευομένους.

## ΚΕΦΑΛ. ια.

Ἀρχισυνάγωγον εἰρήκει) σημείωσαι ὅτι τὸν θεὸν ἐκάλεσεν ἀρχισυνάγωγον· τὸ δὲ μεριστὸν πλῆθος, νόησον τὸ αἰσθητόν.

Εἰς τὴν ὅλην ἑνότητα) ὅλην ἑνότητα, οἱ μὲν ἔλαβον, τὴν ἁπλῆν καὶ ἀμερῆ τῶν ὄντων αἰτίαν, πρὸς ἣν τὰ πάντα ἐπέστραπται, ὡς ἐν αὐτῇ συνιστάμενα· οἱ δὲ, τὴν τοῦ παντὸς ἁρμονίαν ἐξ ἑτεροφυῶν τῶν στοιχείων συγκεκραμένην· διὸ καὶ πόλεμον ἐμφύλιον ὠνόμασε, τὴν τῶν ἐν αὐτοῖς ποιοτήτων ἐναντιότητα, θερμοῦ πρὸς ψυχρὸν, καὶ ὑγροῦ πρὸς ξηρὸν, καὶ τῶν ἄλλων ὁμοίως, ἅπερ εἰς ἑνὸς κόσμου συμπλήρωσιν ἥνωται.

Ἑνούσης εἰς ὁμοειδῆ συνοικίαν) μὴ νοήσῃς, ὡς οἱ ἄθεοι μανιχαῖοι, ὅτι στασιάζουσα πρὸς ἑαυτὴν ἡ ὕλη ἀπεκύησε τὰ δαιμόνια ταῦτα· ἀλλ᾽ ὅτι φύσει τῷ ξηρῷ τὸ ὑγρὸν πολέμιον, καὶ τὸ ψυχρὸν τῷ θερμῷ· θεὸς γὰρ καὶ τὰ οὕτως ἔχοντα, συνάπτει πρὸς φιλίαν καὶ σύστασιν τοῦ παντός. τὸ ἐμφύλιον οὖν, ἔμφυτον νόησον.

Αἱ γοῦν πρεσβύτεραι) πρεσβυτέρας δυνάμεις, οὐχ ἁπλῶς τὴν τῶν σεραφὶμ ταξιαρχίαν φησὶν, ἀλλὰ πρὸς τὸ συνάγειν, ἤγουν συνάπτειν, ταῖς θείαις ἐλλάμψεσι τὰς ὑφειμένας τὸ πρεσβεῖον ἔχουσαι· τὴν γὰρ πρώτην αὐταὶ δέχονται θεο-

φαίνεται. ἀμερῶς δὲ, τουτέστιν, οὐκ ἐν μέρει τισὶν, ἀλλ' ἀθρόως τοῖς ὅλοις.

Χυθεῖσαι πρὸς τὸ ἄπειρον) μεγάλας πλάνας φιλοσόφων ἑλλήνων διελέγχει νῦν, καὶ πρὸς τὴν εὐσέβειαν μετάγει· πολλῶν γὰρ ἐν ἐκείνοις στασιαζόντων, καὶ τῶν μὲν ἐξ ἀναμπτώσεως καὶ πολέμου πάντα δι' ἔριδος καὶ μάχης λεγόντων γίνεσθαι· τῶν δὲ, ἐκ φιλίας καὶ συμφωνίας μόνον δημιουργεῖσθαι τὰ πάντα, θεοῦ δὲ μὴ κατ' ἀξίαν μὴ φροντιζόντων, οὗτος τὰς ἐκείνων ὀνοματοποιΐας εἰς ὀρθότητα μεταφέρων, θεὸν ἐφίστησι τοῦ παντὸς καὶ ποιητὴν καὶ συναγωγέα, ἐμφύλιον μὲν πόλεμον τοῦ παντὸς νοῶν, τῶν ἀσωμάτων καὶ ἀΰλων καὶ νοητῶν πρὸς τὴν τῶν σωμάτων καὶ ὑλικῶν καὶ αἰσθητῶν φυσικὴν ἀσυμφωνίαν· ἀνόμοια γὰρ ταῦτα ταῖς οὐσίαις καὶ ἀσύμφωνα· ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὰ αἰσθητὰ πάντα, ἤτοι σώματα, ἄπειρα λεγόντων ἐνίων καὶ εἰς ἀπειρίαν φθείρεσθαι, καὶ τὸ μίγμα τῶν ἁπάντων, ὅπερ φησὶν ἀπειρίαν, τεμνόμενον εἰς διαφορὰν, καὶ χωρισμὸν, καὶ μέρη, διακρίνεσθαι καὶ χωρίζεσθαι εἰς γενέσεις, καὶ ἐκ τούτου μᾶλλον αὐξανομένης τῆς διαστάσεως καὶ μὴ μόνον τὰ μεμιγμένα τῶν ἀσυμφυῶν καὶ ἀλλοτρίων ἀποκαθαιρούσης· ἀλλὰ καὶ εἰς τομὴν καὶ θραῦσιν ἤδη τῶν συμφυῶν φερομένης, καὶ εἰς ἀνομοιότητα πᾶσαν καὶ διαφορὰν τὰ συγκρίματα ἀγούσης, λύεσθαι καὶ φθείρεσθαι πάντα, πλὴν τῶν ἁπλῶν, ἤτοι στοιχείων, καὶ τοῦτο πόλεμον λεγόντων, τὸ μὴ ἐῶν ἑνοῦσθαι τὰ ὅλα, ὁ μέγας Διονύσιος, ἅτε τῆς ἀληθείας φίλος τυγχάνων, τὸν τοιοῦτον ὡς ἔφην, φυσικὸν πόλεμον· τοῦτον γὰρ φυσικὸν καλεῖ, τὸν ἐμφύλιον ὡς καὶ σύμφυλον, τὸν ὁμοφυᾶ, λύειν φησὶ τὸν θεὸν, ἀντὶ τοῦ ἐμφυλίου πολέμου, εἰρήνην καὶ ἁρμονίαν καὶ σύμπνοιαν τῷ παντὶ δωρούμενον, καὶ

Ministerio de Educación, Cultura y Deporte

ἐν ἑαυτῷ συνέχοντα πάντα καὶ ἀποκαταλλάττοντα, ὥς φησιν ὁ ἀπόστολος, Καὶ ἀποκαταλλάξει τὰ ἐπουράνια τοῖς ἐπιγείοις, δι᾽ ὧν, τὰς μὲν ἐπιτεταγμένας τοῖς καθ᾽ ἕκαστον δυνάμεις καὶ διακονικῶς διοικούσας τῇ ἀγάπῃ τῶν ὑποτεταγμένων, ἑνοῖ· τὰ δὲ πάντα πρὸς ἑαυτὸν ἐπιστρέφει, πηδαλιουχῶν καὶ συνέχων τὰ πάντα.

Ἣν ὁ ἱερὸς Ἰοῦστος ἀφθεγξίαν καλεῖ) περὶ Ἰούστου, καὶ ὅτι τὴν τοῦ θείου εἰρήνην, ἀφθεγξίαν καὶ ἀκινησίαν ὀνομάζει. τούτου δὲ τοῦ ἁγίου Ἰούστου μέμνηνται αἱ πράξεις τῶν ἁγίων ἀποστόλων, φάσκουσαι αὐτὸν καὶ Ἰωσῆν καλεῖσθαι. μᾶλλον οὖν καὶ συνέγραψεν, ἢ καὶ ἀγράφοις διδασκαλίαις ἐχρήσατο. καὶ τοῦτο οὖν παρατίθεται τοῦ ἁγίου Διονυσίου τὴν ἀρχαιότητα, καὶ ὅτι τοῖς ἀποστόλοις αὐτοῖς καὶ ἀποστολικοῖς ἀνδράσι συνήκμασε. σημείωσαι δὲ, ὅτι καὶ οἱ θεῖοι ἐκεῖνοι ἄνδρες φιλοσόφοις λέξεσιν ἐχρῶντο, ἀφθεγξίαν καὶ ἀκινησίαν, τὴν τοῦ θεοῦ εἰρήνην ὀνομάζοντες.

Ἀπολείπει δὲ ἑαυτῆς ἕνωσιν) ἕνωσιν ἐνταῦθα, τὸ ἁπλοῦν καὶ ἑνιαῖον, ἤγουν ἀδιαίρετόν φησιν.

Ἔνδον ὅλη μένουσα) τουτέστι τὴν ἑαυτοῦ κρυφιότητα παρεξιοῦσα καὶ ἀπολείπουσα.

Τὰς νοητὰς αὐτῆς καὶ ῥητὰς) νοητὰς καὶ ῥητὰς μετουσίας φησὶν, ὅσας διὰ τῶν εἰρημένων τῇ γραφῇ, ἐφεῖται νοεῖν ἡμᾶς.

Κατὰ τὴν ἀσύγχυτον αὐτῶν ἕνωσιν) ὅτι καὶ τὰ εἰς σύνθεσιν ἰόντα, ἕνωσιν καλεῖ· καὶ ἡ ἀνόμοια, καὶ ποῖον φησὶν ὃν περιέφη ἐμφύλιον πόλεμον.

Ὅμως ἀκραιφνῆ) εἰ καὶ τὰ στοιχεῖα φησὶ, τὴν πρὸς ἄλληλα καὶ μίξιν καὶ συμπλοκὴν, ἀδιαίρετον ἔχουσιν· ἀλλ᾽ ὅμως αἱ τούτων ποιότητες, τὴν ἀκρότητα αὐτῶν οὐ παραπολλύουσιν, οἷον τὸ θερμὸν, τὸ ξηρὸν, καὶ τὰ λοιπὰ ἐν τῇ τῶν ἐπὶ προόδων

κρᾶσιν τὴν ἐν τῷ παντὶ θεωρουμένην.

Πρὸς τὰ ἀντικείμενα κράσεως) κρᾶσιν ἐνταῦθα νοητέον, οὐ τὴν ὡς ἐπὶ τῶν ὑγροῦ φύρασιν, καὶ τὴν ἀφανίζουσαν τὰ ὑποκείμενα· ἀλλὰ τὴν σύμπνοιαν καὶ ἀλληλουχίαν, τὴν ἐν ἁρμονίᾳ φυλάττουσαν τὰ ἐφεστῶτα καὶ τὰ ὑποτεταγμένα, νοητὰ φημὶ καὶ αἰσθητά, τουτέστι τὰ ἐν γενέσει, καὶ αὐτὰ δὲ τὰ ἐναντία, οἷον εἰρηνεύοντα πρὸς ἄλληλα, ὡς τὸ ὕδωρ τὴν γῆν, ᾧ περιβεβλημένη ἡ γῆ οὐ λύεται· καὶ ὁ οὐρανὸς ἐξ ὕδατος ὤν, καὶ ὁ αἰθὴρ οὐ λύων τὸν οὐρανόν· καὶ οὗτός ἐστιν ὁ ἐμφύλιος πόλεμος, ὃν οὐ μόνον ὁ δημιουργὸς σοφῶς ἐξεῦρεν, ἀλλὰ καὶ σοφωτέρως εἰς φιλίαν καὶ ἁρμονίαν ἄγει τὰ πάντα δι' αὐτῶν τῶν ἁπλῶν στοιχείων. κατὰ τὸ εἰρημένον, Θέρος καὶ ἔαρ σὺ ἔπλασας.

Καὶ ἀμιγῆ) ἀμιγῆ καὶ συγκεκραμένα εἶπε κατὰ τὴν προεπιθεῖσαν ἐκδοχήν.

Δι' ἣν οἱ θεῖοι νόες ἑνούμενοι) εἴπομεν καὶ ἄνω τοὺς θείους νόας, καὶ ἑαυτοὺς νοεῖν, καὶ τοὺς ἐπαναβεβηκότας, καὶ τὰ ὑποδεέστερα· καὶ μένειν μὲν ἐν ἑαυτοῖς, ὅταν τὰ ἑαυτῶν ἐνεργῶσι ταῖς ἑαυτῶν ἑνούμενοι νοήσεσιν· εἰς δὲ τὰ ἔξω δοκεῖν προϊέναι, ὅταν καὶ τὰ ὑποβεβηκότα νοῶσι, καὶ τὰ ὑπερκείμενα· τὸ οὕτως ὡς ἐφικτὸν εἰς τὸ νοεῖν, τὸ τῶν πάντων αἴτιον ἐπαινῶσιν. οὕτω δὲ νοοῦντες οἱ θεῖοι νόες, ὁμολογουμένως ἑνοῦνται τοῖς νοουμένοις· τὸ γὰρ νοοῦν τῇ γνώσει ἑνοῦται τῷ γνωσθέντι καὶ νοηθέντι, ὡς καὶ ὁ ἀγνοῶν σκεδάννυται, μὴ καταλαβὼν ὃ ἠγνόησε. νοῶν οὖν ὁ τοιοῦτος νοῦς εἰς ἑαυτὸν ἀνακάμπτει, οὐ σκεδαζόμενος ἔξω ἑαυτοῦ, ἀλλ' ἑνούμενος ἑαυτῷ, δι' ὧν εἰς ἑαυτὸν ἀνέστρεψεν. ἄλλη δὲ παρὰ τοὺς ἁγίους νόας, ἥτις ψυχῆς ἐστὶ νοητικὴ ἕνωσις· οἱ μὲν γάρ, νοητοί τε ἠδέ, νοεροί, πάντων ὑποβεβηκυῖα τῶν ἀγγέλων. νοερὰ δὲ μόνον ἐστί, δι' ἃς εἰρήκαμεν

Ministerio de Educación, Cultura y Deporte

ἀνωτέρω αἰτίας, ἔνθα καὶ πλατέως διεξήλθομεν περὶ τῶν ἐνταῦθα λεγομένων, ἐν κεφαλ. πρώτῳ.

Διὰ τῆς ἀΰλου καὶ ἀμεροῦς) ὅτι καὶ ἐπὶ τῶν ἡμετέρων ψυχῶν ἐνδέχεται ἀμερῆ καὶ ἄϋλον εὑρεθῆναι νόησιν, ὅταν τοὺς παντοδαποὺς αὐτῶν λογισμοὺς πρὸς μίαν νοερὰν καθαρότητα συνάγωσι· τότε γὰρ καὶ ἐπὶ τὴν ὑπερνόησιν ἕνωσιν οἰκείως ἑαυταῖς ὁδῷ τινὶ καὶ τάξει προβαίνουσι.

Συμφωνία παντελὴς καὶ ὁμόνοια) παντελῆ εἰρήνην λέγει, τὴν πάντων τελείαν τῶν ἀγαθῶν, τουτέστι τὸν θεόν.

Καὶ συνδοῦσα τὰ ἄκρα) ἄκρα φησὶ, τὰς ἄνω δυνάμεις καὶ τὰς κάτω, καὶ μέσα, ὡς προείρηται, τὰ ἐκ τῆς καθαρωτάτης ὕλης, οἷον οὐρανοὺς, καὶ ἀστέρας, καὶ τὰ ἕτερα ἄκρα τὰ ἐπίγεια καὶ γεώδη αὐτά· ἄκρα μὲν γὰρ ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω, τὰ νοητά· πάλιν δὲ ἄκρα κάτωθεν ἐπὶ τὰ ἄνω, τὰ γήϊνα ταῦτα, ἃ καὶ συνάπτονται τοῖς μέσοις. ὁμόγνια δὲ, τὰ συγγενῆ, καὶ ἐκ τοῦ πάντων αἰτίου προελθόντα.

Καὶ ταῖς ἐσχάταις) ἐσχάτας τοῦ παντὸς ἀποπερατώσεις, τὰς ἀψύχους οὐσίας φησὶ, τουτέστιν ἐν αἷς οὐδεμία κίνησις αὐξητική, ἢ θρεπτική, ἢ τῶν ἄλλων τις θεωρεῖται. ὁμόγνια δὲ, τὰ ἀδελφὰ καὶ ὁμόστοιχα. διαφέρει δὲ ἑνότης ἑνώσεως· ἡ μὲν γὰρ, τὸ ἰδιάζον καὶ ἀμιγὲς τῆς καθ' ἕκαστον δείκνυσι φύσεως· ἡ δὲ ἕνωσις, τὴν πρὸς ἕτερα σύγκρασιν, ἢ ἁπλῶς μετουσίαν.

Ολη πρὸς ὅλην) καὶ νῦν τὴν οἰκείαν ἀκρίβειαν φυλάττει· εἰπὼν γὰρ ὁμόγνια, τουτέστι συγγενῆ, καὶ τοῦ αὐτοῦ γένους, ἅτε παρὰ τοῦ παντὸς γενάρχου θεοῦ προεληλυθότα, κατὰ τὸν χρησάμενον τῷ ῥήματι ἀπόστολον· Τοῦ γὰρ καὶ γένος ἐσμέν. λέγει δὲ καὶ τὴν αἰτίαν, καθ' ἣν ὁμόγνια τὰ πάντα· καὶ φησὶν, ὅτι τέως τὰ νοητὰ ταῖς ἑνότησι, τουτέστι κατὰ τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς οὐσίας, καὶ κατὰ τὴν ἀθανασίαν, ἣν ταυτότητα λέγουσιν οἱ πε-

εἰ τούτων διαλεχθέντες, συγγενῆ ποιεῖ ὁ θεὸς, καὶ ὁμόστοιχα. ὥσπερ οὖν καὶ τὰ αἰσθητὰ ταῖς ἐκ τῶν διαφόρων στοιχείων ἑνώσεσιν, ἤτοι συγκρίμασι, καὶ ταῖς συναγωγαῖς τῶν τοιούτων μιγμάτων εἰς γένεσιν ἄχρι τὰς ἀντιλογίας, διὰ τινας συγγενείας ἀποτελεῖ.

Πῶς δὲ, φαίη τις) ἀντίθεσις πρὸς τοὺς λέγοντας μὴ ἐφίεσθαι πάντα εἰρήνης· καὶ τί ἐστιν ἑτερότης.

Τῶν ὄντων ἰδιότητα) σημείωσαι τί φησιν ἰδιότητα· ὅτι τὸ εἶναι ἕκαστον, ὡς ἔχει φύσεως, καὶ κατὰ τὸ αὐτὸ ὡς γέγονε. ταῦτα κατὰ ἀκεφάλων, τῶν καὶ ἀγνοούντων, τί ἐστιν ἰδιότης. ἐπὶ πολὺ δὲ κατεξετάζει τὴν περὶ τῆς ἰδιότητος κυριολεξίαν, σαφηνίζων αὐτήν.

Ἀλλὰ καὶ ταύτην εἰρήνης ἔφεσιν) ἐντεῦθεν ἡ λύσις. τὸ ἑαυτῶν δὲ φησὶν, ἀντὶ τοῦ τῶν ἰδιωμάτων.

Ἀκινησίαν) ἀκινησίαν φησὶ, τὸ μὴ μεταπίπτειν τῆς οἰκείας φύσεως καὶ κινήσεως.

Καὶ εἰ τὰ κινούμενα πάντα) καλῶς εἶπε τὰ πάντα κινεῖσθαι, οὐ μίαν κίνησιν, ἀλλ' ἰδίαν τινὰ καὶ κατάλληλον κίνησιν· τὰ μὲν γὰρ, νοητὰ καὶ νοερὰ ἄλλως· τὰ δὲ αἰσθητὰ, τὴν εἰς γένεσιν, ἢ καὶ ποιάν τινα κίνησιν κινεῖται, περὶ ὧν ἐν τῷ ἐνάτῳ κεφαλαίῳ διεξήλθομεν τελειότερον.

Καὶ τὴν πάντων τῶν κινουμένων ἰδιότητα) ὅτι ἰδιότης ἐστὶ καὶ ἡ κινητικὴ ζωὴ τοῦ καθ' ἕκαστον.

Εἰ δὲ τὴν κατ' ἔκπλωσιν) πρὸς τοὺς λέγοντας ἑτερότητα εἶναι τὴν κατ' ἔκπλωσιν τῆς εἰρήνης, καὶ ἐντεῦθεν ἰσχυριζομένους μὴ πᾶσιν ἐραστὴν εἶναι τὴν εἰρήνην, σημείωσαι τὰς δύο ἑτερότητας· μίαν μὲν, τὴν κατ' ἔκπλωσιν εἰρήνης· καὶ ἑτέραν, τὴν τῶν ὄντων ἑκάστου ἰδιότητα.

Τὸ γὰρ πάντη ἄστατον) θαυμασίως ἀθετεῖ τὰς τῶν ἑλλη-

Ministerio de Educación, Cultura y Deporte

νων καὶ τῶν τοιούτων αἱρετικῶν γνώμας, ὅτι οὐαλεντινιανῶν καὶ μανιχαίων, τῶν τὴν ὕλην ὑποτιθεμένων ἀρχὴν, τὰ ἐναντία φέρουσαν ἐν ἑαυτῇ τοῖς τοῦ θεοῦ· ἀστασίαι γὰρ καὶ διαφοραὶ, καὶ ἀπειρίαν, καὶ ἀοριστίαν, καὶ ταῦτα πάντα διηνεκῆ τὴν ὕλην ἔφησαν, ὅπερ ἀποδείκνυται ψευδὲς ἀληθῶς παντελῶς· οὐδὲν γάρ ἐστιν, οὐδὲ γέγονεν, ὃ μὴ ἀφ᾽ οὗ παρήχθη, καὶ διακεκοσμημένον ὑπὸ θεοῦ παρήχθη, εἰς εἶδος καὶ τοῦ ὄντος ἔχειν ὡς παρήχθη προνοίας ἔτυχεν ἀπὸ θεοῦ.

Ἀμαυροῖς εἰδώλοις) ἀντὶ τοῦ ἀμυδροῖς εἰκονίσμασιν· ἐφίενται γὰρ τῆς πρὸς τὰς ῥεούσας καὶ φθειρομένας ἡδυπαθείας, ἀπολαύσεως, καὶ συναφείας, καὶ τὸ πρὸς ταύτας ἀπαριάστως ὁρᾷν αἱρούμενοι, ἤγουν τούτων μετέχειν, διὰ τὸ μὴ τοῦτο αὐτοῖς φησὶ, κατὰ νοῦν χωρεῖν ἐκταράσσονται.

Καὶ ταῦτα ἰσᾶν) οὕτω δεῖ τὸ ῥητὸν τοῦτο συναφθῆναι, ὅτι καὶ οἱ φιλέριδες καὶ ἄστατοι, ἀμαυροῖς καὶ αὐτοὶ εἰδώλοις τοῦ ἀγαπᾶν εἰρήνην κατέχονται· ὑπὸ γὰρ παθῶν ἐνοχλούμενοι, καὶ τὰ πάθη κατ᾽ ἄγνοιαν, ὡς καλὰ θέλοντες ἰσᾶν, δοκοῦσιν εἰρήνης ὀρέγεσθαι ἐφιέμενοι ἀδεῶς ἑαυτοὺς ἀπολαύειν τῶν ῥουσῶν καὶ κακῶν παθῶν, ἐκταραττομένοις ἐὰν ἀποτύχωσι τοῦ ἀπολαύειν τῶν νομιζομένων καλῶν, ὄντων δὲ παθῶν. κατὰ κοινοῦ οὖν τὸ ἑαυτοὺς τακλέον, ἵνα ᾖ, ἐφιέμενοι ἑαυτοὺς, ἅτε ἐκταραττομένους ἐὰν ἀποτύχωσι τῶν παθῶν, εἰρηνεύειν ἑαυτοὺς εἰς τὸ ἀπολαύειν τῶν παθῶν. οὕτω νόησον καὶ τὸ πάντας ἐφίεσθαι εἰρήνης, τουτέστι τοῦ ἀγαθοῦ.

Τί ἂν τις εἴποι περὶ τῆς κατὰ χριστὸν) πῶς εἰρήνη ἰησοῦς χριστὸς ἡμῶν καὶ ἀγγέλων, παύσας τὸν πόλεμον, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, καὶ εἰρήνην μεταξὺ ἡμῶν βεβαιώσας καὶ ποιήσας τὰ ἀμφότερα ἕν, ὡς ὁ θεῖος ἀπόστολος ἐν τῇ πρὸς ἐφεσίους φησίν.



Ministerio de Educación, Cultura y Deporte

Καθ᾽ ἣν οὐ μὴ μάθωμεν ἔτι πολεμεῖν) ἐκεῖνός ἐστιν ὁ μὴ ἐν αὑτῷ πολεμῶν, ὁ θυμὸν καὶ ἐπιθυμίαν καθυποτάξας τῷ λόγῳ. εἰρηνεύει δὲ καὶ πρὸς ἀνθρώπους ὁ τὴν γνώμην μίαν πρὸς πάντας κτησάμενος. ὁ δὲ τὸν ἑαυτοῦ νοῦν πρὸς τὰ διὰ τῶν ἀγγέλων κινούμενα παράγων πειθήνιον, οὗτος καὶ μετὰ τῶν ἀγγέλων τὴν εἰρήνην ἐκτήσατο.

Ἀλλὰ καὶ αὐτοῖς τὰ θεῖα) τουτέστι τὴν αὐτὴν αὐτοῖς περὶ τὸ θεῖον σέβας λατρείαν καὶ προσκύνησιν ἐπιτελέσωμεν.

Ἐν ταῖς θεολογικαῖς) σημείωσαι, ὅτι ἐστὶν αὐτοῦ καὶ θεολογικῶν ὑποτυπώσεων σύνταγμα. τοῦτο καὶ ἐν ἀρχῇ τοῦ παρόντος κεφαλαίου φησί.

Δι᾽ ἐπιστολῆς ἐπύθου) πῶς νοεῖ τὸν θεὸν αὐτοζωὴν εἶναι, καὶ τῆς αὐτοζωῆς ὑποστάτην, καὶ τὰ ὅμοια. καλῶς δὲ αὐτὸ φησὶ καὶ κατὰ τὸ ἐν ταῖς ἐπιστολαῖς, μάλιστα τῇ δευτέρᾳ.

Ἐκ τῶν πρώτως ὄντων) πρώτως ὄντα οἶμαι αὐτὸν εἰρηκέναι, τὰς ὑπερκοσμίους φύσεις, ὡς πρώτως καὶ ἀκραιφνῶς τῶν θείων δωρεῶν μετεχούσας ζωῆς, καὶ τῶν λοιπῶν. ἐκ τῶν ὄντων τινῶν, τουτέστι τῶν ἐν τοῖς οὖσι θεωρουμένων, λέγεται ὁ θεὸς τῆς αὐτοζωῆς, ἤγουν τοῦ αὐτοῦ πράγματος καὶ τοῦ εἴδους αὐτῆς ὑποστάτης καὶ παραγωγεύς. ἐξ ἑνὸς γὰρ τοῦ τῆς ζωῆς καὶ περὶ τῶν ὁμοίων, ἡμᾶς ὁμοίως νοεῖν δεῖ. ὅταν δὲ ὁ θεὸς αὐτὸς λέγηται αὐτοζωὴ, καὶ τὰ παραπλήσια, ὡς ταῦτα ὑπάρχων ὑπὲρ φύσιν πᾶσαν λέγεται, ἤγουν καὶ ὑπὲρ ἀγγέλους, καὶ πᾶσαν νοερὰν οὐσίαν.

Ἐκ τῶν πρώτως) πρώτως ὄντα τὰς νοητὰς φησὶ δημιουργίας, τὰς καὶ ἀσωμάτους, τουτέστι τοὺς ἀγγέλους. σημείωσαι τὸ ἀρχηγικῶς, ὅτι πρώτως ὑφέστηκε, φησὶ τὸ ὑπερούσιον αἴτιον, ὁ θεός· μόνος γὰρ ποιητὴς νοητῶν καὶ αἰσθητῶν· οὐ γὰρ δεῖ πείθεσθαι τοῖς λέγουσι τὰς δημιουργικὰς δυνάμεις τοῦ θεοῦ, θεοὺς

Ministerio de Educación, Cultura y Deporte

ται, ὅπερ οὐκ ἔστι· μόνος γὰρ ὁ θεὸς δημιουργός. σημείωσαι, ὅτι μόνος ὁ θεὸς ποιητὴς πάντων νοητῶν καὶ αἰσθητῶν.

Ἀσκύλον) ἐπικαμπές.

Καὶ θεοὺς τῶν ὄντων) ὅτι οὐκ εἰσὶ θεοί, ἢ δημιουργοὶ ἄγγελοι, οὐδὲ ἄλλο τι παρὰ τὸν θεόν.

Ἀληθῶς καὶ κυρίως) σημείωσαι ὅτι οὐδὲ ἐνταῦθα ὁ θεῖος ἀνὴρ διαφορὰν οἶδε τοῦ κυρίως καὶ ἀληθῶς.

Τὴν αὐτοουσίωσιν) ἐν τούτοις σαφέστερον τὴν λύσιν ἐποιήσατο τοῦ προτεθέντος προβλήματος, ὅπως χρὴ λαβεῖν τό, ποτὲ λέγεσθαι μὲν αὐτὸν αὐτοζωήν, καὶ τὰ σὺν αὐτῷ τὸν θεόν· ποτὲ δὲ τούτων ὑποστάτην, ἤγουν ταῦτα ὑποστήσαντα, ὅτι ὁ μὲν ὡς αἴτιος τούτων καὶ ἀρχὴ ὑπεράρχιος, οὕτω ταῦτα λέγεται· τὰ δὲ ὄντα τούτων μετέχοντα, καλοῦνται ἐξ αὐτῶν ζῶντα, καὶ ὄντα, καὶ ἔνθεα. τὴν ζώωσιν γοῦν, τὴν οὐσίωσιν αὐτὴν τοῦ τὰ πράγματα, ὑπέστησεν ὁ θεός. πρώτως οὖν ἐννοούμεθα αὐτὸ τὸ πρᾶγμα· εἶτ' οὕτω τὴν καθολικὴν αὐτοῦ ἔννοιαν· οἷον τὴν παντοίως θεωρουμένην ζωὴν ἢ οὐσίαν· καὶ τότε τὰ μερικά, τουτέστι τὴν τοῦ καθ' ἕκαστον εἶδος ἔννοιαν λαμβανόμεν, οἷον τῆς ἀγγελικῆς ἢ τῆς ἀνθρωπίνης ζωῆς, καὶ τῶν λοιπῶν οἷς συνεισβάλλει, καὶ αὐτῶν τῶν μετεχόντων ἡ μνήμη. ἐπαγαγὼν δὲ εἶτα τῶν ὅλων αὐτῶν μετεχόντων, ἐδήλωσεν ὡς οὐ πάντα πάντων μετέχουσι· τὰ μὲν γάρ, οὐσίας μόνης· τὰ δέ, ζωῆς· τὰ δέ, καὶ νοήσεως, ἢ καὶ νοερότητος· τὰ δέ, πρὸς τούτοις καὶ θεώσεως.

Ὧν τὰ ὄντα οἰκείως ἑαυτοῖς) τὸ δοκοῦν ἀσαφέστερον, σαφηνιστέον οὕτως· ὁ θεὸς πάντα εἰς συντέλειαν ἐν ἑαυτῷ προέχων ὑπερηνωμένως καὶ ἀσυνθέτως, καὶ ὡς πηγαία ἀρχὴ δι' ἀγαθότητος ὑπερβολήν, καὶ τοῖς ἐξ αὐτοῦ δημιουργικῶς ὑποστᾶσι, καθάπερ ἀκτῖνας τινὰς ἀφιείς, μένων ὅλως ἐν ἑαυτῷ

Ministerio de Educación, Cultura y Deporte

μεταδίδωσι μεθεκτῶς ἑκάστῳ οἰκείως τῶν μεγάλων αὐτοῦ προτερημάτων. αἱ οὖν ἐκ τῶν ἐνόντων αὐτῷ ἀγαθῶν εἰς μετάδοσιν ἐλλάμψεις πρωτοτύπως λέγονται, καὶ αὐτοεῖναι καὶ αὐτοζωώσεις, καὶ αὐτοθεώσεις, καὶ ὅσα τοιαῦτα κατὰ μίμησιν τῶν ἀρχῶν, τουτέστι τῶν αὐτοῦ διὰ τοῦ θεοῦ ὄντων, φημὶ τῆς αὐτοθεότητος, καὶ αὐτοαγαθότητος, καὶ αὐτοζωῆς. δευτέρως δὲ καὶ ὅλα αὐτὰ ὑποστῆναι λέγεται, διὰ τῶν κατὰ πρόοδον ὑποστασῶν ὑπ' αὐτοῦ οὐσιῶν, ζωῶν τε οὐσῶν οὐσιωδῶς, καὶ διδομένων μεθεκτῶς τοῖς ἀξίοις. τρίτως δὲ, τῶν μερικῶν τούτων μεταδόσεων· τινὰ γὰρ μετέχει ζωώσεως μόνης, τινὰ δὲ καὶ θεώσεως, τινὰ δὲ τῶν ὅλων ὁμοῦ τούτων, ὡς αἱ ἀνώταται νοηταὶ δυνάμεις.

Τῶν μερικῶν) μερικά φησι, τὰς διαδοχὰς τῶν θείων.

Καὶ τῆς αὐτοαγαθότητος) ὅτι δὲ τῆς αὐτοαγαθότητος καὶ θεότητος ὑποστάτης ἐστὶν ὁ ὑπεράγαθος καὶ ὑπέρθεος. σημείωσαι οὖν, ὅτι οὐκ ἔστιν οὐσία θεοῦ τὰ τοιαῦτα. ἀνάγνωθι ἐν τῇ β΄ πρὸς Γάϊον ἐπιστολῇ.

Προνοίας καὶ ἀγαθότητας) προνοίας δὲ ἀγαθότητας φησίν, ἅπερ προεῖπεν οὐσίωσιν, ζώωσιν, ἀγαθότητα, θεότητα, κάλλος, καὶ τὰ ὅμοια.

Ἐκ θεοῦ τοῦ ἀμεθέκτου) πρὸ βραχέος εἰπὼν μεθεκτὸν τὸν θεόν, νῦν ἀμέθεκτον αὐτόν φησιν εἶναι. μεθεκτὸς μὲν οὖν ὁ θεὸς κατὰ τὰς φιλοδώρους αὐτοῦ μεταδόσεις. ἀμέθεκτος δὲ, κατὰ τὸ αὐτὸν αἴτιον ὄντα, καὶ τοῦτο ὑπὲρ πάντα ἔχειν ἰδίως, ὧν πάντα προσφόρως μετέχει· ὅμοιον γάρ ἐστι τοῦτο τῷ εἰρημένῳ ἄνω τῷ κεφαλαίῳ πέμπτῳ, ὅτι τὸ ὂν καὶ ἐν τοῖς πᾶσιν ἐστί, καὶ οὐδὲν τῶν πάντων ἐστί· διὰ γὰρ τὸ συνέχειν καὶ ζωοῦν καὶ φυλάττειν λέγεται ἐν τοῖς πᾶσιν εἶναι· οὐδὲν δὲ τῶν ὄντων ἐστί, καθὸ ὁ αἴτιον τῆς πάντων παραγωγῆς, οὐκ αὐτὸ δὲ τὸ αἴτιον ἐκ τῶν αἰτιατῶν εἴη. οὕτω καὶ ἐνταῦθα, μεθεκτὸς μὲν ὁ θεὸς καθ' ὃ πάντα τὰ ὄντα αὐτοῦ

Ministerio de Educación, Cultura y Deporte

μετέχει, καὶ δι' αὐτοῦ συνέστηκε· τὸ γὰρ αὐτοῦ μὴ μετέχον, οὔτε ἐστὶν, οὔτε ἔσται, οὔτε ἦν. ἀμέθεκτος δὲ πάλιν, ἐπειδὴ τῆς αὐτοῦ οὐσίας οὐδὲν τῶν ὄντων μετέχει· ὑπὲρ τὰ ὄντα γὰρ ὁ θεὸς κατὰ τὴν ἰδίαν φύσιν.

## ΚΕΦΑΛ. ιϛ.

ΤΩ διπλασιασμῷ τῶν ὀνομάτων) διπλασιασμὸν ὀνομάτων φησὶ, τὸ πρὸς τὸ ἁπλοῦν ὑπερθετικὸν, οἷον ἅγιον ἁγίων, κύριον κυρίων, θεὸν θεῶν, καὶ τὰ ὅμοια τούτων.

Διὸ καὶ κυριότης) ταῦτα φασὶν οἱ δύο γρηγόριοι, ὅ, τε θεολόγος καὶ ὁ νύσσης.

Ἀπολύτως ὑμνητέον) ἀπολύτως, τουτέστιν, οὐ κατὰ τὶ μὲν, κατὰ τὶ δὲ οὔ, ἢ ὡς πρός τι ἕτερον, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τουτέστι κυρίως.

Καὶ ἀνισότητα) αὕτη ἐστὶν ἡ ἑνότης, τὸ τῆς ἰσότητος καὶ ταυτότητος λέγω· τοῦτο γὰρ ἐστὶ τὸ αἴτιον τῆς συμπνοίας, καὶ τῆς συμπαθείας, καὶ τῆς σωτηρίας τῶν ὅλων· ὁ γὰρ τῆς ἑνότητος λόγος, ὁ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων, ἓν εἰκότως ἂν προσαγορεύοιτο· καὶ γὰρ τὸ ἐν τοῖς κατὰ μέρος ἓν, τοιοῦτον ὑπάρχει, ἑνούμενον τοῖς μέρεσι, καὶ σύμπνοιαν κατὰ μετουσίαν τοῦ πρώτου αἰτίου. κατὰ τοῦτον τὸν λόγον καὶ ὁ κύριος ὑπὲρ τῶν μαθητῶν αἰτεῖ, ἵνα ὦσι καὶ αὐτοὶ ἓν, ὡς καὶ ἡμεῖς ἕν ἐσμεν, ἵνα ὦσι τετελειωμένοι εἰς τὸ ἕν. γάννυται δὲ, ἤτοι εὐφραίνεται ἐπὶ τοῖς ἰδίοις ποιήμασιν ὁ θεὸς, κατὰ τὸ ἐν ψαλμοῖς, Εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἀμέθεκτος αἴτιος) ἀμέθεκτος ὁ θεὸς κατὰ τὸν τῆς φύσεως λόγον.

Ministerio de Educación, Cultura y Deporte

Ἅγιος ἁγίων ὑμνεῖται) πῶς ἅγιος ἁγίων, καὶ τὰ τοιαῦτα ὑμνεῖται ὁ θεὸς, θαυμασίως ἐτράνωσε, καί φησι, καθ' ὅσον διαφέρει φύσις ἀκραιφνὴς καὶ αἰτία ποιότητος καὶ αἰτιατοῦ· τοῦτο γάρ ἐστι τὸ ὂν πρὸς τὸ μὴ κυρίως ὂν, καὶ καθ' ὅσον τούτου μετέχοντος αὐτὸ τὸ μετεχόμενον, κατὰ τοσοῦτον διαλλάττει ὁ θεὸς ταῦτα λεγόμενος, τῶν κατὰ μέθεξιν τοῦτο ἐσχηκότων· τὰ γὰρ πάντα ἐκ θεοῦ ἐστὶ, καὶ λέγεται, καὶ ἔχει· ὁ δὲ θεὸς, ἐξ οὐδενός.

Ἁγίους δὲ, καὶ βασιλεῖς) θείας ἐπιπνοίας ὁ μακάριος οὗτος ἠξιωμένος, δυσσεβῶς τὰ παρὰ τισὶν εἰς πολυθεΐαν ἐκπεσόντα φιλοθέως μυσταγωγεῖ, καὶ τὰς ἐφεστηκυίας τῶν ὑποβεβηκότων ἀρχὰς κατ' ἐξοχὴν ἁγίους, καὶ βασιλεῖς, καὶ κυρίους, καὶ θεοὺς λέγεσθαί φησιν, ὥσπερ καὶ ἐν ἀνθρώποις, οἱ ἐξοχώτατοι οὕτω προσαγορεύονται, καὶ ὥσπερ ἐν ἡμῖν οἱ ἐν ἀρετῇ προὔχοντες διδάσκαλοι, τὴν ἀρετὴν ἐν τῇ ψυχῇ ἑνιαίως συνηθροισμένην ἔχουσι· διὰ δὲ τῆς διδασκαλίας ἑτέροις τὰς ἀρετὰς μεταδιδόντες πρὸς τὴν διαφορὰν τοῦ πλήθους τῶν διδασκομένων πληθύνεται, καὶ ἡ μεταδιδομένη παρ' αὐτῶν ἀρετὴ οὕτως ἰσχυροτέρῳ τινὶ καὶ θειοτέρῳ τρόπῳ ἐπὶ τῶν ἀσωμάτων τάξεων θεωρητέον. καὶ διὰ τῶν ἀνωτέρω καὶ πλησιαιτέρων θεῷ αἱ ὑποβεβηκυῖαι τάξεις μετέχουσι τῶν δωρεῶν τοῦ θεοῦ, ὥσπερ ἐκ κρατῆρος ὑπερβλύζοντος καὶ πηγάζοντος, τὰ μὲν πλησιάζοντα σκεύη, πρῶτα πληροῦνται, δεχόμενα τὸ ἐπὶ τὰ αὐτὰ φερόμενον· εἶτα καὶ αὐτῶν ὑπερβλυζόντων διαχεῖται εἰς ἕτερα ὑποκείμενα σκεύη, καὶ πρὸς τὸ πλῆθος τῶν δεχομένων, καὶ τὴν διαφορὰν, εἴτε μικρῶν, εἴτε μεγάλων, οὐ διαρραντίζεται τὸ ἐκ τοῦ κρατῆρος ἀναβλύζον τῶν πρώτων σκευῶν ἐν ἑαυτοῖς ἐχόντων κατὰ τὴν ἑνότητα τοῦ πληρώματος τὸ πρώτως ἐκ τοῦ κρατῆρος ἐνεχθὲν, οὕτω παχυτέρῳ λόγῳ τὴν ἀφθονίαν τῆς μεταδόσεως τῶν θείων δωρεῶν μειζο-

Ministerio de Educación, Cultura y Deporte

ἐχύθη εἰς ἅπαντας διὰ τῶν προφητῶν διακόσμων νοητέον. καὶ ὁ ἀπόστολος· σκεῦος γὰρ ἐκλογῆς ὠνομάσθη. σημείωσαι δὲ ὅτι ἀμέθεκτον νῦν τὸν θεὸν κατὰ τὸν τῆς φύσεως λόγον φησί.

Διαφορὰς πληθύουσι) τουτέστι πλείους δεικνύουσιν· ὅσον γὰρ διάφορα τὰ μετέχοντα, τοσοῦτον καὶ αἱ δωρεαὶ πολυειδεῖς διαφαίνονται.

## ΚΕΦΑΛ. ιγ.

Υφ' ἑαυτοῦ μονοειδῶς ἀφοριζόμενον) ὁ θεὸς ἑαυτοῦ καὶ ὅρος καὶ τόπος, καὶ οὐδὲν ὑπερεκτείνεται τοῦ θεοῦ· ἀλλὰ καὶ τὰ ἄπειρα αὐτὸς περατοῖ· τοὺς γὰρ αἰῶνας ἀπείρους ὄντας· οὐδὲ γὰρ ἔχουσι πέρας· αὐτὸς τῷ ἀπείρῳ μεγέθει ὑπερέχων τῷ ἑαυτοῦ ἀπειροπλασίῳ περιέχει· καὶ πᾶσαν ἀορισίαν ζωῆς, ὡς ἐπὶ τῶν νοητῶν· οὐ γὰρ ὥρισται τούτοις ὁ βίος, ὡς ἐπὶ ἀνθρώπων· ἀλλ' ἀθάνατοι ἐκτίσθησαν. ὁ δὲ θεὸς ἐν τῷ ὑπεραιωνίῳ ἐντὸς τῆς ἰδίας ἀϊδιότητος ὁρίζεται.

Εν δὲ, ὅτι πάντα) πολλὰ τῷ ἀριθμῷ, ἓν δὲ τῷ εἴδει, τὰ νομίσματα, καὶ τὰ ἀργύρεια, καὶ οἱ ὀβολοί· τὸ γὰρ εἶδος ἕν, ἢ χαλκός, ἢ χρυσός, ἢ ἄργυρος· τὸ δὲ πολλὰ ταῖς δυνάμεσιν, ὡς αἱ πόαι, ἓν δὲ τῷ εἴδει· πᾶσαι γὰρ χόρτος· τὸ δὲ πολλὰ τοῖς εἴδεσιν, οἷον ἵππος, βοῦς, ἄνθρωπος, καὶ τὰ νοητά. ἓν δὲ τῷ γένει, ὅτι ταῦτα ζῷον ἐστί· τὸ δὲ πολλὰ ταῖς προόδοις, αἱ δημιουργίαι, ἓν δὲ τῇ ἀρχῇ· ὁ θεὸς γὰρ αἴτιος πάντων.

Ἀλλ' ὥσπερ ἅπας ἀριθμὸς) καλῶς ἀποδείκνυσιν ὅπερ καὶ βούλεται· σκοπὸς γὰρ τῷ θείῳ τούτῳ ἀνδρὶ καὶ ἀπὸ τῆς ἀριθμητικῆς συστῆσαι τὰ ἑαυτοῦ. λέγει γοῦν, ὅτι οὐδὲν ἐστὶ τῶν ὄντων

Ministerio de Educación, Cultura y Deporte

ἀμέτοχον τοῦ ἑνός, τουτέστι τοῦ θεοῦ· διότι καὶ πᾶς ἀριθμὸς μονάδος μετέχει. εἰ γὰρ ἐκ τῶν δύο ἄρξεταί τις, μίαν δυάδα προφέρων ἀριθμεῖ, καὶ ἐκ τῶν ι΄. ὁμοίως, τὸ πλεῖον φησίν, ὅτι καὶ ἐκ τῶν λεγομένων πολλοστημορίων ἄρξηταί τις προφέρων, ἀριθμεῖ ἥμισυ ἕν, καὶ τρίτον ἕν, δέκατον ἕν, καὶ οὕτως ἐφεξῆς, ὥστε μὴ εἶναι ἀριθμὸν μὴ μετέχοντα τοῦ ἑνός, ἤτοι τῆς μονάδος· κἂν γὰρ μοῖραν ἐπιμνησθῇς, ἐρεῖς ἥμισυ ἕν, καὶ τρίτον ἕν, καὶ δέκατον ἕν, καὶ ἐφεξῆς· καὶ ὅτι μία δυάς, καὶ μία δεκὰς λέγεται, ὡς καὶ τούτων ἐξ αὐτῆς συμπληρουμένων.

Τὸ πάντων αἴτιον ἕν) ὁ σκοπὸς δῆλος, ὅτι ἓν λεγόμενος ὁ θεός, οὐχ ὁμοίως τοῖς ἀριθμητοῖς ἓν λέγεται· ὁ μὲν γὰρ θεὸς ἕν ἐστι, καθὸ ἁπλοῦς τε καὶ ἀμερής, καὶ τῆς κατ' εἶδος διαφορᾶς ἄμοιρος, καὶ πάντων παθημάτων καὶ συμβεβηκότων ἀλλότριος λέγεται καὶ ἕν, ἀρχή τις ὥσπερ καὶ στοιχεῖον, τῶν ἐσομένων νοούμενος. τὸ δὲ ταὐτόν, ἢ ἕτερον, ἢ μεῖζον, ἢ ἔλαττον, ἔτι δὲ ἄρτιον ἢ περιττόν, ἢ ἴσον ἢ ἄνισον, ὅσα περ ἐν τοῖς ἀριθμοῖς θεωρεῖται, οὐκ ἄν τις εὐλόγως ἐπὶ τὴν ἀρχὴν ἀναφέροι, ἀρχὴν αὐτὴν ποιούμενος· τὰ γὰρ τοιαῦτα πάθη καὶ συμβεβηκότα, ἐξ ἀνάγκης εἰσί. τῶν μὲν οὖν ἐν ἀριθμοῖς διαιρέσεων εἰς πλῆθος τὸ πέρας, εἰς μονάδα ἀνάγεται· ἡ δὲ ἀρχὴ ἐν ἑκάστῳ γένει ἁπλουστατόν ἐστι, καὶ ἐν τοῖς οὖσιν οὖν, εἴτε τὸ ἓν πολλά ἐστιν, εἴτε τὰ πολλὰ ἕν, ἀρχή τις καὶ στοιχεῖον τὸ ἁπλούστατόν ἐστι καὶ πάντων ἀμέτοχον ἕν, ἐξ οὗ, ὥσπερ ἐκ παραδείγματος καὶ ἰδέας καὶ τὸ ἐν τοῖς οὖσιν ἕν, οἷον κἂν τὸ αἰσθητὸν φῶς πολλὰ ᾖ τοῖς μέρεσιν, αὐτό τε τοῖς ἄστροις πᾶσιν· ἀλλ' ὅλον συλλεγόμενον, ἓν φῶς ἐστὶ καὶ πολλὰ τοῖς συμβεβηκόσιν, οἷον ὁ ταώς· ἔχει γὰρ καὶ χρυσίζοντα, καὶ κυάνεα, καὶ λευκά, ἐν τῷ ὑποκειμένῳ σώματί ἐστιν· οὕτω καὶ τὰ ἑξῆς νοητέον.

Οὐδὲ γὰρ ἐστι πλῆθος) ὧδε ἐξ ἀριθμητικῆς παραγίνεται τοῦ

Ministerio de Educación, Cultura y Deporte

λεγομένου. σημείωσαι δέ, ὅτι καὶ περὶ τοῦ ἑνὸς λέγει εἶναι τὸν θεὸν ἀρχικῶς, ἐπειδὴ πάντων ὑπάρχει, ὅθεν καὶ τοῦ ἀριθμοῦ δημιουργός, ἤτοι ἐφευρέτης ἐστίν.

Ἀλλὰ τὸ μὲν πολλὰ) προσυπακουστέον ἐφ' ἑκάστου τούτων τὸ ὑπάρχον, ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον, τὸ ὑπάρχον τοῖς μέρεσι, πολλά, ἕν ἐστι τῷ ὅλῳ, οἷον τὸ σῶμα, οὕτω καὶ τὰ λοιπὰ ἐν τῷ ὑποκειμένῳ ἐστὶν ἡ οὐσία· ἀλλὰ πολλὰ τοῖς συμβεβηκόσιν, οἷον ὁ ἄνθρωπος· συμβεβηκότα δέ, τὰ μὲν χωριστά, ὡς τὸ καθέζεσθαι, περιπατεῖν, καὶ τὰ ὅμοια· τὰ δὲ ἀχώριστα, ὡς τὸ γλαυκόν, ἢ γρυπόν, καὶ τὰ ὅμοια· καὶ πάλιν, ἓν μὲν εἶδος ἵππος, ἢ βοῦς, ἀλλὰ τοῦτο πολλὰ ὑπάρχει τῷ ἀριθμῷ· πολλοὶ γὰρ ἵπποι, καὶ πολλοὶ βόες. ἀλλὰ καὶ ταῖς δυνάμεσι ταῖς φυσικαῖς πολλὰ ὑπάρχει, καὶ αὖθις τὰ πολλὰ εἴδη, οἷον ἄνθρωπος, ἵππος, κύων, καὶ τὰ ἄλλα, ἕν εἰσι τῷ γένει· ζῷον γὰρ τούτων ἕκαστον· οὕτω γοῦν καὶ τὸ πολλὰ ὑπάρχον ταῖς περιόδοις, ἤγουν τοῖς βουλεύμασιν, ἢ καὶ τοῖς ἔργοις, ἕν εἰσι τῇ ἀρχῇ.

Πάντα καὶ ὅλα πάντα) πάντα λέγεται, ὅταν εἴδη, ἢ μέρη, καὶ διαφοραὶ ἐν ταῖς διαιρέσεσιν ὦσιν· ὅλον δέ, ὅταν τὰ μέρη συλλεγόμενα ἓν ὁλόκληρον ἀποτελῶσιν, ἢ τὰ εἴδη εἰς γένος, ἢ καὶ τὰ ἐναντία καὶ ἀντικείμενα εἰς σύμπνοιαν καὶ συμπάθειαν ἡσυχάζῃ, ὡς ὕδωρ ὁμοῦ, καὶ γῆ, καὶ ἀήρ, καὶ τὰ πυρώδη ἄστρα, καὶ οὐρανός· λέγεται γὰρ ὅλα ταῦτα κόσμος.

Καὶ αὐτὸ μὲν τοῦ ἑνὸς) ἐπειδὴ τὸ ἓν δοκεῖ πως ἔχειν σχέσιν πρὸς ἀριθμόν, αὐτὸ ἑνὸς οὐκ ἂν εἴη πλῆθος. σύνθεσις γὰρ μονάδος εἰσὶν οἱ εἰς πλῆθος ἀριθμοί, ὅπερ εἶπεν ἄνω, ὅτι πολλαπλασιάζεται ὁ θεός, ὡς ἀπὸ ἀριθμητικῆς νοούμενος. τὸ δὲ ἓν καὶ καθ' ἑαυτὸ ὑφέστηκε καὶ ἔστι.

Καὶ εἰ πᾶσι τὰ πάντα) τὸ ὑποθοῖτό τις, καὶ τὸ καθ' ὑποθε-

Ministerio de Educación, Cultura y Deporte

σιν λαμβάνεται ἐπὶ τῶν πραγματικῶς οὐκ ὄντων, ἀλλὰ λόγῳ τυπουμένων. ἐνταῦθα μέντοι οὐχ οὕτω ληπτέον, ἀλλὰ τῇ κατ' ἐπίνοιαν λόγῳ τοῦτο θετέον, διὰ τὴν τοῦ ἐκτίσθαι ταυτότητα, καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι θεωρεῖσθαι, καὶ ἐν τῷ ὅλῳ τὰ μέρη.

Ὅτι κατὰ τὸ ἑνὸς ἑκάστου προεπινοούμενον) εἰ μὴ προεπινοηθείη, φησί, τὸ τοῦ ἀνθρώπου εἶδος, ἤγουν ἡ φύσις, οὐκ ἄν τις εἴποι τοὺς ἀνθρώπους ἡνῶσθαι ἀλλήλοις. δῆλον δὲ ὅτι κατ' αὐτὸν τὸν τῆς φύσεως λόγον.

Καὶ εἰ ἀνέλοις τὸ ἕν) οὕτω τὸ ῥητὸν συνθετέον, ὅτι ἡνῶσθαι λέγεται τὰ ἡνωμένα κατ' εἶδος προεπινοούμενον ἑνὸς ἑκάστου (προείπομεν γάρ, ὅτι τὰ εἴδη καὶ τὰ πολλὰ στοιχεῖόν τι καὶ ἀρχὴν τὸ ἓν ἐπιγράφον), εἰς γένος ἓν ἀναγόμενα, οὗ γένους εἴδη εἰσί. ταῦτα γὰρ ἡνωμένα αὐτῷ τῷ εἴδει, οἷον ἵπποι, βόες, καὶ τὰ ἑξῆς, ἅπερ εἰς ἓν γένος ἀνάγονται, τὸ καλεῖσθαι ζῶον.

Τὴν ὅλην θεαρχίαν) ὅλη θεαρχία, ἡ παναγία καὶ προσκυνητὴ τριάς. διὰ δὲ τὴν ἀνέκφραστον τῆς φύσεως ἕνωσιν, ὁ εἷς καὶ ἓν χρηματίζει.

Ὑφ' ἧς, καὶ ἐξ ἧς) τῷ ὑφ' ἧς σύνταξον τὸ ἔστι· καὶ τῷ ἐξ ἧς, τὸ συντέτακται· καὶ τῷ δι' ἧς, τὸ μένει· καὶ τῷ ἐν ᾗ, τὸ συνέχεται, ἤγουν φυλάττεται· καὶ τῷ εἰς ἥν, τὸ ἐπιστρέφεται, εἰ καὶ ὁ πατὴρ ἰδίως καὶ ὑφ' ἓν τὰ ῥήματα ἔταξε. καὶ τὸ πάντα δὲ, ἀπὸ κοινοῦ. καλῶς δὲ εἶπεν, ὅτι ἐὰν ἀνέλῃς τὸ ἕν, οὔτε ὁλότης, οὔτε πολλοστημόριον, οὔτε ἄλλο οὐδέν· τοῦτο γὰρ ᾐνίξατο καὶ ἄνω εἰπών, καὶ ἥμισυ ἕν, καὶ τρίτον, καὶ δέκατον, δηλονότι καὶ τὰ μόρια τοῦ ἑνὸς μετέχουσι.

Τὸ πάντων αἴτιον ἕν) οὐκ ἀπολύτως ἑνὶ παντὶ τὰ πάντα συνέστηκεν, ἀλλ' ἐκείνῳ μόνῳ τῷ ἑνί, καθ' ὃ ἕν, ὁ θεὸς καὶ εἷς, καὶ ἓν ὀνομάζεται. τούτῳ γὰρ μόνῳ τῷ ἑνὶ τὰ ὄντα ἐστίν· αὐτὸ γὰρ τὸ ὄνομα τὸ ἓν ὁ λέγων, κατ' ἀπόφασιν τοῦ πολλαπλοῦ τοῦτο σημαίνει· τὸ

νος· τὸ μέν τοι ἕν, αὐταρκὲς καὶ περιττόν ἐστι τῷ περιττὸς εἶναι πως ἔχειν· τὴν γὰρ ἐξ αὐτοῦ πολλῶν ἔννοιαν εἰσάγει. ταῦτα δὲ οὐκ ἐπιτήδεια ἐπὶ θεοῦ. τοιοῦτον δὲ ὂν μόνον τὸ ἕν, παντελῶς ἀπαθές, καὶ ἀδιαίρετον, καὶ αὐταρκέστατόν ἐστι· κατὰ γὰρ τὴν αὐτοῦ φύσιν ἑτέρῳ συμπλέκεσθαι οὐ πέφυκεν, ὥσπερ τὸ ἐν ἀριθμοῖς ἕν. ἀπωθεῖται γὰρ τὸ πλῆθος, καὶ πᾶσαν σύνθεσιν, καὶ διαίρεσιν αὐτὸ τὸ κυρίως ἕν, τὸ περὶ παντὸς ἑνός. τοῦτο γὰρ οὔτε μικρόν, οὔτε μέτριον καλεῖται. εἰ δὲ δεῖ τὸ τολμῆσαι, οὔτε καλόν, οὔτε ἀγαθόν· ταῦτα γὰρ πάθη πως, ἔτι εἰσὶ καὶ σχέσεις καὶ συμβεβηκότα. αὐτὸ δὲ τὸ ἓν καὶ ὑπὲρ πάντα νοεῖται. τὰ δὲ πάθη, ὡς τὸ μικρόν, καὶ μέτριον. καὶ σὺν ἄλλῳ νοοῦνται, καὶ οὔτε ἁπλᾶ διὰ τοῦτο, οὔτε στοιχειώδη. τὸ ἓν οὖν ὡς εἴρηται, ὥσπερ ἁπλοῦν καὶ ἀπαθές, μὴ ἔχον τὰ λεχθέντα, οὔτε ὡς γένος θετέον τῶν ὄντων· τὰ δὲ γένη πάντως διαιρεῖται εἰς τὰ εἴδη, ἀλλ' οὔτε σημεῖον, ἢ μονάδα κυρίως· σχέσιν γὰρ ἔχει ταῦτα πρὸς τὰ ἐφεξῆς. τὸ δέ, ἐστὶν ἁπλούστατον, τὸ οὔτε μίαν διαφορὰν ἔχον· οὔτε γὰρ κίνησίν τινα, καὶ στάσιν, ἔτι ἠρεμίαν ἔχει· ἀλλ' οὔτε ὂν θετέον αὐτὸ τὸ ἕν, ἀλλὰ ἀρχὴν ὄντος τὸ σπέρμα. τῷ δὲ ὄντι πλῆθος ἐξ ἀνάγκης παρέπεται, τῷ πλήθει τὸ ὂν προσγίνεται, ὅπερ οὐκ ἔστιν ἐπὶ θεοῦ. τὸ γὰρ ὄν, οὐσία ἐστίν, ἀπό τε εἶναι. ὁ δὲ θεός, καὶ ὑπερούσιος, καὶ ὑπὲρ τὸ ὄν, καὶ ἑνικῶς αὐτὸ τὸ ἐξαιρέτως καὶ ἀμιμήτως ὑπὲρ τὸ ἕν. ὁ γὰρ θεὸς τὰ πάντα ἐστὶ καὶ ὑπὲρ πάντα. θαυμασίως οὖν τὰ περὶ ἀριθμῶν φυσιολογήσας ἐπάγει, κἂν τριάς, κἂν μονὰς ὑμνῆται ἡ ὑπὲρ πάντα θεότης, οὔτε τριάς, οὔτε μονάς ἐστιν, ἡ παρ' ἡμῶν δι' ἀριθμῶν γνωριζομένη, ἢ παρ' ἑτέρου· ἀλλ' ὑπὲρ πάντα νοῦν καὶ ἔστι τὸ ὀνομάζεται ὁ θεός· διὰ γὰρ τὸ εἰπεῖν ὅπερ οὐκ ἔστι, νοοῦμεν ὅτι ἐστὶν ὁ θεός.

Καὶ αὐτὸ τὸ ἓν ὃν ὁρίζον, ὅτι καὶ ὑπὲρ τὸ ἕν, ὁ θεός, ὡς παν-

τα ὑπάρχων καὶ αὐτὸς τοῦ ἀριθμοῦ ποιητὴς καὶ ἐφευρετὴς ὑπάρχων.

Ἑνάριθμόν ἐστι) σημείωσαι ὅτι τὸ ἐνάριθμον, ἀριθμοῦ δηλωτὴν σημαίνει. ἐπὶ τῶν ὄντων τινῶν, τουτέστι τῶν κτισμάτων, τὸ ἓν ἀντιθέμενον κατὰ ἀριθμοῦ ἔννοιαν τίθεται.

Οὐκ ἔστιν οὐδὲ μονὰς) μὴ ἁπλῶς τὸ οὐκ ἔστι μονὰς, οὐδὲ τριὰς ἐξακούσῃς, ἀλλὰ πρὸς τὸ διεγνωσμένῃ σύνταξον τὸ οὐκ ἔστιν· οὐ γὰρ ἀναιρεῖν τὰ τῆς τοιαύτης ὁμολογίας, ἀλλὰ τὸ ἀνεξιχνίαστον ὁ λόγος διδάξαι βούλεται.

Καὶ τὸ θεογόνον ἀληθῶς) τὸ θεογόνον φησὶ δηλοῦσθαι ἐκ τῆς ὀνομασίας τῆς τριάδος· ἵνα γὰρ περιφράσῃ τῶν ἀνεκλαλήτων ὑποστάσεων ἡ προσκυνητὴ ἔκφανσις, ὁ ἀριθμὸς ἐπενοήθη, καθά φησι Βασίλειος καὶ οἱ θεῖοι Γρηγόριοι. γόνιμον δὲ τὸν πατέρα καταχρηστικῶς ὠνόμασεν, ἅτε καὶ προσκυνητοῦ υἱοῦ πατέρα, καὶ τοῦ συμπροσκυνητοῦ αὐτοῖς παναγίου πνεύματος πηγήν· γονιμότης οὖν, ἢ ἕτερόν τι ὄνομα τῶν συνεγνωσμένων ἀνθρώποις, ἢ καὶ αὐταῖς ταῖς νοηταῖς δυνάμεσιν· οὐκ ἂν παραστήσειε τρανῶς τὰ ὡς εἰσὶν ἐκ πάντων ἀποκεκρυμμένα τοῦ θεοῦ· πῶς γὰρ δυνατὸν ὀνομάσαι ἀπό τινος τῶν ὄντων τὸν θεόν, μήτε τι τῶν πάντων ὄντα, ἀλλὰ καὶ ὑπὲρ πάντα τὰ ὄντα.

Οὐδὲ ὄνομα αὐτῆς ἐστὶ) καλῶς ὁ θεῖος οὗτος ἀνὴρ λέγει, ὅτι οὐδὲ τὸ ὄνομα αὐτῆς ἐστὶν, οὐδὲ λόγος, ἀλλὰ ἐν ἀβάτοις ἐξῄρηται, οὐ τόποις, μὴ γένοιτο, ἀλλὰ λογισμοῖς καὶ ἐνθυμήσεσιν· ἄβατος γὰρ παντὶ νῷ καὶ ἐνθυμήσει ὁ περὶ θεοῦ λόγος. τὸ δὲ μήτε ὄνομα αὐτοῦ εἶ) καλῶς καὶ ἀπαραλλάκτως νόησον· τὰ γὰρ ὄντα πάντα. καὶ δι' ὀνομάτων, καὶ διὰ πραγμάτων γνωστικῶν σημαίνονται. ποῖον τοίνυν ὄνομα, ἢ πρᾶγμα δυνατὸν ἐπιθεῖναι τῷ θεῷ, τῷ ὑπὲρ πάντα τὰ ὄντα ἐξῃρημένῳ, καὶ τε-

Ministerio de Educación, Cultura y Deporte

ποιηκότι τὰ πάντα, καὶ αἰτίῳ τῶν πάντων· διὸ καὶ τὴν ἀγαθότητα αὐτήν, ἢ τὸ καλόν φησιν ὁ θεῖος οὗτος Διονύσιος μὴ κυρίως ἐφαρμόσαι αὐτὰ τῷ θεῷ, ἐπειδὴ καὶ ἐν τοῖς οὖσιν εὑρίσκονται ταῦτα· καὶ ἀνωτέρω οὕτως εὑρήσεις, ὅτι ταῦτα τὰ πάθη καὶ συμβεβηκότα λογίζονται ἐν τοῖς οὖσιν, ὅπερ οὐκ ἔστιν ἐπὶ θεοῦ τοῦ ὑπεραναβεβηκότος πάντων.

Ἀλλὰ πόθῳ τοῦ νοεῖν) σημείωσαι, ὡραῖον φησίν, ὅτι διὰ τὸ ὅλως νοεῖν τι, καὶ λέγειν περὶ θεοῦ, τῷ περὶ αὐτὸν πόθῳ κατεχόμενοι, τὸ τῆς ἀγαθότητος ὄνομα ἐπέβαλον τῷ θεῷ οἱ θεολόγοι, ἐπεὶ κυρίως καὶ ὑπεράγαθος, καὶ ὑπερούσιος ἐστὶν ὁ θεός· ἡ δὲ ἀγαθότης, ὥς φησιν οὗτος, σεμνότατον ὄνομα τῶν πάντων· αἱ δὲ ἀποφάσεις, ἤτοι ἀρνήσεις καὶ στερήσεις, ἐπὶ θεοῦ, οὐχ ἁπλῶς εἴρηνται τοῖς θεολόγοις· οὐ γὰρ ὡς λέγονται, νοοῦνται, ἀλλὰ ὑπεραναβεβηκότως θεωροῦνται· τὸ γὰρ ἀθάνατος, καὶ ἀόρατος, καὶ ἄφθαρτος, καὶ ἀνενδεής, καὶ ἀναμάρτητος, οὐκ ἄν τις σοφίας μετέχων, δημωδέστερον ὑπολάβοι· οὔτε ὅσα ἐπὶ θεοῦ τοιαῦτα λέγεται, ἀλλὰ τῶν δηλουμένων ἐξιστάμενος ἐπὶ τὰς σεσιγημένας καὶ θειοτέρας ἐννοίας ἀναβαίνει· διὸ καὶ θειοτέρας θεωνυμίας ἐφεξῆς αὐτὰς καλῶς προσαγορεύει· ἐξισταμένη γὰρ ἡ ψυχὴ τῶν σωματικῶν πασῶν αἰσθήσεων καὶ κοσμικῶν· ταῦτα γὰρ ἑαυτῇ ἐποίησε σύμφυλα· οὕτω συνάπτεται τῷ ἀκραιφνεῖ τῆς γνώσεως τοῦ θεοῦ, καθ' ὅσον δυνατόν ἐστιν ἀνθρωπίνῃ φύσει, ὡς καὶ ὁ ἀπόστολος αἰνίττεται λέγων, Καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα. καὶ πάλιν, Νῦν ὡς ἐν αἰνίγματι καὶ ἐν ἐσόπτρῳ ὁρῶμεν· τότε δέ, τὸ πρόσωπον πρὸς πρόσωπον ὀψόμεθα.

Τὸ τῶν ὀνομάτων σεπτότατον) σημείωσαι, ὅτι πάντων ὀνομάτων σεπτότατον ἡ ἀγαθότης· διὸ καὶ πρώτως τῷ θεῷ ἀφιέρωται.



Ministerio de Educación, Cultura y Deporte

Τῶν ἑαυτῇ συμφύλων) συμφύλων φησὶ, τῶν συμφυῶν, καὶ γνωρίμων, καὶ τῆς κλίσεως ἰδίων.

Τοῦτο γὰρ ἀληθῶς καὶ ἄγγελοι) ὅτι καὶ ἀγγέλοις τὰ περὶ θεοῦ ἀκατάληπτα, καὶ ὅτι καὶ ὁ κατώτατος τῶν ἀγγέλων μείζων πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ θεολόγων περὶ θεοῦ θεωρεῖ, οὐκοῦν καὶ τῶν ἀποστόλων.

Καὶ εἴ τι τῶν ὁμοδυνάμων) ὅτι κἂν ἕτεραι ὁμοδύναμοι θεωνυμίαι ἐν τῇ γραφῇ εὑρεθῶσι, χρὴ καὶ ταύτας κατὰ τὰς αὐτὰς ἐκφαντορικὰς μεθόδους προσυπακούειν.

Καὶ ὑμῖν, καὶ ἑτέροις ἱεροῖς ἀνδράσι) ὅτι οὐ πᾶσιν ἀζητήτως μεταδοτέον τῶν μυστικῶν, ἀλλὰ τοῖς ἱκανοῖς καὶ ἱεροῖς ἀνδράσιν· ὅπερ καὶ ὁ θεῖος Παῦλος τούτῳ τῷ ἱερῷ ἀνδρὶ Τιμοθέῳ γράφει.

Ἡμεῖς τι εἰπεῖν ἱκανοὶ) ταῦτα ἁγιοπρεπῶς μετριάζων φησὶν ὁ πατὴρ, ὡσαύτως καὶ τὰ ἑξῆς πάντα.

Ἐπὶ δὲ τὴν συμβολικὴν θεολογίαν) ὅτι θεολογίαν συμβολικὴν λέγει τέως μὴ φερομένην, ὡς καὶ ἐν ἄλλῳ κεφαλαίῳ φησίν. εἰ δὲ βούλει τὴν διαφορὰν εἰδέναι τῆς θεολογικῆς ὑποτυπώσεως καὶ τῆς συμβολικῆς θεολογίας, ἀνάγνωθι τὸ τέταρτον κεφάλαιον τοῦ περὶ μυστικῆς θεολογίας λόγου.

Ministerio de Educación, Cultura y Deporte

# ΜΑΞΙΜΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΜΥΣΤΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ ΣΧΟΛΙΑ.

## ΚΕΦΑΛΑΙΟΝ α.

ΕΝΘΑ τὰ ἁπλᾶ) ἁπλᾶ καὶ ἀπόλυτα εἰσὶ, τὰ δίχα συμβόλων νοούμενα καὶ ἐποπτευόμενα ὡς ἔχουσιν, οὐ μὴν παραβολικῶς ἀπόλυτα οὖν ἔφη, τὰ μὴ κατ' ἀνάπτυξιν ὀνομάτων ἢ συμβόλων λεγόμενα, ἀλλὰ τῇ ἐκ πάντων τῶν ὄντων καὶ τῇ τῶν νοήσεων ἀποπαύσει καὶ ἀπολύσει συναγόμενα, ἣν ἵνα ἀνενεργησίαν τῆς ἱερᾶς κινήσεως, ἐν μὲν τοῖς περὶ τούτου ἀνοησίαν ἐκάλεσεν. ἐνταῦθα δὲ, σκοτεινότατον γνόφον καὶ ἀόρατον κατὰ τὸν ψαλμῳδὸν, Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ.

Τοὺς ἀνομμάτους νόας) οὐ γὰρ αἰσθητῶν ὀφθαλμῶν εἰσὶ μεστοὶ, ἀλλ' ἔστιν αὐτῶν ἡ οὐσία, ἅτε ζῶν νοῦς, ὅλη ὀφθαλμὸς ὀξυδερκέστατος· ὅθεν καὶ πολυόμματοι λέγονται ἐν τῇ γραφῇ.

Καὶ τὰς αἰσθήσεις ἀπόλειπε) ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦται· τὰ γὰρ αἰσθητὰ αὐτὰ καλοῦσιν οἱ παλαιοὶ ὄντα, ἅτε μεταβολῆς ἁπάσης μετέχοντα, καὶ μὴ ὡσαύτως ἀεὶ ὄντα. τὰ δὲ νοητὰ, ὡς ἀεὶ ὄντα ἀθάνατα βουλήσει τοῦ ποιήσαντος, καὶ τὴν οὐσίαν μὴ μεταβάλλοντα λέγουσιν ὄντα. ταῦτα δὲ πολλάκις παρατεθείκαμεν ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ.

Υπὲρ πᾶσαν οὐσίαν) τὴν ἁπλότητα καὶ ὑπὲρ πᾶσαν ἑνά-



Ministerio de Educación, Cultura y Deporte

διά. πῶς δὲ ἀγνώστως ἀνατείνεταί τις πρὸς θεόν, καὶ ἐν τῷ περὶ θείων ὀνομάτων κεφαλαίῳ πέμπτῳ εἴρηται, καὶ ἐνταῦθα μετὰ βραχέα εὑρήσεις.

Ἀσχέτῳ καὶ ἀπολύτῳ) ἄσχετον ἔκστασιν φησί, τὴν ἀναχώρησιν πάσης σχέσεως, ἀντὶ τοῦ ἵνα μηδεμιᾷ κατέχοιτο σχέσει, μήτε πρὸς αὐτὸν, μήτε πρὸς τι τῶν κτισμάτων.

Σκότους ἀκτῖνα) καὶ ἐνταῦθα σκότος, τὴν παντελῆ ἀκαταληψίαν ἔφη.

Μηδεὶς τῶν ἀμυήτων) σημείωσαι, ὅτι ἀμυήτους φησὶ, τοὺς μὲν τῶν μυστικῶν ἀμετόχους, τοὺς δὲ αἰσθητοῖς ἐνειλουμένους, καὶ οὐδὲν ὑπὲρ τὰ ὄντα εἶναι φανταζομένους· ἀμέλει περὶ τῶν καθόλου ἀμυήτων εὐθὺς παρακαλῶν φησί. καὶ σημείωσαι, ὅτι ἄλλους τοὺς ἀμυήτους λέγει, καὶ ἄλλους τοὺς ἀμύστους, ἤγουν ἀμυσταγωγήτους.

Εἰ δὲ ὑπὲρ τούτους εἰσί) τὰ μὲν περὶ τούτων ἔφη, περὶ τῶν πιστευσάντων μὲν τῷ ὀνόματι τοῦ Χριστοῦ, μὴ μὴν ἐπὶ τὴν τελεωτέραν ἐλθόντων γνῶσιν, ἀλλὰ συμμετρούντων τῇ οἰκείᾳ δόξῃ τὴν ἀλήθειαν, καὶ μὴ εἰδότων διαφορὰν ὄντων κυρίως καὶ ὁμωνύμως ὄντων οὐσιῶν, καὶ αὐτοῦ τοῦ ὑπὲρ τὰ ὄντα, διὸ καὶ ὑπερουσίου. οἱ γὰρ τοιοῦτοι, ὡς ἀμύητοι, τῶν ὑψηλοτέρων ὑπολαμβάνουσι κατ' ἀλήθειαν σκότος εἶναι τὸ ἀφεγγὲς τοῦτο τὸ παρ' ἡμῖν σκίασμα καλύπτον τὸν θεὸν, καὶ ἀποκρύπτον αὐτὸν τῆς ἁπάντων θέας, ὅπερ ὡς ἀληθῶς νοσοῦσι πολλοὶ καὶ ἐν ἡμῖν, ἅτε μὴ γινώσκοντες τὸ ἀνυπέρβλητον φῶς πᾶσαν ὄψιν σκοτίζειν. εἰ οὖν εἰσί φησιν ἐν ἡμῖν τοιοῦτοι, τί ἂν εἴποιμεν περὶ εἰδωλολατρῶν τῶν παντάπασι πάντων μυστικῶν ἀμετόχων καὶ ξόανα τεθηπότων· κυρίως μὲν οὖν ὄντα, τὰ νοητά· ὁμωνύμως δὲ, τὰ αἰσθητά. τὸ δὲ ὑπὲρ τούτους, τοὺς πιστοὺς δηλονότι, τοὺς ἐν τοῖς φθαρτοῖς ἐνισχημένους.

Ministerio de Educación, Cultura y Deporte

Δέον ἐπὶ αὐτῇ) ὡς πάντα οὔσης θεοπρεπῶς καὶ μηδὲν οὔσης ὑπερουσίως· αὕτη γὰρ καὶ θέσις ἐστὶ καὶ ἀπόφασις, ἐπεὶ καὶ κυρίως ἀμφότερα ἐπὶ τῆς θείας λέγονται μεγαλειότητος. τί δὲ εἰσὶν αἱ ἀποφάσεις τῶν ἀφαιρέσεων καὶ αἱ καταφάσεις τῶν θέσεων, καὶ τί αἱ στερήσεις, καὶ ἐνταῦθα σαφηνίζεται, καὶ μάλιστα ἐν τῷ τρίτῳ κεφαλαίῳ καὶ ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ διαφόρως καὶ πλατέως παρεθέμεθα.

Ἀντικειμένας εἶναι) ὅτι ἐπὶ θεοῦ οὐκ ἀντίκεινται αἱ ἀποφάσεις ταῖς καταφάσεσιν· ὑπὲρ πᾶσαν γάρ ἐστιν ὁ θεὸς καὶ ἀφαίρεσιν καὶ θέσιν. ἀνάγνωθι καὶ ἐν τῷ περὶ τῆς οὐρανίας ἱεραρχίας μετ' ὀλίγον τῆς ἀρχῆς.

Οὕτω γοῦν ὁ θεῖος Βαρθολομαῖος) σημείωσαι καὶ ἐντεῦθεν τὸ ἄπλαστον τοῦ εἶναι ταῦτα τὰ θεῖα συντάγματα τοῦ μεγάλου Διονυσίου. πρὸς οἷς γὰρ ἐν τοῖς προτέροις λόγοις τινῶν τῶν συνόντων τοῖς ἀποστόλοις μνήμην χρήσεων ἐποιήσατο, νῦν παραπλησίως τοῦ θείου Βαρθολομαίου χρῆσιν ἄγει, ὡς δηλοῖ τὸ φησίν· εἰ γὰρ ἀγράφως ἦν διδάξας, εἰρήκει ἄν, ἔφη. σημείωσαι δέ, ὅτι τοῦ ἁγίου Βαρθολομαίου χρῆσιν προφέρει, πῶς πολλὴ καὶ ἐλαχίστη ἡ θεολογία.

Ὅτι καὶ πολυλόγος) πολυλόγος παροξυτόνως, ὁ πολλὰ λέγων· πολύλογος δὲ προπαροξυτόνως, ὁ πολλῶν λόγων δεόμενος· ὡς καὶ πρωτότοκος προπαροξυτόνως, ὁ πρώτως τεχθείς· πρωτοτόκος δὲ παροξυτόνως, ἡ πρώτως τεκοῦσα γυνή, ὡς καὶ Ὅμηρος.

» Πρωτοτόκος κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο.

Ὡς οὔτε λόγον) δηλαδὴ τῆς οἰκείας φύσεως παραστατικόν, ἐν τοῖς ἔξωθεν· ὁμοίως καὶ περὶ νοήσεως νοητέον.

Πάντα θεῖα φῶτα καὶ ἤχους) ἤχους καὶ λόγους οὐρανίους φησί, τὰ περὶ θεοῦ ἐν ταῖς γραφαῖς εἰρημένα, ὡς μὴ κατὰ τὴν



Ministerio de Educación, Cultura y Deporte

ἀνθρωπίνην καὶ γηΐνην ἐπίνοιαν, ἀλλὰ κατὰ θείαν ἐπίπνοιαν λεχθέντα καὶ παραδοθέντα.

Ο θεῖος μωσῆς) σημείωσαι, πῶς διεξέρχεται τὰ περὶ μωσέως, ὅτι ἐν τῷ ὄρει ἀνελθὼν καὶ εἰσελθὼν εἰς τὸν γνόφον, εἶδεν, ὡς ἐφικτὸν ἀνθρώπῳ, τὸν θεόν. σημείωσαι καὶ τὴν τάξιν τῶν τελεσθέντων ἐπὶ μωσεῖ, πρὶν ἀξιωθῆναι εἰσελθεῖν εἰς τὸν θεῖον γνόφον.

Αλλὰ τὸν τόπον οὗ ἔστι) τίς ὁ τόπος, ἐν ᾧ ἔστιν ὁ θεὸς ἐπὶ μωϋσέως, καὶ τίνες εἰσὶν ἀκρότητες νοητῶν, καὶ τίνες ὁρατῶν, ἐν τῷ περὶ τῆς ἐν οὐρανοῖς ἱεραρχίας εἰς τὸ τέλος τοῦ πρώτου κεφαλαίου διεξήλθομεν.

Υποθετικούς) ὑποθετικοὺς λόγους φησὶ, τοὺς ὑποχαφικοὺς, ἢ ὡς θεωρητικοὺς τῶν ὄντων, ἅπερ ὑποβεβλημένα ἐφη τῷ θεῷ εἶναι· δι' αὐτῶν γὰρ, ἤγουν τῆς τούτων διαμονῆς, καὶ συντηρήσεως, τοῖς πᾶσιν αὐτὸν παρεῖναι διδασκόμεθα, οὐ μεταβατικῶς, ἀλλὰ προνοητικῶς. νοητὰς δὲ ἀκρότητας, τὰς οὐρανίας καὶ νοερὰς οὐσίας, τὰς περὶ θεὸν οὔσας καλεῖ, ἃς καὶ τόπους αὐτοῦ ἁγιωτάτους ὠνόμασεν· ὧν καὶ αὐτῶν ὑπέρκειται, ἢ ὡς ἀπολύεται, κατὰ μηδὲν αὐτοῖς ὅλως προσοικιώς.

Καὶ τότε καὶ αὐτῶν ἀπολύεται) τὴν κατὰ σύνθεσιν τοῦ ῥητοῦ ἐξήγησιν οὕτω νοητέον, ὅτι ὁ μωϋσῆς θεωρήσας τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς, καὶ τότε ἀπολυθεὶς τῶν τε ὁρωμένων, τουτέστιν αἰσθητῶν ἁπάντων· καὶ τῶν ὁρώντων· ἀντὶ τοῦ λογικῶν ἁπάντων, νοητῶν τε φημὶ καὶ νοερῶν οὐσιῶν, μεθ' ὧν καὶ τῶν ἡμετέρων ψυχῶν τινῶν καὶ αὐτὰ εἰς τὸν γνόφον εἰσῆλθε, τουτέστιν εἰς τὴν περὶ θεοῦ ἀγνωσίαν, ἔνθα πάσας ἀπομύσας τὰς γνωστικὰς ἀντιλήψεις ἐγένετο ἐν τῷ ἀναφεῖ τῷ νῷ καὶ ἀοράτῳ, πασῶν ἀντιλήψεων γνωστικῶν τοῦ πέρα πάντων θεοῦ, καὶ ἑνωθεὶς διὰ τοῦ τοιούτου τρόπου τῇ ἀγνωσίᾳ καὶ ἀνενεργησίᾳ, οὐ λέγω τῇ περὶ

Ministerio de Educación, Cultura y Deporte

αὐτοῦ ἀνενεργησίᾳ τοῦ ἰδίου νοῦ, οὔτε τῇ ἑτέρου ἀνενεργησίᾳ ἐν τῷ μήτε αὐτὸν, μήτε ἕτερόν τι νοεῖν, ἀλλ' ἑνωθεὶς τῷ παντελῶς ἀγνώστῳ πάσης γνώσεως τῶν πάντων ἐπέκεινα, τότε τῇ ἀγνοίᾳ τὸ πᾶν ἔγνω. σημείωσαι δὲ, ὡς γνόφον τὴν ἀγνωσίαν ἐνόησε. πῶς δι' ἀγνωσίας ὁ θεὸς γινώσκεται, καὶ ὧδέ φησι, καὶ ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ, πλατύτερον διεξήλθομεν ἐν κεφαλαίῳ β. χρὴ δὲ εἰδέναι, ὡς ἐν τῇ ἐξόδῳ ἔνθα γέγραπται, ὅτι εἰσῆλθε μωϋσῆς εἰς τὸν γνόφον οὗ ἦν ὁ θεός· τὸ μὲν ἑβραϊκὸν ἔχει ἀραφέλ· οἱ δὲ ἑβδομήκοντα, καὶ ἀκύλας, καὶ θεοδοτίων τὸ ἀραφὲλ, γνόφον ἐξέδωκαν. σύμμαχος μέντοι ὁμίχλην τὸ ἀραφὲλ ἡρμήνευσεν. ὁ δὲ ἑβραῖος λέγει τὸ ἀραφὲλ, ὄνομα εἶναι στερεώματος εἰς ὃ ἔφθασε μωϋσῆς· ἑπτὰ γὰρ στερεώματά φασιν, ἃ καὶ οὐρανοὺς καλοῦσι, καὶ τὰ ὀνόματα λέγουσιν ὧν μνημονεῦσαι νῦν οὐκ ἀναγκαῖον. ἀνέγνων δὲ τοῦτο ἑπτὰ οὐρανοὺς εἶναι ἐν τῇ συγγεγραμμένῃ ἀρίστωνι τῷ πελλαίῳ διαλέξει παπίσκου καὶ ἰάσονος, ἣν κλήμης ὁ ἀλεξανδρεὺς ἐν ἕκτῳ βιβλίῳ τῶν ὑποτυπώσεων, τὸν ἅγιον λουκᾶν φησὶν ἀναγράψαι. ὅμως τὸ περὶ τοῦ γνόφου, εἰς τὴν θείαν ἀγνωσίαν θεωρούμενον, θειότερον πεφιλοσόφηται καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ ἐν τῇ πέμπτῃ δὲ, τελείως περὶ τούτου γράφει.

Τῆς πάσης γνώσεως ἀνενεργησίᾳ) σημείωσαι ὅτι τῇ πάσης γνώσεως ἀνενεργησίᾳ, τῷ ἀγνώστῳ ἑνούμεθα.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ϛ.

ΚΑΤΑ τοῦτον ἡμεῖς) καὶ ἐνταῦθα περὶ θείου γνόφου καὶ τῆς ἀγνωσίας λέγει. καὶ σημείωσαι, ὅτι τοῦτό ἐστι τὸ ὑπὸ τὸν θεῖον γνόφον γενέσθαι, τὸ δι' ἀβλεψίας καὶ ἀγνωσίας ἰδεῖν καὶ γνῶναι τὸ ὑπὲρ θέαν καὶ γνῶσιν, κατ' αὐτὸ τὸ μὴ ἰδεῖν μηδὲ γνῶναι· τοῦτο γάρ ἐστι φησί, τὸ ὄντως ἰδεῖν καὶ γνῶναι· οὐδαμοῦ δὲ οὕτως ἐμφανίζει τὴν ἐν ἀγνωσίᾳ γνῶσιν. ἀνάγνωθι δὲ καὶ τὴν ε. πρὸς Δωρόθεον ἐπιστολήν.

Διὰ τῆς πάντων τῶν ὄντων) τουτέστι, διὰ τοῦ μηδὲν τῶν ὄντων προσφυὲς αὐτῷ νοεῖν· τοῦτο γὰρ ἀφαίρεσιν ὠνόμασεν. αὐτοφυὲς δὲ ἄγαλμα φησίν, ὃ γίνεται ἐν ὕλῃ ἀτμήτῳ, οἷον ἐν πέτρᾳ ὁλοκλήρῳ, ἐν ὅσῳ ἕστηκεν, ὅτε γλύψει τις ζῶόν τι, ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν ἀνδρομέδᾳ,

» Παρθένου τ' εἰκόνα τινὰ
» Ἐξ αὐτομόρφων λαΐνων τειχισμάτων,
» Σοφῆς ἄγαλμα χειρός. αὐτόμορφον γὰρ ἄγαλμα τῆς πέτρας, τὸ αὐτοφυὲς εἶπεν. ἀλλὰ καὶ ὅταν μέρος τι τοῦ δένδρου γλύψῃ ἑστῶτος καὶ ἀνθοῦντος, καὶ μέρος κλίνης ποιήσῃ, ὅπερ ὥς φησιν ὅμηρος ἐν ὀδυσσείᾳ ἐποίησεν ὁ ὀδυσσεύς· ἢ καὶ ἐν τῷ τοιούτῳ δένδρῳ ἔγλυψε τρόπαιον νίκης. φησὶ δὲ καὶ τιμίας λίθου ἀγάλματα, οἷον ὅτε ἡ σμάραγδος ἀποκαθαρθεῖσα τοῦ περιέχοντος κώδους, αὐτὴν ἀναφαίνει ἄγαλμα, τουτέστιν ἀγλάϊσμα, πρὸς ὃ μάλιστα νῦν βλέπων εἶπε τὸ προκείμενον, ὡς διονύσιος ὁ ποιητὴς ἐν β. λιθικῶν,

» Τῆς βαθυχλοάοντος ἰάσπιδος, ἢ ἀμεθύσου
» Πορφυρόεντος ἄγαλμα, μελαγκρατὴς ὑάκινθος. τοῦ-

Ministerio de Educación, Cultura y Deporte

πα γὰρ πάντα δείκνυσι τὸ πολυμαθὲς τοῦ ἁγίου τούτου ἀνδρός.

Χρὴ δὲ ὡς οἶμαι, τὰς ἀφαιρέσεις) τὸ παρὸν χωρίον, ἐν τοῖς ἑξῆς αὐτὸς ὁ πατὴρ σαφηνίζει. θέσεις μὲν οὖν εἰσὶν, ὅσα οἰκείως ἐπὶ θεοῦ λέγεται, οἷον τὸ ὢν, τὸ ζωὴ, τὸ φῶς, καὶ τὰ ἄλλα. ἀφαιρέσεις δὲ, ὅσα ὡς ἀλλότρια θεοῦ ἀποφάσκεται· οἷον, ὅτι οὐ σῶμα ὁ θεὸς, οὐ ψυχὴ, οὐδέ τι τῶν γνωστῶν, ἢ τῇ νοήσει ὑποπιπτόντων. Ἄλλως. Τί εἰσὶ θέσεις καὶ αἱ ἀφαιρέσεις, ἐν τῷ περὶ θείων ὀνομάτων λόγῳ διαφόρως ἔγνωμεν.

Ἐν πᾶσι τοῖς οὖσιν) αἱ τῶν ὄντων γνώσεις φησὶ, τὸ περὶ θεοῦ ἄγνωστον οὐκ ἐκκαλύπτουσι, καὶ εἰς φανέρωσιν ἄγουσιν· ἀλλὰ μᾶλλον συγκαλύπτουσι καὶ ἀποκρύπτουσι· τὸ δὲ ἐν τοῖς οὖσι φῶς ὑποληπτέον τὸ γνῶναι τὰ ὄντα ᾗ ὄντα ἐστὶ, καθὼς καὶ ἐν τοῖς ἑξῆς εὑρίσκομεν.

## ΚΕΦΑΛ. γ.

ΠΩΣ ἡ θεία καὶ ἀγαθὴ φύσις) τί περιέχει ὁ λόγος τῶν θεολογικῶν ὑποτυπώσεων. ἰδοὺ θεολογίας ὑποθῆκαι καὶ ἀφορμαὶ, πάσης ἐχόμεναι θείας καὶ πεφωτισμένης γνώσεως καὶ ὀρθοδοξίας· τὸ εἰδέναι, πῶς ἑνικὴ ἡ θεία φύσις, οἱ νεώτεροι πατέρες τὶ ἓν ὁμοούσιον προσεῖπον· πῶς τριαδικὴ, ὃ φαμὲν τρισυπόστατον, καὶ τὸ εἰδέναι τῶν προσώπων τὰς ἰδιότητας, καὶ τί δηλοῦσιν· οἷον πατρότητα, καὶ υἱότητα· καὶ τίς ἡ τοῦ θείου πνεύματος ἁγιαστικὴ δύναμις καὶ θεολογία, καὶ πῶς εἴρηται τὸ, Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· καὶ πῶς περὶ τοῦ προσκυνητοῦ πνεύματος εἴρηται, Ὃ γὰρ ἐκ τοῦ πατρὸς ἐκπορεύεται· καὶ πῶς ἐν τῷ πατρὶ, καὶ ἐν αὐτοῖς, καὶ ἐν ἀλλήλοις, ὁ υἱὸς, καὶ τὸ

πνεῦμα συναϊδίως καὶ ἀχρόνως καὶ ἀδιαιρέτως ἐν μονῇ εἰσὶν ἀνεκφοιτήτῳ. δεῖ δὲ εἰδέναι, ὅτι μονὴ καὶ στάσις ταὐτόν εἰσι· κίνησις δὲ, ἕτερον ἐπὶ τῆς μονῆς. φησὶν οὖν, ὅτι καὶ ἐν μονῇ ἀκινήτῳ ἀεὶ οὖσα ἡ θεία φύσις, δοκεῖ κινεῖσθαι ἐν τῇ ἐν ἀλλήλοις χωρήσει.

Καὶ τῆς ἐν αὐτῷ καὶ ἐν ἑαυτοῖς) οὕτως ὁ νοῦς τῶν εἰρημένων, συναΐδιος φησὶν, ἡ ὕπαρξις τῆς ἁγίας τριάδος, καὶ οὐχ ἑτέρως μὲν ὑπῆρξεν, ἑτέρως δὲ μετὰ ταῦτα κατέστη ἢ χωρισμόν τινα ἢ μεταβολὴν ἔσχηκεν, ἀλλὰ ἅμα καὶ κατὰ ταὐτόν, τό, τε ἐκ τοῦ πατρὸς εἶναι τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐ μετ' αὐτόν.

Πῶς ὁ ὑπερούσιος ἰησοῦς) σημείωσαι κατὰ νεστοριανῶν καὶ ἀκεφάλων.

Πῶς ἀγαθὸς) τί περιέχει ὁ περὶ θείων ὀνομάτων λόγος.

Καὶ γὰρ ἐχρῆν) διὰ τί αἱ θεολογικαὶ ὑποτυπώσεις, καὶ ὁ περὶ θείων ὀνομάτων λόγος, ὀλιγόστιχοί εἰσι μᾶλλον ἢ ἡ συμβολικὴ θεολογία.

Τῆς συμβολικῆς) τῶν τρόπων τὰ τῆς συμβολικῆς θεολογίας φησί.

Ταῖς συνόψεσι τῶν νοητῶν) συνόψεις τῶν νοητῶν, τὰς τῇ ἀΰλῳ αὐτῶν ἁπλότητι πρεπούσας θεωρίας ἐκάλεσε. τὸ δὲ περιστέλλονται, ἀντὶ τοῦ συστέλλονται τέθεικεν.

Ἀλλ' ἀλογίαν παντελῆ) ἀλογίαν φησὶ, τὸ μὴ δύνασθαι λόγῳ παραστῆσαι τὰ ὑπὲρ λόγον. καὶ ἀνοησίαν οὖν τὸ ἀνεννόητον, καὶ ὃ μὴ δύναταί τις νοῆσαι, ὡς ὑπὲρ νοῦν.

Κἀκεῖ μὲν, ἀπὸ τοῦ ἄνω) ἐπειδὴ τὰ νοητὰ καὶ ὑπὲρ νοῦν τοῦ θεοῦ ἑνάδες εἰσὶ, καὶ ἓν ὁ θεὸς, μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἓν εἰκότως συνέσταλται, ἅτε καὶ ἀμερὲς καὶ ἀπλήθυντον. τὰ δὲ μετὰ θεὸν, ὅσῳ μᾶλλον κάτεισιν ἐπὶ τὰ αἰσθητὰ, τοσούτῳ μᾶλλον ὁμιλοῦντα τοῖς μερικοῖς, καὶ σκεδαστοῖς, καὶ πεπληθυσμένοις συμπλη-

Ministerio de Educación, Cultura y Deporte

θύεται αὐτοῖς πρὸς τὸν μερισμόν, καὶ τὸ πολυειδὲς τῶν αἰσθητῶν. πρὸς τὰ ἔσχατα δέ, τουτέστιν ἀπὸ τῆς θεολογικῆς ὑποτυπώσεως.

Ἀπὸ τοῦ προτίστου) προτίστου φησὶ τοῦ μᾶλλον οἰκειοτέρου καὶ τῇ ἐννοίᾳ προεισβάλλοντος, οἷον ὅτι ὢν ὁ θεός, ὅπερ ἑαυτὸν ὠνόμασεν.

Ὅτι τὸ ὑπὲρ πᾶσαν) πῶς δεῖ κεχρῆσθαι ταῖς θέσεσι καὶ ταῖς ἀφαιρέσεσιν ἐπὶ θεοῦ· καὶ ὅτι, τὰς μὲν θέσεις ἀπὸ τοῦ προτίστου καὶ μᾶλλον συγγενοῦς τῷ θεῷ ποιούμεθα· τὰς δὲ ἀφαιρέσεις, ἀπὸ τῶν ἐσχάτων, καὶ μᾶλλον αὐτοῦ διεστηκότων.

Τὴν ὑποθετικὴν κατάφασιν) κατάφασις ἐστὶ λόγος ἀποφαντικός, ἢ τοῦ καθόλου, ἢ τοῦ μαχομένου, ἢ συμπλεκομένου τινός, ἢ συγκρινομένου, οἷον ὁ θεὸς ζωὴ ἐστίν, ὁ θεὸς ἀγαθότης ἐστίν· ὑποθετικὴ δὲ ἐστὶ λόγος ἀποφαντικός, ἢ τοῦ καθόλου, ἢ μαχομένου τινός, ἢ συμπλεκομένου δηλωτικός. ἡ οὖν ὑποθετικὴ κατάφασις ἐπὶ θεοῦ, ὅτι ὁ θεὸς ζωὴ ἐστὶ καὶ ἀγαθότης μᾶλλον ἢ ἀήρ, καὶ λίθος· αἱ δὲ ἀφαιρέσεις κατὰ ἀπόφασιν λέγονται ἐναντίως τῇ θέσει· ἡ μὲν γὰρ θέσις, κατὰ ὑποθετικὴν ὡς εἴρηται κατάφασιν λέγεται, ὅτι ζωὴ ὁ θεός, ἢ ἀήρ· ἡ δὲ ἀποφατικὴ ἀφαίρεσις, οὐ μεθύσκεται ὁ θεός, οὐκ ὀργίζεται· καὶ ἐπὶ τῶν θέσεων ἐκ τῶν συγγενεστέρων ἀρχόμεθα· οἰκειότερον γὰρ θεῷ ζωή, καὶ ἀγαθότης μᾶλλον ἢ ἀήρ, καὶ λίθος. ἐπὶ δὲ τῶν ἀφαιρέσεων καὶ τῶν ἐσχάτων ἀνίμεν, οἷον τὸ μὴ λόγῳ δηλοῦσθαι τὸν θεόν, καὶ τὸ μὴ νοεῖσθαι, οἰκειότερον μᾶλλον τῷ θεῷ, ἢ τὸ μὴ κραιπαλᾶν, μηδὲ ὀργίζεσθαι, καὶ ὅλως ἐκ τοῦ δευτέρου τῆς ἀφαιρέσεως ἀρχόμεθα οἷον, οὐ μεθύει μᾶλλον ὁ θεός, ἢ οὐ λέγεται· καὶ οὐ μηνιᾷ μᾶλλον ὁ θεός, ἢ οὐ νοεῖται. κραιπάλη μὲν οὖν ἐστίν, ἡ πολλὴ καὶ σφοδροτάτη μέθη, οἱονεὶ καρηπάλη τις οὖσα, ὅ ἐστιν ἡ τὸ κάρα, ἤτοι τὴν

κεφαλὴν πάλλουσα καὶ πάνυ κινοῦσα. μῆνις δὲ, οὐχ ἡ τυχοῦσα ὀργὴ, ἀλλ' ἡ ἐπίμονος. ἀπὸ γοῦν τῶν αἰσθητῶν ἀνιόντας ἐπὶ τὰ νοητὰ, πάσας ταύτας τὰς ἀσωμάτοις ἀφαιρέσεις μὴ ταπεινῶς νοεῖν χρὴ, ἀλλ' ἐφ' ἑκάστῳ τῶν εἰρημένων περισυνακούειν, ὅπερ αὐτὸς ὁ μακάριος Διονύσιος εἶπεν· οὐδὲν γάρ ἐστιν ὁ θεὸς τῶν εἰρημένων, ὧν ἡμεῖς γινώσκομεν, ἢ νοοῦμεν· ἀλλ' οὔτε ὧν γινώσκουσιν αἱ νοηταὶ δυνάμεις πᾶσαι· πάντα γὰρ τὰ εἰρημένα, καθάπαξ ἐκ θεοῦ εἰσὶ καὶ αὐτοῦ δωρεαί. καὶ πῶς αὐτὸς ἐξ αὐτῶν ὁ προνοούμενος αὐτῶν κυρίως· πάντα δὲ διαφόρως διεξήλθομεν ἐν τῷ περὶ θείων ὀνομάτων· πάντα γὰρ ταῦτα, ὡς συμβεβηκότα, καὶ ἐν οὐσίαις τῶν μετὰ θεόν. ὁ δὲ θεὸς καὶ ὑπὲρ οὐσίαν, καὶ τούτων αἴτιος, οὐκοῦν καὶ ὑπὲρ αὐτά. Ἄλλως. Ζωὴ καὶ ἀγαθότης, κατάφασις, ἤτοι θέσις, οὐ κραιπάλῃ οὐδὲ μηνίᾳ. ἰδοὺ ἀπόφασις, ἤτοι ἀφαίρεσις.

Ἢ ἀὴρ καὶ λίθος) ἀὴρ μὲν, κατὰ τὸ ἐν βασιλείαις εἰρημένον, ἐν αὔρᾳ λεπτῇ. λίθον δὲ ὁ προφήτης εἶπε. τούτων οὖν οἰκειότερον μᾶλλον θέσεις καὶ δηλώσεις ἐπὶ θεοῦ ἡ ζωὴ καὶ ἡ ἀγαθότης. ὥσπερ οὖν καὶ ἐκ τῆς ἀφαιρέσεως ἐπὶ τοῦ ἐναντίου, οἷον τὸ κραιπαλᾶν καὶ μηνιᾶν, πόρρω θεοῦ καὶ ἀλλότρια. τὸ δὲ μήτε λέγεσθαι μᾶλλον πρέπον θεῷ καὶ ἐγγυτέρω, διὰ τὸ ὑπὲρ πάντα νοῦν τε καὶ λόγον.

## ΚΕΦΑΛ. δ.

ΟΥΔΕ ἐν τούτῳ ἐστὶν) ἀναγκαίως ὁ πατὴρ διὰ τούτων προσησφαλίσατο τὸν ἀκροατὴν, ὥστε μὴ ταῖς ἑξῆς ἀποφάσεσιν οἴεσθαι ὅλως μὴ εἶναι τὸ θεῖον· ἀλλ' ἐν τούτοις μὲν, τὸ εἶναι αὐτὸ ὑπέθετο· ἐν ἐκείνοις δὲ, τὸ κατὰ μηδὲν τῶν ὄντων εἶναι, ἀλλ' ὑπερούσιον.

Ministerio de Educación, Cultura y Deporte

## ΚΕΦΑΛ. ε.

ΩΣ οὔτε ψυχή ἐστιν, οὔτε νοῦς) διαφέρει ταῦτα ἀλλήλων, ὡς ἐν τοῖς ἀνωτέρω δεδήλωται· φαντασία, δόξα, λόγος, νόησις, ἃ κατὰ τὸν νοῦν θεωρεῖται. προσυπινοητέον δέ, τὸ κατὰ τὸν ἡμέτερον λόγον μὴ ἔχειν λόγον, ὁμοίως καὶ νόησιν κατὰ τὴν ἐν τοῖς νοεροῖς κτίσμασι· καὶ τὰ ἑξῆς δὲ οὕτως ἐκδέχεσθαι χρή [illegible]λως. Καὶ ἐπὶ τούτων ὁμοίως τὸ ὡς ἡμᾶς εἰδέναι θετέον· τῶν μετ᾽ αὐτὴν ἤγουν δηλαδὴ τὴν θείαν φύσιν, τουτέστι τῶν κτισμάτων τὰς θέσεις ποιεῖσθαι φησὶν ἐν τῷ λέγειν ζωὴν ἢ φῶς κατὰ τὰ ἐν τοῖς γεννητοῖς θεωρούμενα, ἐξ ὧν τὸν ταῦτα ὑποστήσαντα ἐννοοῦμεν, καὶ οὐ τῆς αὐτοῦ φύσεως, διὰ τούτων θέσιν τινὰ εἰσάγομεν, καὶ πάλιν ἀφαίρεσιν ποιοῦμεν τῷ κατὰ μηδὲν τούτων εἶναι λέγειν τὸ θεῖον.

Οὐδὲ ἕν, οὐδὲ ἑνότης) διαφέρουσιν ἀλλήλων. ἓν καὶ ἑνότης· τὸ μὲν γάρ, δηλοῖ τὸ ὑποκείμενον· τὸ δέ, τὴν τοιαύτην ποιότητα, ὥσπερ λευκὸν καὶ λευκότης, ἀγαθὸν καὶ ἀγαθότης. σημείωσαι δέ, ὅτι οὔτε ἡ θεότης οὐσία ἐστὶ τοῦ θεοῦ, ὥσπερ οὐδὲ ἕν τι τῶν εἰρημένων, οὐδὲ τῶν ἐναντίων αὐτοῖς· διὸ οὐδὲν αὐτῶν ἐστίν· οὐ γάρ ἐστι ταῦτα οὐσία αὐτοῦ, ἀλλὰ δόξα περὶ αὐτόν. οὕτω καὶ Σέξτος ὁ ἐκκλησιαστικὸς φιλόσοφος εἶπε, καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῷ τρίτῳ τῶν θεολογικῶν αὐτοῦ, ὡς οὔτε ἡ θεότης, οὔτε τὸ ἀγέννητον, οὔτε ἡ πατρότης οὐσίαν σημαίνουσι θεοῦ.

Οὐδὲ θεότης, ἢ ἀγαθότης) σημείωσαι δέ, καὶ ὅτι οὐδὲ πνεῦμά ἐστιν, ὡς ἡμᾶς εἰδέναι, οὔτε υἱότης οὔτε πατρότης· καὶ τὸ ὡς ἡμᾶς εἰδέναι, ἐπὶ πάσης τῆς ἐν τοῖς προκειμένοις ἀποφάσεως λάβε. δηλοῖ δὲ τὸ κατὰ τὴν ἡμετέραν εἴδησιν.

Ministerio de Educación, Cultura y Deporte

Οὐδὲ τὰ ὄντα αὐτὴν γινώσκει) μή σε ταραττέτω τὸ κεφάλαιον τοῦτο, καὶ νομίσῃς βλασφημεῖν τὸν θεῖον τοῦτον ἄνδρα· σκοπὸς γὰρ αὐτῷ δεῖξαι τὸν θεὸν μηδὲν τῶν ὄντων ὄντα, ἀλλ᾽ ὑπὲρ τὰ ὄντα· εἰ γὰρ τὰ πάντα αὐτὸς δημιουργήσας παρήγαγε, πῶς ἔχει εὑρεθῆναι ἕν τι τῶν ὄντων· εἴπε γὰρ, ὅτι οὐδὲ τὰ ὄντα γινώσκει τὸν πάντων αἴτιον θεόν. τοῦτο δὲ ἀπώλεια σαφὴς, τὸ μὴ γινώσκειν θεόν· ἀλλὰ τὰ ἑξῆς αὐτὸ ἐσαφήνισεν, εἰπὼν ᾗ αὐτός ἐστι, τουτέστιν, οὐδὲν τῶν ὄντων γινώσκει θεὸν, καθ᾽ ὃ αὐτός ἐστιν, ἀντὶ τοῦ τὴν ἀνεννόητον καὶ ὑπερούσιον οὐσίαν αὐτοῦ, ἢ ὕπαρξιν καθ᾽ ἣν ὑπάρχει· εἴρηται γὰρ, Οὐδεὶς γινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός. καὶ ἐκ τοῦ ἐναντίου ἐπάγει ὁ μέγας Διονύσιος, καὶ φησὶν, οὐδὲ αὐτὸς ὁ θεὸς γινώσκει τὰ ὄντα ᾗ ὄντα ἐστὶ, τουτέστιν οὐκ οἶδεν ἐπιβάλλειν τοῖς αἰσθητοῖς αἰσθητῶς, ἢ ταῖς οὐσίαις ὡς οὐσίαις· ἀνοίκειον γὰρ τοῦτο θεῷ· οἱ γὰρ ἄνθρωποι τὰ αἰσθητὰ, ἢ διὰ θέας, ἢ γεύσεως, ἢ ἁφῆς νοοῦμεν τί εἰσί· τὰ δὲ νοητὰ ἀπὸ μαθήσεως, ἢ διδασκαλίας, ἢ ἐλλάμψεως καταλαμβανόμεθα. ὁ δὲ θεὸς οὐδὲ ἐξ ἑνὸς τρόπου τοιούτου οἶδε τὰ ὄντα, ἀλλὰ γνῶσιν ἔχει τὴν αὐτῷ πρέπουσαν· τοῦτο γὰρ αἰνίττεται τὸ ῥητὸν τὸ λέγον, Ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, ὅπερ δηλοῖ ὅτι οὐ κατὰ τὸν λόγον τῆς γενέσεως τῶν ὄντων οἶδεν αὐτὰ ὁ θεὸς, ἀλλὰ καθ᾽ ἕτερον γνώσεως τρόπον. οἱ ἄγγελοι δὲ γνωστικῶς αὐτὰ καὶ ἀΰλως γινώσκουσιν, οὐχ ὡς ἡμεῖς αἰσθητῶς. οὕτως οὖν καὶ ὁ θεὸς ἀσυγκρίτως καὶ ὑπεραναβεβηκότως, οὐ μὴν ταῖς οὐσίαις ἐπιβάλλων οἶδε τὰ ὄντα. Ἄλλως. Τὰ ὄντα, ἤγουν τὰ κτίσματα ὑπὲρ τὴν ἑαυτῶν φύσιν ἐκτανθῆναι ταῖς νοήσεσιν οὐ δύναται. εἰκότως οὖν εἰς ἑαυτὰ βλέποντα ἀγνοεῖ τὴν θείαν φύσιν, καθ᾽ ὃ αὐτή ἐστιν. οὕτως οὖν καὶ ἡ θεία φύσις ἑαυτὴν βλέπουσα, οὐκ οἶδεν



Ministerio de Educación, Cultura y Deporte

θεν ἐν ἑαυτῷ εἶναι τὰ ὄντα κατὰ τὸν τῆς οὐσίας λόγον· τοῦτο γὰρ ἐδήλωσεν εἰπών, ᾗ ὄντα ἐστίν, ἐπειδὴ ὑπὲρ πάντα τὰ ὄντα καὶ αὐτὸ τὸ εἶναι κέκληται ὑπερουσίως· ἑτέρως γὰρ οὐκ ἄν τις εἴποι ἀγνοεῖν τὸν θεὸν τὰ ἑαυτοῦ κτίσματα. Εἰς τὸ αὐτό. Ὅτι οὐδεὶς γινώσκει τὴν ἀρχαίτιον τριάδα, καθ᾽ ὅ αὐτή ἐστιν, αὐτή τε δέ, οὐδέν ἐστιν ὡς αὐτή, ἵνα καὶ γινώσκῃ αὐτὴν ὡς αὐτή ἐστιν· ἡμεῖς μὲν γὰρ γινώσκομεν, ὅτι ἐστὶν ἀνθρωπίνως, ἐπειδὴ ἄνθρωποι ἐσμέν· τὴν γὰρ ὕπαρξιν τῆς ἀρχαιτίου τριάδος, οὐκ ἴσμεν τί ἐστιν· οὐ γὰρ ἐσμὲν ἐκ τῆς οὐσίας αὐτῆς· οὕτως οὐδὲ ὁ θεὸς εἶδε τὰ ὄντα ᾗ ἐστί, καθὼς ἡμεῖς· οὐ γάρ ἐστί τι τῶν ὄντων ἢ κατ᾽ αὐτά· καὶ γὰρ αὐτὸς πνεῦμα ὁ θεός, καὶ τὸ ἅγιον μέντοι πνεῦμα οὕτως ὠνόμασται, ἀλλ᾽ ἔστι πνεῦμα οὐ γνώριμον ἡμῖν, ἢ ἀγγέλοις. Τί δὲ ἀνωτέρω εἰπών, οὐκ ἔστι φῶς, οὐδὲ ἀλήθεια, ὑποκαταβὰς πάλιν λέγει, οὐκ ἔστι σκότος, οὐδὲ φῶς, οὐδὲ πλάνη, οὐδὲ ἀλήθεια. δυνατὸν οὖν ἐπιχειροῦντα εἰπεῖν, ὅτι τὸ μὲν πρότερον περὶ τοῦ ἀπολύτως φωτὸς λέγει, οὐδὲ πλάνη ὡς ἐν οὐσίαις τῶν ἀγγέλων καὶ ἀλήθειαν τὴν αὐταπολελυμένως καὶ ἀναιτίως ἀλήθειαν· τὰ δὲ ἐφεξῆς, ὅτι οὔτε τῶν πρός τι, οὐδὲ ἐκ σκότους μεταβάλλων φῶς, ὥσπερ εἰ ἐκ τοῦ δυνάμει φωτὸς εἰς τὸ ἐνεργείᾳ φῶς μεταβάλλων ἐκ τῶν ἀντιθετικῶν εἰς ἄλληλα φῶς καὶ σκότος· οὔτε γὰρ γνόφος ἐστίν, οὔτε πολὺ φῶς· οὕτως οὔτε ἐκ τοῦ ἐναντίου ἐκ τοῦ κατὰ δύναμιν πλάνην εἶναι εἰς ἀλήθειαν ἐνεργείᾳ μετέβαλε· πάντα γὰρ ταῦτα, δεύτερα αὐτοῦ, ἐξ αὐτοῦ προνοητικῶς ἐκφοιτήσαντα. οὐδὲν οὖν ἐστι τῶν ἐξ αὐτοῦ.



Ministerio de Educación, Cultura y Deporte

# ΕΙΣ ΤΑΣ ΤΟΥ ΑΥΤΟΥ ἐπιστολὰς σχόλια.

## ΓΑΙΩ ΘΕΡΑΠΕΥΤΗ. α.

Ἐπιβάλλω γαΐον τοῦτον εἶναι, ᾧ τὴν τρίτην ἐπιστολὴν ἔγραψεν ὁ θεῖος εὐαγγελιστὴς ἰωάννης, τεκμαιρόμενος καὶ ἐκ τῶν χρόνων, οἷς συγγέγονε μετὰ τῶν ἀποστόλων ὁ θεῖος οὗτος ἀνήρ. θεραπευτὰς δὲ ἔφη καλεῖσθαι ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας κεφαλαίῳ ϛ. τοὺς μοναχοὺς, εἰπὼν ἐκεῖ καὶ πῶς καθίστανται μὴ ὄντες κληρικοὶ, ἀλλὰ ἀνώτεροι τοῦ λαοῦ. τούτοις δὲ ἔοικε θαυμάζειν φίλων ὁ ἰουδαῖος ἐν τῷ περὶ θεωρητικοῦ, ἢ ἱκετῶν συντάγματι, θεραπευτὰς αὐτοὺς καλῶν, καὶ τὴν δίαιταν αὐτῶν διηγούμενος. περὶ ὀλίγου τοῦ τέλους τοῦ βιβλίου τούτου, ἀνάγνωθι τὰ τοῦ αὐτοῦ φίλωνος.

Ἀλλὰ μὴ κατὰ στέρησιν τοῦτο φησὶ, μὴ κατὰ τὰς κοινὰς ἐννοίας ὑπολάβῃς, ὅτι ὥσπερ τὸ σκότος λύεται φωτὶ, καὶ μάλιστα πολλῷ, ἢ ὥσπερ ἡ ἀγνωσία, ἥτις καὶ αὐτὴ σκότος ἐστὶ, παύεται γνώσεων, καὶ μάλιστα πολλῶν ἐπιγινομένων· οὕτω καὶ ἡ κατὰ θεὸν ἀγνωσία, ἔοικε τῇ κατὰ ἀμαθίαν ἀγνωσίᾳ ὡς ἔφημεν, ἀλλ' ὅσῳ φωτίζεταί τις περὶ θεοῦ, καὶ ὅσῳ τις συνάγει γνῶσιν τῶν ὄντων, τουτέστι τὴν περὶ τῶν νοητῶν καὶ νοερῶν, τοσούτῳ μᾶλλον ἀναβαίνων περὶ τὴν γνῶσιν, τὴν περὶ θεὸν γνώσεται τὴν ἀκαταληψίαν, ἤτοι τὴν ἀγνωσίαν τὴν περὶ θεὸν

Ministerio de Educación, Cultura y Deporte

φῶς εἶναι, καὶ γνῶσιν ὑπὲρ πάντα τὰ γνωσθέντα· καὶ λοιπὸν σιγῇ τιμᾷ τὴν περὶ θεὸν ἀφασίαν. οὐκοῦν οὐ κατὰ στέρησιν γνώσεως λέγεται ἡ περὶ θεοῦ ἀγνωσία, ἀλλὰ καθ' ὑπεροχὴν καὶ ὑπερβολὴν γνώσεως. ὅτι ἔγνω τις τὸν πάντῃ καὶ ἑαυτῷ ἄγνωστον καὶ ἀκατάληπτον. ταῦτα καὶ ἐν τῷ περὶ μυστικῆς θεολογίας κεφαλαίῳ α. εἴρηται, καὶ ἐν τῷ περὶ θείων ὀνομάτων κεφαλαίῳ β.

Ἀλλά τι τῶν αὐτοῦ τῶν ὄντων) ὅσον τις ἔχει φησί, τῶν ὄντων τὴν γνῶσιν, καὶ τὸ ὂν φῶς, τουτέστι τῆς ἀληθείας τὴν νόησιν, τοσοῦτον τὰ περὶ θεοῦ ὄψεται ἄγνωστα· οὐ γὰρ τῷ φωτί, ἢ τῇ γνώσει φανεροῦνται, ἀλλὰ μᾶλλον τοὺς ταῦτα ἔχοντας λανθάνει· καὶ ἡ ἐν τούτοις ἐπίδοσίς τε καὶ αὔξησις, τῷ φωτί φημι, καὶ τῇ γνώσει τὸ θεῖον δείκνυσι ἀθέατόν τε καὶ ἄγνωστον, ὅτι ὁ θεὸν θεασάμενος καὶ νοήσας ὃ εἶδεν, αὐτὸν μὲν οὐχ ἑώρακεν, ἀλλά τι τῶν αὐτοῦ τῶν ὄντων καὶ γινωσκομένων.

Αὐτῷ τῷ καθόλου) προσεπινοεῖν δεῖ καὶ ἐπὶ τούτοις τὸ κατὰ τὰ ὄντα καὶ γινωσκόμενα. τὸ δὲ μὴ εἶναι πρόσκειται, ἐπειδὴ τὸ ἐστὶ τῶν κτιστῶν ἐστίν· ὁ δὲ θεὸς καὶ ὑπὲρ τὸ εἶναι, διότι ἄκτιστος.

## ΤΩ ΑΥΤΩ β.

Πως ὁ πάντων ἐπέκεινα) ταῦτα πολλάκις μὲν καὶ ἐν τῷ περὶ θείων ὀνομάτων διαφόρως εἴρηται· κατ' ἐξαίρετον δὲ αὐτὰ ἡρμήνευσεν ἐν αὐτῷ τῷ λόγῳ κεφαλαίῳ ιε. περὶ τὸ τέλος, λέγων, πῶς ὁ πάντων αἴτιος, καὶ θεότης καὶ ἀγαθότης καὶ θεότητος ὑποστάτης, καὶ ὑπὲρ ταῦτα. οὕτω δὲ ἀναγνωστέον, ἐρωτᾶς πῶς ὁ θεὸς ὑπὲρ θεότητος ἀρχήν· εἶτα ἀποκρι-

νεται, εἰ νοήσεις, ὅτι θεότης αὐτὸ τὸ ἐκ θεοῦ δῶρόν ἐστι καθ' ὃ θεούμεθα, οὐ μὴν αὐτὸς ὁ θεὸς ἔχει τὴν λύσιν· ὁ γὰρ θεὸς, αὐτό φημι καὶ ὑπερούσιος οὐσία ὑπὲρ τὴν παρ' αὐτοῦ δωρουμένην καὶ χαριζομένην θεαρχίαν, τουτέστι θέωσιν ἐστὶ, καὶ τὰ ἑξῆς ὁμοίως. εἶτα λοιπὸν συλλογίζεται, φάσκων ὅτι, εἰ τὸ ἐκ θεοῦ δῶρον ἀρχὴ γίνεται τοῦ θεοῦσθαι ἡμᾶς, δῆλον ὅτι πάσης ἀρχῆς αἴτιος καὶ ἀρχὴ ὤν, μᾶλλον δὲ, ὑπεράρχιος. οὕτω καὶ τῆς λεγομένης θεότητος, ἢ ὡς θεαρχίας ἐπέκεινα ἐστίν· ὁ μὲν γὰρ θεὸς, οὐ κατὰ σχέσιν ὡς ἡμεῖς, κλᾶται τὸ ἀγαθὸν, ἀλλ' ἀσχέτως ἔχει· ἡμεῖς δὲ σχετῶς· τρεπτοὶ γάρ, ἐκεῖνος δὲ ἄτρεπτος.

Εἰ θεότητα καὶ ἀγαθότητα) οὐκ αὐτὴν φησὶ τὴν κατ' οὐσίαν θεότητα καὶ ἀγαθότητα, ὅτι ποτέ ἐστι λέγω, ἀλλὰ τὴν ἀγαθοποιὸν καὶ θεοποιὸν δωρεὰν τοῦ ὄντος θεοῦ καὶ ἀγαθοῦ· τοῦτο γὰρ ἡ ἀρχὴ καὶ αἰτία τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι, καὶ κατὰ τοῦτον τὸν τρόπον φησὶ λέγεσθαι ὑπὲρ θεαρχίαν καὶ ἀγαθαρχίαν τὴν οὕτω δηλαδὴ νοουμένην. σημείωσαι δὲ καὶ ἐντεῦθεν, ὅτι ἡ θεότης καὶ ἡ ἀγαθότης, ἡ αὐτουσία ἐστὶ τοῦ θεοῦ· καὶ γὰρ καὶ τοῦτο ἐπέκεινα ὁ θεός, ἐν τῷ περὶ θείων ὀνομάτων κεφαλαίῳ ια. πλατύτερον εἴρηται.

Ἀμίμητος καὶ ἄσχετος) ὁ κατὰ σχέσιν οὐκ ἔχων τι, ἀλλ' ἐξ ἑαυτοῦ μίμησις καὶ σχέσις αὐτὰ τὰ πράγματα. μετέχοντες δὲ καὶ μιμούμενοι, περὶ οἷς ταῦτα ὁρῶνται. ἀμίμητον δὲ καὶ ἄσχετον ἔφη τὸ θεῖον, ὅτι ὅσῳ τις πρὸς μίμησιν καὶ σχέσιν θεοῦ προκόπτει, τοσοῦτον καταλαμβάνει τὸ ἀνέφικτον τῆς μιμήσεως καὶ σχέσεως.

Ministerio de Educación, Cultura y Deporte

## ΤΩ ΑΥΤΩ. γ̄.

Ἐξαίφνης ἐστὶ τὸ παρ' ἐλπίδα) ἐφίστημι, ὡς ὅτι μᾶλλον ἐκεῖνο τὸ προφητικὸν τοῦ ιβ̄. προφήτου, ἠρώτησεν ὁ γάϊος, τὸ ἔχον, Καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ ὁ κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς ἐπιποθεῖτε. ἔδοξε δέ μοι τοῦτο ἠρωτῆσθαι ἐκ τοῦ ἐπαγαγεῖν, τοῦτο οἶμαι τὴν θεολογίαν αἰνίττεσθαι, θαυμασίως ἐνταῦθα θεολογεῖ τὰ περὶ τοῦ κυρίου ἰησοῦ χριστοῦ. σημείωσαι δὲ πῶς ἐτυμολογεῖ τὸ ἐξαίφνης. σημείωσαι καὶ τὸ ἀνθρωπίνως οὐσιωθῆναι χριστόν.

Κρύφιος δέ ἐστι) τὸ κρύφιος, πολλάκις ἀντὶ τοῦ θεός, εἶπε, καὶ κρυφιότητα, τὴν θεότητα, ὡς ἐν τοῖς ἄνω λόγοις. τὸ κρύφιος οὖν ἐνταῦθα ἀντὶ τοῦ ὁ θεὸς εἴρηται, ὡς ἀόρατος.

## ΤΩ ΑΥΤΩ. δ̄.

Πῶς, φὴς, ἰησοῦς) ἐπερωτᾷς φησί, πῶς τοῦτο. σημείωσαι δὲ τὸ ἐνθάδε, τουτέστιν ἐν τῇ οἰκονομίᾳ, ἐπεὶ δίχα ταύτης, καὶ ὡς αἴτιος ἀνθρώπων, λέγεται ἄνθρωπος, ὡς ποιητὴς ἀνθρώπων.

Οὐ γὰρ ὡς αἴτιος ἀνθρώπων) τοῦτο φησὶ καὶ ἀφρικανὸς ἐν ταῖς χρονογραφίαις. λέγεται γὰρ ὁμωνύμως ὁ θεὸς πᾶσι τοῖς ἐξ αὐτοῦ, ἐπειδὴ ἐν πᾶσιν ἐστίν. ἐν δὲ τῇ οἰκονομίᾳ ὡς κατὰ τὴν οὐσίαν ὅλην οὐσιωθεὶς ἄνθρωπος λέγεται, κατὰ τὸ εἰρημένον, Ἐν ᾧ κατοικεῖ πᾶν τῆς θεότητος τὸ



Ministerio de Educación, Cultura y Deporte

πλήρωμα σωματικῶς. πᾶσαν δὲ λέξιν τῆς ἐπιστολῆς σημειώσαι· ἔστι γὰρ κατὰ πάσης αἱρέσεως πρεσβυτέρας τε καὶ νεωτέρας.

Ἡμεῖς δὲ τὸν Ἰησοῦν) οὐ διὰ τὸ ἀνθρώπινον φησὶ τοῦ Χριστοῦ, αὐτὸν ἀφορίζομεν, ἤγουν ὑπὲρ ἄνθρωπον λέγομεν, ὡς ξένον τοῦτο κατὰ τὸν τῆς οὐσίας λόγον τοῦ κοινοῦ τῆς φύσεως ὁριζόμενοι· ἀλλὰ περιδήλως κατὰ τὸν τῆς θεότητος λόγον· ἐπήγαγε γὰρ, οὐδὲ γὰρ ἄνθρωπος μόνος, ἀλλὰ καὶ θεός. εἰ καὶ ὅλην οὐσίαν ἀνθρώπου ἀνέλαβε φησὶν, ἀλλ' οὐ διαιροῦμεν αὐτὸν ἀπὸ τῆς θεότητος· ἐπάγει γὰρ, οὐ γὰρ ἄνθρωπος μόνον. εἶτα τοῦτο εἰπὼν ἐπιφέρει, οὐδὲ ὑπερούσιος μόνον, καθ' ὃ καὶ ἄνθρωπος.

Ὑπὲρ ἀνθρώποις) ὑπὲρ ἀνθρώποις μὲν, διὰ τὸ ἐκ παρθένου· κατ' ἀνθρώποις δὲ, διὰ τὸν ἐν μήτρᾳ χρόνον, ἢ ὡς τοῖς νόμοις τῆς κυήσεως. ἐκ τῆς ἀνθρώπων δὲ οὐσίας, ὅτι ὡς αὐτὸς ὁ ἅγιος πατὴρ ἔφη, ἐκ τῶν παρθενικῶν αἱμάτων τὸ ἅγιον σῶμα Χριστοῦ.

Ὑπὲρ οὐσίαν οὐσιωθῆ) καὶ μετὰ τὴν ἐνανθρώπησιν, ὑπερουσιότητα ὠνόμασε τὴν θεότητα· τὸ δὲ ταύτης ὑπερούσιον, τὸ ὑπερβάλλον τῆς οὐσίας, καὶ σοφίας, καὶ δυνάμεως.

Καὶ ὑπὲρ ἄνθρωπον) ἀνθρώπου μὲν, τὸ ἐκ γυναικός· ὑπὲρ ἄνθρωπον δὲ, τὸ ἐκ παρθένου. σημειώσαι δὲ, ὅτι γήϊνον τὸ σῶμα τοῦ Χριστοῦ, καὶ οὐχὶ οὐράνιον, ὡς τινες ᾠήθησαν.

Δύναμιν ὑπεροχικῆς) ἰδοὺ καὶ ἐνταῦθα ὑπεροχικῶς εἶπε πρὸς ἀντιδιαστολὴν τῶν κατὰ στέρησιν λαμβανομένων. εὐθὺς δὲ διὰ τῶν ἐπαγομένων ἑαυτὸν ἑρμηνεύει. τί δὲ ἐστι κατάφασις, εἴπομεν ἄνω ἐν τῷ περὶ μυστικῆς θεολογίας, κεφαλαίῳ γ. πῶς δὲ ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ αἱ καταφάσεις δύναμιν ἔχουσι, ὑπερεχούσης ἀποφάσεως, τὰ κατὰ ἀνθρώποις ἐξηγεῖται· εἰ γὰρ καταφάσκομεν Χριστοῦ λέγοντες

Ministerio de Educación, Cultura y Deporte

ἄνθρωπον εἶναι, τὸ ἐκ παρθένου μηδὲν κατ' οὐσίαν ἡμῖν, ἀλλὰ κεκρυμμένην ἔχει καὶ ὑπὲρ νοῦν τὴν τῆς ἀποφάσεως δύναμιν· ἐρεῖ γὰρ ὁ ἀκούων, οὐκ ἄνθρωπος, ἐπειδὴ ἐκ παρθένου, ἀλλ' ὑπὲρ ἄνθρωπον, εἰ τὸ κατὰ τὰ ἄνω ἄνθρωπος· ἐξηγεῖται δὲ καὶ οὕτω, φάσκων, ὅτι τὸ λέγειν αὐτὸν ἄνθρωπον καταφατικῶς, οὕτω δηλοῖ, οὐκ εἶναι αὐτὸν ἄνθρωπον ἀποφατικῶς, ἀλλ' ὑπὲρ ἄνθρωπον, δηλονότι διὰ τὰ σημεῖα τὰ γινόμενα παρ' αὐτοῦ.

Οὐ κατὰ θεὸν τὰ θεῖα δράσας, οὐ κατὰ θεὸν μὲν δρᾶσαι τὰ θεῖα λέγει τὸν Χριστὸν, ὅτι μετὰ σαρκὸς, καὶ οὐ γυμνῇ τῇ θεότητι· ὅμως δὲ οὖν θεῖα, οὔτε τὰ ἀνθρώπινα κατ' ἄνθρωπον· ἐν ἐξουσίᾳ γὰρ θεϊκῇ, ὅτε ἐβούλετο, διδοὺς καιρὸν τῇ σαρκὶ τὰ ἑαυτῆς ἐργεῖν· ὅμως δὲ οὖν ἀνθρώπινα. τὸ δὲ ἀνδρωθέντος, δηλοῖ τὸ ἐνανθρωπήσαντος. ἡ δὲ θεανδρικὴ ἐνέργεια σημαίνει θείαν καὶ ἀνθρωπίνην· οὕτω γὰρ ἡμῖν, ἤγουν δι' ἡμᾶς, ἐπὶ γῆς δηλαδὴ, πεπολιτευμένος, ἔδρασεν ὡς πρόκειται τὰ θεῖα καὶ τὰ ἀνθρώπινα. σημείωσαι δὲ τὴν ὑπερφυῆ τὸ ἀφαίρετον τοῦ κυρίου ἕνωσιν, ὅτι οὐ κατὰ θεὸν τὰ θεῖα ἔδρασεν· ἦν γὰρ ἄνθρωπος, οὔτε κατὰ ἄνθρωπον τὰ ἀνθρώπινα· ἦν γὰρ καὶ θεός· ὅθεν θαυμαστῶς ὁ θεῖος Γρηγόριος ὁ θεολόγος φησὶ, κιρναμένων ὡς περὶ τῶν φύσεων, οὕτω δὴ καὶ τῶν κλήσεων καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας. πῶς δὲ οὐ κατὰ θεὸν τὰ θεῖα ἔργα πεποίηκε, δηλοῖ τὸ σωματικῶς ποσὶν ἐπὶ θαλάσσης βαδίσαι· θεοῦ μὲν γὰρ τὸ συμπιλῆσαι ὕδωρ, οὐ θεοῦ δὲ τὸ σαρκικοῖς ποσὶ περιπατῆσαι· οὐδὲ θεότητος σὰρξ ποδῶν καὶ ὀστᾶ. θεοῦ πάλιν παρθένον τὸ κύειν ποιῆσαι, ἀλλ' οὐ θεότητος τὸ διαμεμορφῶσθαι ὀστᾶ καὶ τοῖς λοιποῖς ἀνθρωπίνοις μέλεσιν. οὕτω καὶ ἐκ τοῦ ἐναντίου τὰ αὐτά· οὐ γὰρ κατὰ ἄνθρωπον τὰ ἀνθρώπων ἐποίησεν· ἄνθρωπος μὲν γὰρ ἦν ἐκ τῆς παρθένου, ἀλλ' οὐ κατὰ ἄνθρωπον τοῦτο· ποῖος γὰρ ἄνθρωπος ἐκ παρθένου. πάλιν τὸ ποσὶ βαδί-



Ministerio de Educación, Cultura y Deporte

ζειν, ἀνθρώπου δεῖ· τὸ δὲ ἐπὶ ὕδατος, οὐκ ἀνθρώπου· ποῖος γὰρ ἄνθρωπος τοῦτο πεποίηκε.

Καινήν τινα) μηδεὶς εἰς μωρολογίαν τραπεὶς, λεγέτω, ὅτι θεανδρίτην τὸν κύριον Ἰησοῦν φησίν· οὐ γὰρ θεανδριτικὴν εἶπεν, ἀπὸ τοῦ ὁ θεανδρίτης σχηματίσας, ἀλλὰ θεανδρικὴν ἐνέργειαν, οἷον θεοῦ καὶ ἀνδρὸς συμπεπλεγμένην ἐνέργειαν· ὅθεν καὶ ἀνδρωθέντα φησὶ θεὸν, ἀντὶ τοῦ θεὸν ἄνδρα γενόμενον. νῦν δὲ τὴν μικτὴν ἐνέργειαν μόνην θεανδρικὴν ἐκάλεσεν· ἐνήργησε μὲν γὰρ ὡς θεὸς μόνον, ὅτε ἀπὼν τὸν τοῦ ἑκατοντάρχου παῖδα ἰάσατο· ὡς ἄνθρωπος δὲ μόνον, εἰ καὶ θεὸς ἦν, ἐν τῷ ἐσθίειν καὶ λυπεῖσθαι. μικτῶς δὲ ἐνήργησε τὰ θαύματα, τυφλοῖς ὀφθαλμοὺς διὰ πτύσεως δημιουργῶν, καὶ τῆς αἱμορρούσης τῇ ἁφῇ συστέλλων τὴν ῥύσιν.

## ΔΩΡΟΘΕΩ ΛΕΙΤΟΥΡΓῼ. ε.

ΕΝ τούτῳ γίνεται) τὸ εἰρημένον ἐνταῦθα τῷ πατρὶ, λάβε μοι ἀπὸ ὑποδείγματος τοῦ κατὰ τὸν σωματικὸν ὀφθαλμόν· ὥσπερ γὰρ τοῦ φωτὸς ἀπουσία, ἀνενεργησίαν τῶν ὀπτικῶν δυνάμεων ἐργαζομένη, τοῦτο καὶ ἡ πρὸς ἥλιον ἐν μεσημβρίᾳ ἀτενὴς ἀπόβλεψις ἀποτελεῖ.

Ministerio de Educación, Cultura y Deporte

## ΤΩ ΣΩΠΑΤΡΩ ΙΕΡΕΙ. ς.

ΔΥΝΑΤΟΝ γὰρ καὶ) δυνατόν φησι τὸν ἐν πολλοῖς περιφανὲς ψεῦδος ἐλέγχοντα αὐτὸν διαμαρτάνειν τοῦ ἀληθοῦς, ὅπερ ἕν ἐστι· μία γάρ ἐστιν ἡ ἀλήθεια. κρύφιον δέ, διὰ τὸ μυστικὸν τῶν δογμάτων, καὶ πολλῆς ἐρεύνης μετὰ τῆς θείας δεόμενον χάριτος, οἷ νεστόρειος τὰ ἀρείου καὶ ἀπολιναρίου διασείων· ἢ ἕτεροι τοιοῦτοι ὁμοίων ἑτέρων εἰς ἑτέρας ἀτόπους αἱρέσεις ἐνέπεσον. μηδεὶς δὲ ἐκ τούτων παρακρουέσθω ἀποβάλλεσθαι τὰ κατὰ τῶν ἑτεροδόξων πονήματα τῶν πατέρων· οὐ γὰρ τοῦτο φησί, τὸ μὴ ἐλέγχειν καὶ ἀνατρέπειν τὰς τῶν ἀσεβῶν δόξας· ἐπεὶ πῶς αὐτὸς ἐν τῷ περὶ θείων ὀνομάτων φαίνεται τὰ τοῦ ἐλύμα διασαλεύων· ἀλλ' ὅτι οὐ χρὴ κατὰ προηγούμενον λόγον εἰς τοῦτο ἀσχολεῖσθαι τὸ καθ' ἑτέρων λέγειν, ἀλλὰ διδασκαλικῶς τὸν τῆς ἀληθείας ἐκτίθεσθαι λόγον ἠκριβωμένως· τῇ ἀντιρρήσει δὲ κατὰ περίστασιν τῆς τῶν ἀσεβῶν ἐπαναστάσεως χρῆσθαι.

Ἄλλως. Ὅτι οὐ δεῖ τὰς τῶν ἑτέρων δόξας διαβάλλειν, ἀλλὰ τὴν ἰδίαν κρατύνειν. ἀλλ' οὐδὲ κατὰ δόξης ἢ θρησκείας οὐκ ἀγαθῆς φαινομένης γράφειν, ἀλλ' ὑπὲρ ἀληθείας. πῶς δὲ τοῦτο φησίν, ἡ ἑξῆς ἐπιστολὴ σαφηνίζει.

Ὑπὲρ ἀληθείας) σημείωσαι δὲ, διὰ τὸ ὑπὲρ ἀληθείας μόνον συγγραπτέον, οὐ μὴν καθ' ἑτέρων.

Ministerio de Educación, Cultura y Deporte

## ΠΟΛΥΚΑΡΠΩ ΙΕΡΑΡΧΗ. ζ.

Ο ΑΓΙΟΣ οὗτος πολύκαρπος σμύρνης τῆς ἐν ἀσίᾳ γέγονεν ἐπίσκοπος, ἀκροατὴς γενόμενος τοῦ ἁγίου ἰωάννου τοῦ εὐαγγελιστοῦ, ὥς φησιν εἰρηναῖος ἐν τῷ τετάρτῳ βιβλίῳ τῷ κατὰ τῆς ψευδωνύμου γνώσεως· καὶ μαρτυρείῳ δὲ ἐτελειώθη διὰ πυρός. ἔχει δὲ καὶ ἐπιστολὰς ὁ αὐτὸς θεῖος πολύκαρπος πρὸς φιλιππησίους· περιέχει δὲ ἡ τοῦ μακαρίου διονυσίου αὕτη ἐπιστολὴ πολλὰ θαυμαστὰ καὶ ξένα ἐπὶ τῇ κατὰ τὸν σταυρὸν τοῦ χριστοῦ ἡλιακῇ ἐκλείψει.

Ἐξελεγχθήσεται) κατὰ κοινοῦ τὸ ἐξελεγχθήσεται· οὕτω γὰρ καὶ ἡ σύνταξις.

Τὸν σοφιστὴν ἀπολλοφάνη) περὶ ἀπολλοφάνους τοῦ σοφιστοῦ, ἑταίρου γεγονότος τοῦ μεγάλου διονυσίου, καὶ λοιδοροῦντος αὐτὸν, ὡς χριστιανὸν γενόμενον, καὶ καθ' ἑλλήνων λέγοντα.

Καὶ οὐ τὴν τῶν πονῶν) τὸ ῥητὸν οὕτω συντακτέον, καὶ οὐ τὴν τῶν πολλῶν ἔγωγε λέγω δόξαν, τῶν προσύλως καὶ ἐμπαθῶς ἐναπομενόντων τοῖς τῶν ποιητῶν λόγοις ἢ πάθεσι.

Τῇ γὰρ τῶν ὄντων γνώσει) τῶν ὄντων γνῶσιν ἐκάλεσε, τὸ ἐπιτετηρημένον τῆς κινήσεως τῶν οὐρανίων, καὶ τὴν θεωρίαν τῶν ἄλλων τῆς κτίσεως μερῶν, κατὰ τὸν ἕνα τῶν τῆς σοφίας ὅρων τὸν λέγοντα, γνῶναι τὰ ὄντα ᾗ ὄντα ἐστί. τοῦ δὲ ἀποστόλου ἡ φωνή, τὸ εἰπεῖν ἐν τῇ α. πρὸς κορινθίους, Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος, διὰ τῆς σοφίας τὸν θεόν, τουτέστι τῆς ἐμφαινομένης τῷ ἐναρμονίῳ καὶ τεταγμένῳ τῆς κτίσεως, τοῦτο συνῆκε. σημείωσαι οὖν, ὅτι ἡ τῶν ὄντων γνῶσις, φιλοσοφία λέγεται· καὶ ἣν καλεῖ ὁ ἀπόστολος ἐν τῇ α. τῇ πρὸς

Ministerio de Educación, Cultura y Deporte

κορινθίοις, σοφίαν θεοῦ.

Ἔδει συνιδεῖν τὸν Ἀπολλοφάνη) ἀπὸ τῶν παρ' ἕλλησιν ὁμολογουμένων τὴν διάταξιν τοῦ πάντων αἰτίου θεοῦ παρατίθεται φήσας, ἐκ τούτου ἄξιον ἐπιγνῶναι τὸν πάντων ὁροθέτην θεόν, ἐκ τοῦ τὸν ἥλιον καὶ τὴν σελήνην τοὺς διατεταγμένους τῆς ἡμέρας ἔχειν ὅρους, καὶ τῷ παντὶ τοῦ οὐρανοῦ κύκλῳ συμπεριθέειν, τουτέστιν ἐξ ἀνατολῶν ἐπὶ δυσμὰς, εἴτε μὴ συμπεριφέροιντο τῷ περιέχοντι αὐτοὺς οὐρανῷ, τοῦ μὲν οὐρανοῦ καὶ τῆς ἀπλανοῦς τῶν ἀκινήτων ἀστέρων σφαίρας, ἀπὸ ἀνατολῶν εἰς δυσμὰς κυκλικῶς στρεφομένων· αὐτῶν δὲ ἡλίου καὶ σελήνης, τὴν ἐναντίαν τῷ παντὶ τρεχόντων, ἐκ δυσμῶν εἰς ἀνατολάς. καὶ οὕτω μάλιστα γνωρίζεσθαι καὶ θαυμάζεσθαι δίκαιος ὁ τοῦ παντὸς δημιουργὸς καὶ διατάκτης θεός. Ταῦτα ἡρμηνεύσαμεν κατὰ Ἀπολλοφάνην τὸν λέγοντα, μὴ σὺν τῷ ἡλίῳ καὶ τὸν οὐρανὸν ἑστάναι τότε, ἐπεὶ ἐν τῇ περὶ ταύτης περιγραφῇ τὸ ἀκριβὲς περιειρήκαμεν.

Ὅταν ἥλιος ὑπ' αὐτοῦ) Τὰ τοῦ ἰησοῦ τοῦ ναυῆ, ἐν τούτοις παρατίθεται· καὶ ἀναμιμνήσκει τὸν ἅγιον πολύκαρπον τῆς ἱστορίας τοιαύτης, ἵνα ταύτην αἰτηθῇ τῷ Ἀπολλοφάνει. φησὶν οὖν, εἰπὲ αὐτῷ, μάθε πῶς ὁ θεὸς τὸν ἥλιον καὶ τὴν σελήνην κατὰ διάμετρον ὄντας, τότε ἀντικρὺ ἀλλήλων, δυομένου ἤδη τοῦ ἡλίου, ἔστησεν ἐπὶ τόπου τοὺς φωστῆρας, στάσιν τινὰ κατὰ δύναμιν τινὰ ἄφατον τοῦ αἰτίου αὐτῶν θεοῦ· καὶ ἔστη τὸ πᾶν ἀκίνητον μετὰ τῶν δύο φωστήρων· οὔτε γὰρ οὐρανός, οὔτε οἱ λοιποὶ ἀστέρες περιεπόλουν, ἀλλὰ συνειστήκεισαν τοῖς δύο φωστῆρσιν ἀκίνητοι, καὶ οὔτε ἐπὶ ὀλίγον ὁ δρόμος τοῦ παντὸς, καὶ ἡ κίνησις ἔστη μόνον, ἀλλ' ἐφ' ἡμέραν ὁλόκληρον, ὡς γενέσθαι ἐπὶ ἰησοῦ τοῦ ναυῆ ἡμέραν διπλῆν, κδ. ὡρῶν, ὡς σαφῶς τοῦτο φησὶν ἰησοῦς, ὁ τοῦ σιρὰχ ἐν τῷ ὕμνῳ τῶν πατέρων. εἶτα ἐπάγει,

Ministerio de Educación, Cultura y Deporte

εἰ δὲ εἴποι Ἀπολλοφάνης ἀδύνατον· οὐ γάρ ἐστι μετὰ τῶν δύο φωστήρων οὐρανὸς καὶ οἱ λοιποὶ ἀστέρες, ἀλλ' ἐκεῖνοι μὲν ἐκινοῦντο, οὗτοι δὲ ἵσταντο· ἀπόκριναι αὐτῷ, ὅτι μάλιστα τοῦτο χρή σε ἐπιστρέψαι πρὸς τὸν ἀληθῆ θεόν, καὶ τὴν αὐτοῦ γνῶσιν, τὸ τοῦ κινοῦντος μὲν τοὺς περιέχοντας τοὺς φωστῆρας οὐρανόν· ἱστῶντος δὲ ἀκινήτους τοὺς περιεχομένους φωστῆρας· τοῦτο γὰρ μείζονός ἐστι δυνάμεως, τὸ κινουμένου οὐρανοῦ καὶ τῶν λοιπῶν ἀστέρων στῆναι ἥλιον καὶ σελήνην ἀκινήτους, τὸ μὴ τὴν αὐτὴν φορὰν συγκινηθῆναι τῷ παντί, μεθ' οὗ ἀεὶ συμπεριήγοντο.

Ὑπερφυεστάτην ἅμα τῷ παντὶ) λέγει μέν, ὡς ὁμοῦ τῷ πόλῳ ἀκινήτῳ μείναντι· τοῦτο γὰρ ὠνόμασε τὸ πᾶν· ἡ τοῦ ἡλίου καὶ τῆς σελήνης ἐγένετο στάσις. μᾶλλον δέ φησι, πολλῷ θαυμασιώτερον, εἴπερ ὁ μὲν πόλος περιήγετο· τοῦτον γὰρ ἐδήλωσεν, εἰπὼν τῶν ὅλων, καὶ κρειττόνων, καὶ περιεχόντων· ἥλιος δὲ καὶ σελήνη· τὰ γὰρ περιεχόμενα ταῦτα· οὐ συμπεριήγετο τῷ περιέχοντι.

Κατὰ συνέχειαν σχεδὸν τριπλασιάζηται) τὸ σχεδὸν προσέθηκεν, ἐπειδὴ τριπλῆ κατὰ τὸ πλῆρες οὐκ ἐγένετο ἡ ἡμέρα ἐκείνη· λϛ. γὰρ ὡρῶν γέγονε τὸ ἀπὸ ἀνατολῆς, μέχρι τοῦ τόπου ἐν ᾧ ἦν ὅτε τὸ σημεῖον ἐδόθη, καὶ δέκα ἐκεῖθεν ἐπὶ ἀνατολάς, καὶ δώδεκα μέχρι τῆς τελευταίας δύσεως. τῷ αὐτῷ δὲ σχήματι τοῦ λόγου, καὶ ἐνταῦθα ἐχρήσατο, ὅτι ἢ ὁ πόλος αὐτὸς σὺν τῷ ἡλίῳ ἐν τῷ τῶν. κ. ὡρῶν διαστήματι τὴν ὑπερφυῆ ἐκείνην ἀντιπεριαγωγὴν ἐποιήσατο, ἢ μόνος ὁ ἥλιος.

Ἢ τὸ πᾶν τοσούτου χρόνου) τὸ ῥητὸν οὕτω συνθὲς καθ' ὑπερβατόν, ἢ τὸ πᾶν ἐπαναστρέφει τὰς ἐναντίας ταύτας φοράς, τοσοῦτον διάστημα χρόνου ἀναποδίζων ταῖς ὑπὲρ λόγον ταύταις περιδινήσεσι. ταῦτα δὲ καὶ ἐν τῇ δ. τῶν βασιλειῶν δηλοῦται, καὶ μάλιστα ἐν τῇ κατὰ σύμμαχον ἐκδόσει, καὶ ἐν τῇ β.

Ministerio de Educación, Cultura y Deporte

τῶν παραλειπομένων.

Η ὁ ἥλιος ἐν ἰδίῳ δρόμῳ) ἡ τοῦ ἡλίου ἐνιαύσιος κίνησις πέντε ποιεῖται τροπάς, ἀνάβασιν βορείαν, τουτέστιν ἀπὸ ἰσημερινῆς ἐν τῷ ἔαρι εἰς τὸν θερινὸν τροπικόν· καὶ κατάβασιν βορείαν ἀπ᾽ αὐτοῦ ἐπὶ τὸν ἰσημερινὸν τῷ μετοπώρῳ· καὶ κατάβασιν, νοτίαν, ἀπὸ τοῦ ἰσημερινοῦ ἐπὶ τὸν χειμερινὸν τροπικόν· καὶ ἀπ᾽ αὐτοῦ πάλιν ἀνάβασιν νοτίαν, ἐπὶ τὸν ἰσημερινόν· καὶ πέμπτην, τὴν ἐναντίαν τῷ παντί. εἰπὼν οὖν αὐτοῦ τὴν πεντάτροπον κίνησιν διὰ τῆς προσθήκης τοῦ ἄρθρου, καὶ τοῦ προσθεῖναι αὐτοῦ, τὴν γνώριμον καὶ συνήθη ὑπέφηνε. τὸ δὲ ἐν τούτοις λεγόμενον ὑπὸ τοῦ πατρός, νοήσωμεν οὕτως· ὑποθώμεθα τὸν ἥλιον εἶναι κατὰ τὴν ἡμέραν ἐκείνην τῇ ὥρᾳ τῆς ἀνατολῆς ἐν πρώτῃ μοίρᾳ τοῦ κριοῦ πλήρει, μὴ ἐχούσῃ λεπτά. εἰς τὴν αὐτὴν οὖν μοῖραν αὐτὸν ἐπανελθεῖν, οὐκ ἦν, μὴ τελέσαντα τὴν προσταχθεῖσαν τὴν πεντάτροπον κίνησιν, ἢ ὡς δι᾽ ἡμερῶν τξε. καὶ τετάρτη μορίου ἐν ταῖς ῑ. οὖν ὥραις ταῖς ἀπὸ ιϛ. ἐν ᾗ ἦν μέχρι τοῦ τόπου ἐν ᾧ τὴν ἀνατολὴν αὐτοῦ ἐποιήσατο, τουτέστι τοῦ πρώτης μοίρας τοῦ κριοῦ, ἀναποδίσας ἐν αὐτῇ τὰ τῆς πεντατρόπου κινήσεως, ἤγουν τῆς ἐνιαυσιαίου περιόδου ἐπλήρωσε, καὶ ἐν ταῖς ἄλλαις ῑ. ταῖς μετὰ τὸν ἀναποδισμὸν κατὰ τὸν τόπον γενόμενος, ἐν ᾧ ἦν, ὅτε τὸ σημεῖον ἐδόθη, ὡς ἐν ὑποθέσει εἰπεῖν ἐν τῇ μιᾷ καὶ ἡμισείᾳ μοίρᾳ τοῦ κριοῦ. ὁμοίως τὰ τῆς αὐτῆς πεντατρόπου κινήσεως ἐπλήρωσε κατὰ ἀνάλυσιν, ὅπερ ἀναλυτικῶς ἐκάλεσεν· οὐκ ἦν γὰρ αὐτὸν πάλιν ἐν τῇ μιᾷ καὶ ἡμισείᾳ μοίρᾳ ταύτῃ τοῦ κριοῦ, γενέσθαι ἅπαξ ἀποστάντα ἀπ᾽ αὐτῆς, μὴ διὰ τῶν τοῦ ἐνιαυτοῦ ἡμερῶν, ὡς εἴρηται.

Ἐμφέρεται φήμαις) ἀντὶ τοῦ ἱστορίαις.

Μίθρου τελοῦσι) μίθραν τὸν ἥλιον πέρσαι καλοῦσι· τὸ παρέκταμα οὖν τῆς ἡμέρας ἐκείνης διὰ τοῦ τριπλα-

Ministerio de Educación, Cultura y Deporte

σίου ἐσήμανε. σημείωσαι δὲ πρὸς τούτῳ καὶ περὶ τοῦ ἀπὸ ὥρας ἕκτης ἕως ὥρας θ'. γινομένου σκότους, ἐπὶ πᾶσαν τὴν γῆν τῷ καιρῷ τῆς τοῦ κυρίου σταυρώσεως, ὅ λέγει ὁ πατήρ.

Κατὰ τὴν ἡλιούπολιν) τὴν ἐν αἰγύπτῳ ἡλιούπολιν ἴσως φησίν· ἔτι γὰρ ἀνεγίνωσκον ἐκεῖ ἅμα.

Παραδόξως) φασὶ γάρ, μὴ ἑτέρως γίνεσθαι τὴν ἔκλειψιν, εἰ μὴ συνεμπέσοι ἡ σελήνη τῷ ἡλίῳ.

Αὖθίς τε αὐτὴν) σημείωσαι ἐντεῦθεν τὴν λύσιν τοῦ παρὰ τῷ εὐαγγελιστῇ λουκᾷ ἀπορήματος. οὐδεὶς δὲ τὸ ξένον τοῦ τρόπου καὶ τοῦ θαύματος διηγήσατο, εἰ μὴ μόνος οὗτος· τοῦ γὰρ θείου λουκᾶ εἰπόντος, ἀπὸ ς'. ὥρας σκότος ἐν τῷ σταυρῷ τοῦ κυρίου γενέσθαι, τοῦ ἡλίου ἐκλείποντος, παρὰ πᾶσιν ἀμφεβάλλετο, πῶς ἔκλειψιν ἐκάλεσε ταύτην τῆς σελήνης τεσσαρεσκαιδεκαταίας οὔσης, οὐ μὴν συνόδου οὔσης ἡλίου καὶ σελήνης· οἱ γὰρ ἐξηγηταὶ σχεδὸν πάντες μεταγενέστεροι πολλῷ τῶν χρόνων τούτων ὄντες, ὑπέλαβον τὸν ἥλιον αὐτὸν ἀποβαλεῖν τὰς ἀκτῖνας τὰς τρεῖς ὥρας, ἕως τῆς ἐνάτης· ἐνταῦθα μέντοι καὶ ὁ ξένος τρόπος εἴρηται τῆς ἐκλείψεως. φησὶν οὖν ὅτι ἀπ' ἀνατολῶν τεσσαρεσκαιδεκαταία οὖσα· οὐ γὰρ ἦν συνόδου καιρός· ἔφθασεν ὥραν ς'. τὸν ἥλιον, καὶ ἐμπεσοῦσα εἰς αὐτὸν ὑπέδραμεν, αὐτὸν εἰσβάλλουσα εἰς τὸ πρὸς ἀνατολὰς τοῦ ἡλιακοῦ δίσκου μέρος. ὅθεν καὶ ἦλθεν ἡ σελήνη, καὶ εἰσέβη ὑποτρέχουσα αὐτὸν καὶ ἀναποδίζουσα, ἕως οὗ ὅλον τὸν αὐτοῦ δίσκον ἐσκίασεν. ἔδει οὖν, εἰ ἦν κατὰ τὸ σύνηθες ἔκλειψις, ἐκ τοῦ αὐτοῦ μέρους καὶ τὴν ἔκλειψιν, καὶ τὴν ἀνακάθαρσιν γενέσθαι, οἷον ὅτε ὑποτρέχει ἡ σελήνη τὸν ἥλιον, φέρε εἰπεῖν, ἐξ ἀνατολῶν πρότερον ἀποφράττει μέρος τοῦ ἡλιακοῦ δίσκου τὸ ἀνατολικόν, ὅπερ καὶ ἤρξατο ὑποτρέχειν. ἐκεῖθεν οὖν ἐκ τοῦ ἀνατολικοῦ μέρους καὶ ἀνακαθαίρεσθαι ἄρχεται ὁ δίσκος τοῦ

Ministerio de Educación, Cultura y Deporte

ἡλίου, τῆς σελήνης ἐπὶ δυσμὰς τρεχούσης καὶ πρῶτον ἀνακαλυπτούσης μέρος ἐν τῷ παριέναι καὶ πρῶτον ἔχειν τὸν ἥλιον, ὃ καὶ πρῶτον ἐκάλυψε, τουτέστι τὸ ἀνατολικόν. ἐπὶ δὲ τοῦ σωτηρίου πάθους οὐχ οὕτω γέγονεν, ἀλλὰ τοὐναντίον· ἐξ ἀνατολῶν γὰρ ἐλθοῦσα ἡ σελήνη ὑπέδραμε τὸν ἥλιον, καὶ ἔφραξεν ὅλον τὸν δίσκον αὐτοῦ· εἶτα οὐκέτι ἐπὶ δυσμὰς παρῆλθεν, ἀλλ᾽ ἀνεπόδισε πάλιν ἐπὶ ἀνατολάς, καὶ ἐγύμνωσε πρῶτον μέρος τὸ δυτικὸν τοῦ ἡλιακοῦ δίσκου· εἰς τοὐπίσω γὰρ ἀνέδραμεν ἐπὶ τὸ ἐναντίον διάμετρον τοῦ ἡλίου ἐπὶ ἀνατολάς· ὥστε μηκέτι τὴν ἔμπτωσιν καὶ τὴν ἀνακάθαρσιν ἐκ τοῦ αὐτοῦ μέρους γενέσθαι. μέμνηται μὲν καὶ φλέγων ὁ ἑλληνικὸς χρονογράφος ἐν τρισκαιδεκάτῳ χρονογραφιῶν ἐν τῇ σγ. ὀλυμπιάδι, τῆς ἐκλείψεως ταύτης παρὰ τὸ εἰωθὸς αὐτὴν λέγων γενέσθαι· οὐ μὴν τὸν τρόπον ἀνέγραψε. καὶ ἀφρικανὸς δὲ ὁ ἡμέτερος ἐν πέμπτῳ χρονογραφιῶν, καὶ εὐσέβιος ὁ παμφίλου ἐν τῶν αὐταῖς μέμνηται τῆς αὐτῆς ἐκλείψεως.

## ΔΗΜΟΦΙΛΩ ΘΕΡΑ-
## πευτῇ. η.

ΔΗΜΟΦΙΛΟΣ οὗτος μοναχὸς ἦν, ὡς δηλοῖ ἡ ἐπιγραφή· θεραπευτὰς γὰρ τοὺς μοναχοὺς ἐκάλουν. τυραννήσας δὲ κατὰ πρεσβυτέρου αὐτοῦ, καὶ ἀγανακτήσας ὅτι ἐδέξατό τινα ἐν μετανοίᾳ ὄντα ἁμαρτήματος, ἐξέβαλε, τυπτήσας τὸν μετανοοῦντα· τὸν δὲ πρεσβύτερον ἐξώθησε. καὶ ἐκάθισεν αὐτοχειροτόνητος πρεσβύτερος. σημείωσαι οὖν, ὅτι τὰ κακὰ ταῦτα καὶ ἐπὶ ἐκείνων τῶν χρόνων ἐγένετο. εἰκότως οὖν τό, ὦ γύναι·

Ministerio de Educación, Cultura y Deporte

δημόφιλε, φησὶν ἰδίαν ἄτακτον καὶ οὐκ εὐλάβειαν ἔνθεον ὀνει-
δίζων αὐτῷ, καὶ ταύτῃ διασύρων τὸν μοναχόν.

Καὶ εἴ ποτε αὐτὸν ἔξω) τουτέστιν, ὅταν αἱ γραφαὶ λέγωσιν ἐν ἀγανακτήσει θεοῦ γεγονέναι αὐτόν, καὶ ἐν ἀποστροφῇ τοῦ προσώπου αὐτοῦ. πρότερον δὲ φησὶ, δεικνύουσιν αὐτὸν τῆς πραότητος ἔξω γεγονέναι· καὶ ἔτι οὕτω παθεῖν τὸ ἀπὸ ὄψεως γενέσθαι τοῦ θεοῦ.

Ἐκ τῆς προὐχούσης) σημείωσαι, ὅτι ἐξαίρετον τὸ προῦχον εἰς μίμησιν θεοῦ ἡ πραότης, καὶ ὅτι διὰ τὴν πραότητα μωσῆς λέγεται θεράπων θεοῦ.

Φιλοτιμίας) φιλοτιμία κυρίως, τὸ τιμῆς ἐφίεσθαι καὶ ἐρᾶν. θεοκρίτῳ δὲ, οὐχ οὕτω τινὶ καλουμένῳ, ἀλλὰ τῷ ἐκ θεοῦ εἰς τὸ ἄρχειν κρινομένῳ καὶ ἐπιτηδείῳ.

Τί δὲ τὸν θεοπάτορα) ὅτι θεοπάτορα καλεῖ, διὰ τὸν χριστὸν τὸν δαβίδ· φησὶ γὰρ ὁ θεῖος παῦλος, Ἀφωρισμένος εἰς εὐαγγέλιον ὃ προεπηγγείλατο ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος δαβὶδ κατὰ σάρκα. εἰκότως οὖν θεοπάτωρ ὁ δαβίδ.

Καίτοι καὶ θεσμὸς) γέγραπται γὰρ ἐν τῷ νόμῳ, ὥστε καὶ τὸ τοῦ ἐχθροῦ ὑποζύγιον καταπίπτον ἐγείρειν.

Ἀλλ' ἐπὶ τὸ ἀνάντες) ἐπὶ τὸ ὑψηλότερον. σημείωσαι δὲ τὸ φιλανθρώπων ἀγγέλων, καὶ ὅτι δέονται ὑπὲρ ἐθνῶν, τοῦ θεοῦ, καὶ ὅτι ταῖς ἀποστατικαῖς ἐπιτιμῶσι δυνάμεσι, τουτέστι τοῖς δαίμοσιν.

Ἀλλὰ τοῦ ὄντως ἀγαθοῦ) περὶ ἀγαθότητος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ.

Καὶ πάντα βούλεται ἀεὶ γενέσθαι) ἐπειδὴ πάντα εἶπεν, ἐν δὲ τοῖς πᾶσι καὶ ἄψυχα καὶ ἄλογα, προσθεὶς κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα, τὴν ὑφορμοῦσαν ἀντίθεσιν προεθεράπευσε.

Καὶ φι-

Καὶ φιλονεικεῖ) πῶς ἐρᾷ πάντων ὁ κύριος, καὶ παρακαλεῖ ἡμᾶς μὴ ἐκπεσεῖν αὐτοῦ, ὅθεν καὶ παράκλητος ἀκούει.

Καὶ θρυπτομένων) θρύπτεσθαι κυρίως τὸ κατακλᾶσθαι. λέγεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν ἐρωμένων, οἱ τὴν πρὸς τοὺς ἐρῶντας ἀναβαλλόμενοι συντυχίαν τοιούτῳ τῷ σωματικῷ, τουτέστι κατακεκλασμένῳ κέχρηνται ἤθει ὅθεν λαμβάνεται καὶ ἐπὶ ἄλλων ὁμοιοτρόπων πραγμάτων.

Ὅμως περιποιοῦσι περιστρέχει) τὰ τῆς εὐαγγελικῆς παραβολῆς τοῦ ἀσώτου ὑποτίθεται ἐν τούτοις, καὶ τὰ ὅμοια. θαυμασίως δὲ καὶ τὸ ὅλος ὅλοις, φησὶ, καταισχύνων τοὺς τότε αἱρετικοὺς, οἵτινες ψυχὴν μόνην σώζεσθαι ὑπὸ θεοῦ, καὶ οὐ σῶμα ἔλεγον. ὅλος οὖν φησὶν, ὁ κύριος, ὡς ψυχὴν καὶ σῶμα λαβὼν, ὅλοις ἡμᾶς τοὺς ἐκ ψυχῆς καὶ σώματος σέσωκεν. ἦσαν δὲ τότε αἱρετικοὶ ἀπὸ Σίμωνος, ὡς δηλοῦσιν Εἰρηναῖος καὶ Ἱππόλυτος· καὶ οἱ τὰ περὶ ἐκείνους δὲ δογματίζοντες, τὰ αὐτὰ φρονοῦσι. περιφὺς δὲ, ἀντὶ τοῦ περιπλακείς.

Δηλαδὴ τοὺς ἀγαθοὺς) σημείωσαι τίνας φησὶ τοὺς συγκαλουμένους φίλους· μετ᾽ ὀλίγα δὲ τοὺς ἀγαθοὺς ἀγγέλους εἶναι τούτους νοεῖ. ὅρα δὲ, πῶς νοεῖ τὸ, ἵνα ἡ πάντων εὐφραινομένων ἡ κατοικία.

Σὺ δὲ ὡς τὰ γράμματά σου δηλοῖ) σὺ δὲ, φησὶν, ὦ Δημόφιλε, καὶ τὸν ἱερέα ὕβρισας, εἰπόντα ἐλεητὸν, τουτέστιν ἐλέους ἄξιον, τὸν ἀσεβῆ καὶ μετανοοῦντα. δοκεῖ δέ μοι ὁ Δημόφιλος πρεσβύτερον ὑβρικέναι· τοὺς γὰρ ἱερέας πρεσβυτέρους εἴωθε καλεῖν, ὡς ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας διετράνωσε· καὶ ἐνταῦθα δὲ μετὰ βραχέα ὑποκατιὼν, τὸ εἰρημένον μοι συνίστησι. καθ᾽ ὑπερβατὸν δὲ ἡ σύνταξις, ὕβριζες τὸν ἱερέα δικαιώσαντα, τὸ καὶ τὸν ἀσεβῆ ἐλεητὸν ὑπάρχειν, ἤγουν ἐλέους ἄξιον.

Xx

Ministerio de Educación, Cultura y Deporte

Τὰ ἅγια τῶν ἁγίων συνέσχες) συνέσχες, ἀντὶ τοῦ ἐπεπίτωσας, καὶ ἐσμίκρυνας· ἢ οὐ τοῦτο, ἀλλὰ συνέσχες, ἀντὶ τοῦ συνῆξας, ὡς εἴρηται οἱονεὶ ἐπῆρας, ἐκ τοῦ θυσιαστηρίου βαστάσας, καίτοι διακόνων καὶ πρεσβυτέρων τοῦτο ποιεῖν ἐπιτετραμμένων τοῦ νόμου λέγοντος, Καὶ ἱερεῖς περιστελοῦσι τὰ ἅγια, ὡς καὶ ἐν τῷ ἑξῆς φύλλῳ φησίν.

Οὐ θεμιτὸν ἱερέα) ὅτι οὐ δεῖ πρεσβύτερον καὶ ἁμαρτάνῃ ὑπὸ διακόνου ἢ μονάζοντος εὐθύνεσθαι, μή τι γε ὑπὸ λαϊκῶν. ταῦτα δὲ, δίχα αἱρέσεως· ὑπὲρ γὰρ τὴν τάξιν τῶν μοναχῶν, ἢ τῶν λειτουργῶν, ἤτοι διακόνων· καὶ εἰ τοῦτο, πολλῷ μᾶλλον οὐδὲ ἐπίσκοπον κατηγορεῖσθαι θέμις ὑπό τινος.

Οἱ δὲ ἱερεῖς ἄγγελοι) σημείωσαι, ὅτι καὶ ἱερεῖς ἄγγελοι καὶ ὑποφῆται, τουτέστι διδάσκαλοι τῶν θείων κριμάτων εἰσὶ μετὰ τοὺς ἱεράρχας. καὶ ὅτι περὶ πρεσβυτέρου διωχθέντος καὶ ὑβρισθέντος παρὰ μονάζοντος ἡ ἐπιστολὴ ἐγράφη, ἐντεῦθεν μάλιστα δηλοῦται.

Διὰ μέσων τῶν λειτουργῶν) σημείωσαι, ὅτι οἱ τὰ θεῖα ζητοῦντες παρὰ πρεσβυτέρων μαθεῖν, οὐ δι' ἑαυτῶν τοῦτο πράττειν ὀφείλουσι, καὶ ὑπάρχωσι μοναχοί, ἀλλὰ διὰ μέσων διακόνων, καὶ τοῦτο ὅταν ἁρμόδιος παρῇ καιρός.

Δι' ὧν καὶ τὸ εἶναι) ὥσπερ εἴπομεν ἄνω ἐν τῇ ἐκκλησιαστικῇ ἱεραρχίᾳ, ἐν τῷ περὶ μοναχικῆς τελειώσεως κεφαλαίῳ, διὰ πρεσβυτέρων αὐτοῖς δίδοται τὸ μοναχικὸν σχῆμα.

Η διακόσμησις) περὶ τῶν ἐκκλησιαστικῶν διακόσμων, καὶ ὡς ἡ τῶν μοναζόντων λειτουργία· αὐτοὺς γὰρ καλεῖ θεραπευτάς. ταῦτα καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱεραρχίᾳ φησίν.

Αἱ πύλαι τῶν ἀδύτων) διακόνοις γὰρ ἡ φυλακὴ τῶν τῆς ἐκκλησίας πυλῶν ἀφώρισται, ὡς ἐν τῇ ἐκκλησιαστικῇ ἱεραρχίᾳ, ἐν τῷ περὶ τῶν ἱερατικῶν τελειώσεων κεφαλαίῳ φησί.

Ministerio de Educación, Cultura y Deporte

μετ᾽ ὀλίγα τῆς ἀρχῆς τοῦ κεφαλαίου.

Τῶν θείων παραπετασμάτων) ὅτι καὶ τότε παραπετάσματα ἦν περὶ τὸ θυσιαστήριον.

Οὔτε ἔχεις τι τῶν προσηκόντων) σημείωσαι, ὅτι ὁ ἀτάκτως καὶ παρὰ τοὺς ἱεροὺς θεσμοὺς τοῖς ἁγίοις ἐπιπηδῶν, οὐδὲν ἐξ αὐτῶν, οὔτε ἰδεῖν, οὔτε ἀκοῦσαι, οὔτε ἔχειν πιστεύεται, εἰ καὶ ταῖς χερσὶν αὐτῶν ἅπτεται.

Ἐτόλμησεν οὔπω γάρ) κατὰ κοινοῦ τὸ ἀδίκως ἐπιμφορεῖτο, ὡσανεὶ καὶ οὗτος.

Ὅταν ὑπὲρ ἀξίαν τις ἐγχειρῶν) ὅτι εἰ καὶ τὰ εἰκότα τις ποιεῖ, παρὰ τὴν οἰκείαν δὲ τάξιν τε καὶ ἀξίαν, καὶ οὕτω τὸ ἐφικτὸν ὑπερβαίνει.

Δαίμονες ἀληθῶς θεολογοῦντες) περὶ τῶν θεολογούντων τὸν Ἰησοῦν δαιμόνων.

Ἀλλ᾽ ἐγκύκλιος) ὅτι ἐγκύκλιος τῇ θεολογίᾳ πᾶς ἀλλοτριεπίσκοπος.

Καὶ οἱ ἱερεῖς περιστέλλουσι) τίνες συνάγειν καὶ ἐπαίρειν δύνανται τὰ ἅγια, καὶ ὅτι οὐ πᾶσιν ἐφικτόν.

Καὶ Μαριὰμ λεπροῦται) σημείωσαι τὴν αἰτίαν δι᾽ ἣν ἐλεπρώθη Μαρία ἡ τοῦ Μωσέως ἀδελφή.

Καὶ ἐπὶ τοὺς Σκευᾶ υἱούς) ἐπὶ τοὺς υἱοὺς δὲ τοῦ Σκευᾶ τὰ δαιμόνια ἐφήλατο, ὅτι μήτε πιστεύοντες εἰς Χριστόν, μήτε κεχειροτονημένοι ἐξώρκιζον τοὺς δαίμονας, ὅπερ τοῖς ἐπορκισταῖς μόνοις θεμιτὸν ἦν. τοῦτο ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων κεῖται.

Οὐδὲ τὰ δίκαια μὴ κατ᾽ ἀξίαν) σημείωσαι τί ἐστι, Δικαίως διώξεται τὸ δίκαιον, ὅ φησι Μωϋσῆς. καὶ ὅτι οὐδὲ τὰ δίκαια θεμιτὸν μὴ κατ᾽ ἀξίαν διώκειν. ἔχεις δὲ τοῦτο καὶ ἐν τοῖς ἑξῆς. πλατέως δὲ διαγυμνάζει ὡς εἰ λέγοις ἐν τῷ ι. τῶν εἰς



Ministerio de Educación, Cultura y Deporte

τοῖς ἱερεμίου θρήνοις.

Τί οὖν φής) ἀντίθεσις ὡς ἐκ δημοφίλου, ὅτι ἐστὶν ἀσέβεια ἐν τοῖς ἱερεῦσι μὴ εὐθυνομένη.

Ἐγὼ δὲ ἀπολογήσομαί σοι) ἀπολογία πρὸς τὴν ἀντίθεσιν περὶ ἰδιοπραγίας.

Καὶ μὴ τοπικῶς) ὅτι τὰ περὶ τῶν ἀγγελικῶν ὑποβάσεων καὶ τάξεων, οὐ τοπικῶς δεῖ δέχεσθαι, ὅτι πλησιάζουσι θεῷ, ἀλλὰ πρὸς τὴν ἑκάστου ἐπιτηδειότητα· οὐ γὰρ ἐν τόπῳ ὁ θεός. εἰκότως οὖν οὐδὲ αἱ νοηταὶ δυνάμεις.

Σύμβολα χριστοειδῶς) τουτέστι τὴν τῶν μυστηρίων τελεσιουργίαν. χριστοειδῶς δὲ, διότι οἱ ἱερεῖς τοῖς θείοις ἐπευχόμενοι δώροις, ἤτοι συμβόλοις, τὴν τοῦ χριστοῦ τάξιν ἐπέχουσιν.

Ἀλλ' οὐ δημοφίλῳ) οὐ γὰρ ἔξεστι φησὶ, δημοφίλῳ θεραπευτῇ ὄντι, ταῦτα εὐθύνειν τὰ ἁμαρτήματα.

Δίκαια δὲ ἐστι) ὅ ἐστι, Δικαίως τὰ δίκαια μεταδιώκειν, καὶ ὅτι ἀγγέλοις τὸ δίκαιον ἀπονέμεται.

Δημόφιλος δὲ λόγῳ) τουτέστι τὴν ἑαυτοῦ ἀλογίαν, καὶ τὸν θυμὸν, καὶ τὴν ἐπιθυμίαν τῆς ἑαυτοῦ φιλαρχίας κολαζέτω ὁ δημότιλος σημείωσαι δὲ, ὡς ἐν πᾶσι τοῖς οὖσι διὰ τῶν πρώτων τοῖς δευτέροις ἀπονέμεται τὰ κατ' ἀξίαν.

Ἀλλ' ἐπαρχέτω) κρατείτω, φησὶν, ὁ λόγος, θυμοῦ καὶ ἐπιθυμίας· ταῦτα γὰρ τὰ ὑφειμένα· ἐν τῇ τούτων γὰρ ἐποχῇ ἡ λογικὴ φαίνεται οὐσία καὶ δύναμις, ὥστε μὴ ἁπλῶς, ἀλλὰ πρὸς τὸ χρήσιμον κεχρῆσθαι αὐτοῖς.

Ἐκ θεοῦ νομοθέτης) τὸν θεῖον παῦλον φησίν.

Οὐκ ἄξιοι τῆς ἐκκλησίας) ἐκ τῆς πρὸς τιμόθεον ἐπιστολῆς.

Τὰ κατ' ἀξίαν ἀφόριζε) σημείωσαι τάξιν ἐπαινουμένην ἐκκλησιαστικὴν, ἵνα τοῖς μονάζουσιν οἱ διάκονοι, καὶ τούτοις οἱ

Ministerio de Educación, Cultura y Deporte

πρεσβύτεροι, καὶ τοῖς πρεσβυτέροις οἱ ἐπίσκοποι ἐπιτιμῶσι· τοῖς δὲ ἐπισκόποις, οἱ ἀπόστολοι, καὶ οἱ τούτων διάδοχοι. ἐν δὲ τοῖς τῶν ἀποστόλων διαδόχοις παρὰ τῶν ὁμοταγῶν ἡ ἐπιτίμησις.

Καὶ τοῖς ἱεράρχαις, οἱ ἀπόστολοι) σημείωσαι, ὅτι καὶ ἐπισκόπων μείζους οἱ ἀπόστολοι, καὶ οἱ τῶν ἀποστόλων διάδοχοι· καὶ ὅτι ἕκαστος παρὰ τοῦ ἀνωτέρου τῆς αὐτοῦ τάξεως εὐθύνεσθαι ὀφείλει. ἀποστόλων δὲ διαδόχους, τοὺς νῦν πατριάρχας ἡγοῦμαι εἶναι.

Οὐκ οἶδ᾽ ὅπως κλαύσομαι) σημείωσαι τὴν πικρίαν, ἢ μᾶλλον συμπάθειαν τοῦ πατρός.

Καὶ γὰρ εἰ μὴ τοῦ ἀγαθοῦ) Εἰ γὰρ εἰ μὴ νομίζεις φησὶ, τοῦ ἀγαθοῦ θεοῦ εἶναι τοὺς παρ᾽ ἡμῶν θεραπευτὰς, πάντως καὶ ἡμῶν καὶ ὅλης τῆς ἐκκλησίας ἀλλότριος ὑπάρχεις. σημείωσαι δὲ ὅτι τάχα ἐν παροικίᾳ τούτου τοῦ μεγάλου διονυσίου ἡμαρτήθη, καὶ ὅτι τὸν δημόφιλον αὐτὸς μοναχὸν τῆς ἐκκλησίας ἔταξεν.

Ἡ τῆς διπλῆς ἁμαρτίαν) σημείωσαι ποίαν καλεῖ διπλῆν ἁμαρτίαν, ὅταν ἁμαρτάνων τις ἀγνοῇ, ὅτι ἥμαρτε. τοῦτο δὲ τοῦ ἱερεμίου ἐστὶν, ὡς ἐφεξῆς σαφηνίζει, ὅτι δύο ἥμαρτεν ὁ λαός· Ἐμὲ ἐγκατέλιπον πηγὴν ζωῆς, καὶ τὰ ἑξῆς.

Ὅτι δημόφιλος οἴεται) πολλὴ καὶ μεγάλη καὶ συμπαθὴς παράκλησις τοῖς ἁμαρτωλοῖς.

Ἀλλ᾽ ὁ θεαρχικὸς ἱεροτελεστὴς) τὸν κύριον λέγει, ὅτι οὐχ ὅμοια διαπράττεται τοῖς ὑπὸ δημοφίλου γεγενημένοις.

Καὶ ταῦτα τῶν ἁμαρτωλῶν) ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, τὸ τοῦ ἀποστόλου λέγων ἄντικρυς τὸ, Ἀφωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος.

Δικαιοῖ δὲ τῶν οἰκείων ἀπολαύειν) τουτέστι τῆς οἰκείας φι-



Ministerio de Educación, Cultura y Deporte

λανθρωπίας καὶ μὴ τοῦ σκόπους καὶ τιμωρίας.

Καὶ γὰρ καὶ τοῖς εἰς αὐτὸν) ἐν τῷ κατὰ τὸν λουκᾶν κεῖται εὐαγγελίῳ.

Ἄπαγε, οὐκ ἔχομεν) πολλὰ σοὶ ἀγαθὰ γένοιτο, πάτερ συμπαθέστατε.

Καὶ γὰρ τὸ ὁ θειότατος) σημείωσαι, ὅτι ἀμετόχους λέγει τοὺς μαθητὰς τοῦ κυρίου, πνεύματος τοῦ ἁγίου, ζητοῦντας πῦρ ἐπομβρῆσαι τοῖς σαμαρείταις, ὡς ἐν τῷ εὐαγγελίῳ εὑρίσκομεν. πῶς οὖν πρὸς αὐτοὺς ὁ κύριος φησίν, Οὐκ οἴδατε ποίου πνεύματός ἐστε. ἀλλ' ἴσως τοῦτο εἶπε, δεικνὺς ποίᾳ χάριτι διακονεῖσθαι ἐξελέγησαν. ἴσως δὲ καὶ ὁ πατὴρ πρὸς τὸ τέλειον τῆς δωρεᾶς ἀπιδών, ἧς ἔλαβον μετὰ τὴν ἀνάστασιν τοῦτο εἴρηκε, διὰ τὸ γεγράφθαι, Οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι ἰησοῦς οὐδέπω ἐδοξάσθη. ἱεροθέτην δὲ καλεῖ, τὸν ἅγιον ἀπόστολον παῦλον, ὡς χειροτονήσαντα αὐτῷ τὴν ἀρχιερωσύνην τῆς ἐκκλησίας τῶν ἀθηναίων, καθὼς ἐν ταῖς ἱεραῖς τῶν ἀποστόλων γέγραπται διαταγαῖς.

Διδάσκεσθαι γὰρ, οὐ τιμωρεῖσθαι χρή) σημείωσαι ὡραῖον καὶ μάλιστα νῦν χρήσιμον, ὅτι διδάσκεσθαι χρή, καὶ οὐ κολάζεσθαι τοὺς ἀγνοοῦντας, ὥσπερ καὶ τοὺς τυφλοὺς ὁδηγοῦμεν, οὐ κολάζομεν. τὸ δὲ κατὰ κόρρης, τινὲς μὲν τὸν κρόταφόν φασιν, ἔνιοι δὲ τὴν γνάθον, ἄλλοι δὲ μέρος τι τῆς κεφαλῆς. βέλτιον δὲ κόρρην, ὡς ἔφην, τὸν κρόταφον λέγειν. ὅμηρος μὲν τὸ κόρσην αὐτὴν καλεῖ. παροξυτονεῖται δὲ ἡ κόρρη. εἰς τὸν κρόταφον οὖν ἔτυπτεν ὁ δημόφιλος τὸν μετανοοῦντα.

Οἱ μὲν γὰρ ἀδικεῖν) σημείωσαι οἷα φησὶν ἐπακολουθεῖν τοῖς ἀδικεῖν ἢ εὐεργετεῖν τινὰς βουλομένοις, κἂν μὴ πρὸς ἔργον ἐξήνεγκαν ἃ ἐβουλεύσαντο.

Ἐπιχειροῦντες) ἐκείνοις δηλαδὴ οἷς προῃρέθησαν ἀδική-

Ministerio de Educación, Cultura y Deporte

σαι ἢ εὐεργετῆσαι, οὐ πάντως, φησὶ διέθηκαν, καθὼς ἠβουλήθησαν· παράδηλον δὲ, ὅτι, τὸ μὲν ἀβούλητον, τῶν εὐεργετουμένων· τὸ δὲ παρὰ τὸ ἀδρανὲς, τῶν ἀδικούντων.

Καὶ ἐνθάδε καὶ ἐκεῖ) ὅτι οἱ δίκαιοι οὐ μόνον ἐν τῷ μέλλοντι αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ νῦν βίῳ ἀγγέλων ἀγαθῶν ὀπαδοὶ, ἤγουν ἀκόλουθοι, καὶ συνοδοιπόροι εἰσί.

Τὸ πάντων ἀγαθῶν μέγιστον) ὅτι τὸ πάντων τῶν ἀγαθῶν μέγιστον ἐστὶ, τὸ ἀεὶ εἶναι μετὰ θεοῦ.

Καὶ ἐνθάδε καὶ μετὰ θάνατον) ὅτι οἱ ἁμαρτωλοὶ καὶ ἐν τῷ βίῳ τούτῳ, καὶ ἐν τῷ μέλλοντι τιμωροῦνται, μετὰ τῶν δαιμόνων εἶναι κατακρινόμενοι, ὑπὸ τῶν ἰδίων παθῶν ἃ περιετίμησαν.

Ἐπιμνησθήσομαι) σημείωσαι τὴν ὅρασιν τοῦ ἁγίου Κάρπου, πόσης φρίκης καὶ παρακλήσεως γέμει.

Γενόμενόν με ποτὲ) διήγημα ὡραῖον, ὅτι οὐ χρὴ τοῖς ἁμαρτάνουσιν, εἰ καὶ πρὸς θεὸν πταίουσιν, ἐπαρᾶσθαι. σημειωτέον οὖν τὴν ἱστορίαν, περιέχουσαν ἀνεκλάλητον εὐσπλαγχνίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ περὶ μετανοούντων. λέγει δὲ καὶ περὶ τῆς ἁγιότητος τοῦ θείου Κάρπου. ἔστι δὲ οὗτος ὁ Κάρπος, οὗ μέμνηται ὁ ἀπόστολος ἐν τῇ β΄. πρὸς Τιμόθεον ἐπιστολῇ.

Κατὰ τὰς προτελείους εὐχὰς) προτελείας μὲν ἐκάλουν Ἀθηναῖοι, τὰς πρὸ τῶν γάμων μετὰ τῶν θυσιῶν εὐχάς· τὸν γὰρ γάμον, τέλος ἐκάλουν, ὡς τελειοῦντα πρὸς τὸν βίον τὸν ἄνθρωπον. καὶ τοῦτο ἐκ πολλῶν κωμῳδίας ποιητῶν δεῖξαι δυνατόν. μυστήριον γοῦν εἶχον τὸν γάμον. ἔλεγον δὲ προτελίζεσθαι καὶ τὸ προμυεῖσθαι, καὶ οἱονεὶ προκαθαίρεσθαι εἰς ἑτοιμασίαν μυστηρίου, ὡς Κρατῖνος δηλαδὴ ἐν Πυλαίᾳ δράματι· μάλιστα γὰρ τὰ μυστήρια τινὸς τῶν ψευδωνύμων αὐτῶν θεῶν τέλη καὶ τελετὰς ἐκάλουν, ὡς τελειούσας καὶ εἰς τὸ τέλειον ἀγούσας τοὺς τελουμένους. τὸ γοῦν παρ' Ἕλλησιν ἀσεβῶς λεγόμενον, εἰς



Ministerio de Educación, Cultura y Deporte

τὸ τῆς ἀληθείας μυστήριον ὠνόμασεν ὁ μέγας Διονύσιος· καὶ προστελείους εἶπεν εὐχὰς, τὰς περὶ τοῦ ζωοποιοῦ τοῦ μυστηρίου τελειοτάτας δεήσεις ὑπὲρ καθάρσεως καὶ ἀκατακρίτου μεταλήψεως τοῦ τελειοτάτου καὶ τελειοποιοῦ τῶν θυσιῶν δώρου. ἐξεναγώγησε δὲ, ἀντὶ τοῦ ὡς ξένον ἐδεξιώσατο.

Ἐπὶ τῶν ἱλαείων ἡμερῶν) ἦσαν τινὲς ἡμέραι τοῖς εἰδωλολάτραις, ἃς ἱλαείας ἐκάλουν, καὶ αἱ μὲν ἦσαν ἴδιαι καὶ ἱλάειοι, ὡς ὅταν τις ἔγημεν, ἢ υἱὸν ἐκτᾶτο· αἱ δὲ κοιναὶ καὶ δημόσιαι ἱλάεια ἐκαλοῦντο, ὡς ὅταν βασιλεὺς ἀναγορευόμενος τὰς δημοσίας ἱλαείας παρεῖχε, καὶ οὔτε πένθιμα ἐν ταύταις φορεῖν ἐξῆν, ἀλλὰ καὶ θέαι καὶ θυσίαι καθ' ἑκάστην ἡμέραν διετελοῦντο δημόσιαι, καὶ οἱ πενθοῦντες ἐπαύοντο, καὶ ἐθεώρουν, καὶ ἐν εὐωχίαις ἀπαύστοις διῆγον τὰς ὡρισμένας ἡμέρας τῶν τοιαύταις ἱλαρίαις. ἦν δὲ καὶ ἱλαρία, ἑορτὴ ἰδικὴ Ῥωμαίων εἰς τιμὴν τῆς μητρὸς τῶν θεῶν αὐτῶν, μᾶλλον δὲ δαιμόνων, ὡς φησὶ Δημόφιλος ἐν τῷ περὶ τῶν παρ' ἀρχαίοις θυσιῶν καὶ ἑορτῶν.

Διὰ βίου παντὸς) τουτέστι μέχρι τέλους τῆς παρούσης ἐνέστηκε ζωῆς. σημειωτέον δὲ, ὅτι δεῖ τοὺς θεοφιλεῖς διὰ βίου παντὸς νουθετεῖν τοὺς πεπλανημένους καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἕλκειν. σημείωσαι οὖν αὐτό· τινὲς γὰρ ἀμαθῶς τὸ ἐναντίον λέγουσι κεχρημένοι τῷ ἀποστολικῷ ῥητῷ τῷ λέγοντι, Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, μὴ νοοῦντες τῶν εἰρημένων τὴν δύναμιν, ἐκ τῶν ἑπομένων ῥητῶν μάλιστα σαφηνιζομένην· τότε γὰρ εὔλογος ἡ μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραίτησις, ὅταν ὁ διδάσκων πρὸς τὴν παραίτησιν ἔλθῃ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ λανθάνει ὢν αὐτοκατάκριτος· δῆλον γὰρ ὡς ἐν τοῖς ἱεροῖς διδασκάλοις ἀποκαλύπτεται ἡ τῶν προσιόντων κα-

Ministerio de Educación, Cultura y Deporte

πάστασις. ἕτεροι δὲ τὸ μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν οὕτως ἐνόμισαν, αὐτὴ τὸ μετὰ τὴν ἐκ τῆς παλαιᾶς καὶ νέας διαθήκης διδασκαλίαν.

Εἰώθει γὰρ εἰς τὸν δεῖ) σημείωσαι, ὅτι ἡ ἀποστολικὴ παράδοσις τοῖς νυκτερινοῖς τῶν ψαλμῳδιῶν κανόνας παρέδωκεν.

Ἔξω ταραχῆς) τὸ ἐν ἀρνητικὸν μόριον πρὸς τὸ ἔξω ταραχῆς συμπλέκον, ἵνα ᾖ τὸ ὅλον τοιοῦτον, διανίσταται οὐδὲ τῶν ὕπνων πολλῶν ὄντων διὰ τὸ ἐγκόπτεσθαι αὐτούς, ἀπολαύσας, οὐδὲ ἔξω ταραχῆς ὑπάρχων, διὰ τὸ καὶ τοὺς ὕπνους ἐγκόπτεσθαι.

Ἐδεῖτο τοῦ θεοῦ πρηστῆρί τινι) πρηστήρ ἐστιν ἑλικοειδὴς κίνησις ἄνωθεν κάτω ἀέρος διαπύρου· καίει δὲ τὸ τοιοῦτον, ὅθεν καὶ παρὰ τὸ πιπρᾷν λέγεται.

Ἀπείρων ἀνθρωποειδῶς) σημείωσαι, ὅτι καὶ ἀνθρωποειδῶς τοῖς ἁγίοις ἄγγελοι ἐπιφαίνονται.

Ὑπὸ τῆς τῶν οἰκείων ποδῶν) σημείωσαι τὸ ὑπὸ τῆς τῶν οἰκείων ποδῶν ἀστασίας, ὃ δηλοῖ τὸ ἀδιάφορον τῆς προαιρέσεως· μὴ βουλόμενοι γάρ, οὐκ ἔπιπτον.

Εἰς τὸ ἀχανὲς) σημείωσαι, πῶς ὁ διάβολος ῥίπτει τοὺς ἀνθρώπους εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπερ ἐνταῦθα ἀχανὲς καλεῖ, τουτέστι βάραθρον, ἢ ἀπατῶν, ἢ ὠθῶν τοὺς πειθομένους αὐτῷ. ἔστι δὲ ὅτε καὶ ἀσελγεῖς ἀνθρώπους συνεργοὺς αὐτοῦ λαμβάνει εἰς τὴν ἑτέρων ἀπάτην, ὡς καὶ τὸν εἰδωλολάτρην ἐπὶ τὸν ναὸν ἀπατηθέντα, περὶ οὗ ὁ λόγος· διὸ καὶ ἐν τῇ ὀπτασίᾳ ἄνδρας ὁρᾷ μεταξὺ τῶν ὄφεων, τουτέστι τῶν δαιμόνων, ἕλκοντας τοὺς ὑπὸ τοῦ διαβόλου νικηθέντας, ὧν ἡμᾶς ὁ κύριος ἐλευθερώσει.

Ὑπὸ τοῦ κακοῦ) σημείωσαι τὸ ὑπὸ τοῦ κακοῦ, τουτέστι τῆς ἁμαρτίας, ὅπερ κυρίως κακὸν ἐν προαιρέσει κείμενον φα-

Ministerio de Educación, Cultura y Deporte

μὲν· τὸ δὲ ἄκοντες καὶ βιαζόμενοι, μὴ ἀναγκαστικήν τινα δύνα-
μιν, τουτέστι τὸν διάβολον νοητέον, ὡς μανιχαίοις καὶ μεσαλια-
νοῖς δοκεῖ· ἀλλ' ὅτι πειθόμενοι τὸ κακὸν πρᾶξαι τῷ ἀπατῶντι
χώραν δίδομεν συνεχῶς ἡμῖν ἐπιτίθεσθαι ἐξ ἡμῶν καὶ τοῦ ἡ-
μῶν λαμβάνοντα τὴν ἰσχύν· ἀδυνατήσει δὲ μὴ πειθομένων
ἡμῶν, ἐπειδὴ ἐγγύς ἐστιν ἡμῶν ἡ βοήθεια τοῦ θεοῦ συνεπιλαμ-
βανομένη, ὡς δηλοῖ τὰ ἑξῆς.

Καὶ χεῖρα ἀγαθὴν ὀρέγειν) σημείωσαι τὴν ἄφατον τοῦ κυ-
ρίου εὐσπλαγχνίαν.

Τῆς χειρὸς ἤδη προτεταμένης) τῆς χειρὸς τοῦ κάρπου δη-
λονότι.

Μὴ ἀνιῶν) τῶν σταυρούντων δηλαδὴ, τῷ κάρπῳ φησὶν
ὁ κύριος.

Ἀγαθῶν καὶ φιλανθρώπων) σημείωσαι, ὅτι καὶ αὐτὸς ὁ
κύριος ἀγαθοὺς καὶ φιλανθρώπους καλεῖ, τοὺς ἀγγέλους.

## ΤΙΤΩ ΙΕΡΑΡΧΗ ΕΠΙ-
## ΣΤΟΛΗ. θ'.

ΟΑΓΙΟΣ τίτος οὗτός ἐστιν ὁ τῷ ἀπο-
στόλῳ γνώριμος, ὃν καὶ κρήτης κατέστησεν
ἐπίσκοπον, ὡς ἡ πρὸς αὐτὸν τίτον γρα-
φεῖσα ἐπιστολὴ παρὰ τοῦ θείου παύλου
φησίν.

Ἀλλ' ἐν τῇ συμβολικῇ) ἣ περιέχει ἡ
συμβολικὴ θεολογία τοῦ μεγάλου διονυσίου.

Ἐναπομόργνυνται) ἀπομόρξασθαι ἐστὶ τὸ ἐναπομάξασθαι.
καὶ ἐμβάλλειν τι εἰς τὴν ἑαυτοῦ διάνοιαν. ἐκ μεταφορᾶς τῶν
ζωγράφων οἱ προσέχοντες τῇ ἀληθείᾳ, γράφουσι τὰς εἰκόνας.

Ministerio de Educación, Cultura y Deporte

τῆς ἀπορρήτου δὲ σοφίας πατέρας, τοὺς προφήτας φησίν.

Οὕτω γὰρ ἂν θεώμενοι, στερχθήσομεν) στερχθήσομεν, αἰτίᾳ τοῦ ἐν περιβασμῷ ποιησαίμεθα, ὑμνήσομεν, θαυμάσομεν, ἐκπλαγήσομεν. σημείωσαι δὲ ἐπὶ τῆς ἁγίας καὶ προσκυνητῆς τριάδος, τὸ πηγὴν ζωῆς εἰς ἑαυτὴν χεομένην, καὶ ἐφ' ἑαυτῆς ἑστῶσαν· δείκνυται γὰρ ἐντεῦθεν καὶ τὸ ὁμοούσιον, καὶ ὅτι ἡ μονὰς εἰς τριάδα πεπληθυῦσα, μέχρις αὐτῆς ἵσταται. οὕτω καὶ ὁ θεολόγος γρηγόριος ἐν τῷ πρώτῳ περὶ υἱοῦ λόγῳ φησί, καὶ ἐν τῷ δευτέρῳ εἰρηνικῷ. σημείωσαι δὲ τὸ ἀεὶ δι' ἑαυτῆς ἑαυτὴν θεωμένην. περὶ τῆς ἁγίας δὲ τριάδος καὶ τοῦτο φησί.

Τὰ γὰρ ἐκτὸς αὐτῆς) τῆς αὐτῆς, δηλονότι συμβολικῆς πλάσεως. κεῖται δὲ καὶ ἐνταῦθα, τὸ μὲν ὁπόσης, αἰτίᾳ τοῦ πολλῆς· τὸ δὲ τὰ ἐκτὸς, ἤτοι τὰ περιχείρως, ἐκ τῆς λέξεως ὑπαγορευόμενα.

Γαστέρα θεοῦ σωματικῶς) γαστέρα θεοῦ, διὰ τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου. λόγον εἰς ἀέρα, διὰ τὸ, Εξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. πνεῦμα ἐκπνεόμενον, διὰ τὸ, Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. κόλποις δὲ, διὰ τὸ, Μονογενὴς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. φυτικὸς δὲ, ἤγουν κατὰ τὴν τῶν φυτῶν ἰδέαν, διὰ τὸ ξύλον ζωῆς ἐστὶ καὶ τὸ, Εκ βλαστοῦ υἱέ μου ἀνέβης· καὶ τὸ, Ανθήσει καὶ ἐκβλαστήσει ἰακὼβ ἐπὶ χριστοῦ ληφθὲν, οὗ ὁ καρπὸς τῆς σωτηρίας, ἐπλήρωσε τὴν γῆν, καὶ τὰ ὅμοια. σημείωσαι οὖν, πῶς εἴρηται ἐπὶ θεοῦ γαστὴρ, καὶ ἐρυγὴ τοῦ λόγου, καὶ τὰ τοιαῦτα.

Η πηγὰς ὑδάτων) πηγὰς ὑδάτων κατὰ τὸ, Παρὰ σοὶ πηγὴ ζωῆς· καὶ τὸ, Εμὲ ἐγκατέλιπον πηγὴν ζωῆς ὕδατος ζῶντος, καὶ ὅσα τοιαῦτα. ἀπαυγάσματα δὲ, διὰ τὸ, Ος ὢν ἀπαύγασμα τῆς δόξης· καὶ, Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ φωτὶ ὀψόμεθα φῶς, καὶ τὰ παραπλήσια.

Ministerio de Educación, Cultura y Deporte

Ἐπὶ δὲ τῶν νοητῶν) δηλωτικά, τῶν μὲν προνοιῶν, τὸ, Ὡς ἀετὸς σκεπάσει τὴν νοσσιὰν ἑαυτοῦ, καὶ τὰ σὺν αὐτῷ. τὸ δωρεῶν δὲ, ὡς τὸ, Ἀνοίγεις σὺ τὴν χεῖρά σου· καὶ τὸ, Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· μᾶλλον δὲ καὶ τοῦτο τῆς προνοίας γνωριστικόν. ἐμφάσεων δὲ, διὰ τὸ ἐν σχήματι ἀνθρώπου ὀφθῆναι τοῖς ἐν τῇ παλαιᾷ ἁγίοις, καὶ ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα τὸ ἅγιον. προνοίας δὲ, καὶ τὸ τῶν ἀσεβῶν τιμωρητικόν· εἴρηται γοῦν παρὰ τῷ προφήτῃ, ὡς ἄρκτος ἀπορουμένη, καὶ ὡς πάρδαλις. τῶν μὲν οὖν δυνάμεων ὑπογραφικὰ ὀφθαλμοὶ καὶ ἑτέρων σωματικῶν μελῶν ὀνόματα. ἰδιοτήτων δὲ, ὡς παρὰ τῷ ἀμὼς ἀδάμας· ἴδιον γὰρ τῆς θείας φύσεως τὸ ἀπαθὲς καὶ ἀδάμαστον, ὥσπερ οὖν καὶ τὸ ἀναλωτικὸν τῶν μοχθηρῶν ἕξεων, καθ' ὃ εἴρηται, Ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον· καὶ τὰ λοιπὰ δὲ τῶν εἰρημένων, πρόδηλα τοῖς φιλοπόνοις. καὶ ἡ τούτων ἀναγωγική τε καὶ ἀλληγορικὴ θεωρία, οὐκ ἀσύμφωνον. ἔστι δὲ καὶ λαβεῖν, λήξεις μὲν καὶ μονὰς, τὸ τῆς θείας φύσεως ἀνομοίωτον καὶ ἀμετάστατον· ὅπερ διὰ τῶν θεμελιωτικῶν λίθων ὑποδηλοῦται. προόδους δὲ καὶ διακρίσεις, τὴν τῶν φυσικῶς αὐτῷ ἐνυπαρχόντων ἀγαθῶν μετάδοσιν, ὥσπερ ἐν ὑποδείγματι, ἡ ἐκ τοῦ κρίνου εὐοσμία, παρ' ὃ καὶ λέγεται, Ἄνθος τοῦ πεδίου κρίνον τῶν κοιλάδων. οὕτως οὖν νοητέον καὶ τὰς ἑνώσεις τὸ πρὸς αὐτὸν ἐπιστρεπτικὸν καὶ συνδετικὸν τῶν κτισμάτων, διὰ τοῦ ἀκρογωνιαίου λίθου δηλούμενον. κόσμοις δὲ γυναικείοις τὰ παρὰ τῷ Ἠσαΐᾳ κείμενα, τὸ παντοδαπὸν τῆς θείας προνοίας ὑπογράφοντα. ὥσπερ οὖν καὶ τὴν χωνείαν καὶ τὸ χωνευτήριον ὑποληπτέον τὴν ἀναπλαστικὴν πρόνοιαν, ἢ τὴν διακριτικήν τε καὶ καθαρτικὴν δύναμιν. τὰ γὰρ τῆς ὁπλιτικῆς διασκευῆς, πρόδηλα μὲν ἔνθα κεῖνται· δηλοῦσι δὲ τὸ καθαιρετικὸν καὶ ἀφαιρετικὸν τῶν ἐναντίων. βαρβαρικαὶ δὲ ὁπλο-

Ministerio de Educación, Cultura y Deporte

ποιῆσας ἴσως ἐκεῖνο τὸ, Ἐν ἱματισμῷ διαχεύσω, καὶ περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ· ἡ γὰρ ῥομφαία βαρβαρικόν ἐστιν ὅπλον, ὡς ἱστορεῖ φύλαρχος· ὁμοίως δὲ καὶ βάναυσός ἐστι πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος.

Καὶ δαῖτας τινας) δαῖτας τινὰς τὰς εὐωχίας φησὶν, ὡς ἐν τῷ εὐαγγελίῳ, ὅτε ὁ μόσχος ὁ σιτευτὸς, καὶ τὰ λοιπὰ γίνεται ἐν τῷ ἀσώτῳ υἱῷ.

Τὰ πολυειδῆ καὶ λοξὰ) ἁμαρτίας ἐπαγγελιῶν ἐν τούτοις φησὶ, τὸ ἐνίας τῶν προῤῥήσεων κατὰ τὸ πρόχειρον δοκεῖν, μὴ τέλος λαβεῖν τὰ ἐπαγγελθέντα, οἷόν ἐστιν ὡς ἐκ πολλῶν ὀλίγα παραθέσθαι, τὸ πρὸς τὸν Ἰακὼβ λεχθέν, Γίνου κύριος τοῦ ἀδελφοῦ σου· καὶ τὰ περὶ τῆς διαμονῆς τῆς εἰς τὴν βασιλείαν τοῦ σπέρματος Δαβίδ, ἅπερ ἐν τῷ προφανεῖ διημάρτον τῆς ἐκβάσεως· κατὰ δὲ τὴν ἀκριβῆ θεωρίαν οὐδαμῶς· τὸ μὲν γὰρ τοῦ Ἰακὼβ διὰ τῆς τῶν ἐξ αὐτοῦ ἐπικρατείας καὶ τῆς εἰς Χριστὸν ἀναγωγῆς πεπλήρωται, ὥσπερ καὶ αἱ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίαι, περὶ τῆς κατασχέσεως τῆς γῆς καὶ τῆς τῶν ἐθνῶν εὐλογίας. τὰ δὲ πρὸς Δαβὶδ μόνως εἰς τὸν Χριστὸν ἀναφέρεται. ὁμοίως δὲ καὶ τὰ περὶ Σολομῶντος δοκοῦντα ἐν τῷ οβ. εἰρῆσθαι ψαλμῷ, τὰς οὖν ἐν τούτοις ἐξηγητικὰς ἀποδόσεις, τὸ ποικίλον ἐχούσας, πολυειδῆ ἐκάλεσε σοφίσματα, οὐχ ὡς παραλογιστικῶς τεχναζόμενα τὴν ἀλήθειαν, ἀλλ' ὡς σαφῶς ἀναπτύσσοντα τὸ ζητούμενον.

Τῶν συνθημάτων) συνθημάτων φησὶ, τῶν συμβολικῶς γινομένων, ἃ ὑπὲρ ἑαυτῶν, τουτέστιν ὑπὲρ τοῦ οὕτως νοεῖσθαι αὐτὰ, ὡς τὸ φαινόμενον ἔχει, καὶ τὸ γράμμα ψιλῶς ὑπαγορεύει, οὐ τυποῦσθαι φησὶν, ἀλλὰ προκάλυμμα εἶναι καὶ τύπον τῶν βαθυτέρων νοήσεων καὶ ὑπολήψεων. τοῦτο δέ φησιν, ὅτι τὰ σύμβολα οὐχ ὑπὲρ ἑαυτῶν τὰ συνθήματα τὰ μυστικὰ ἐπινενό-

Ministerio de Educación, Cultura y Deporte

σαι, ἀλλὰ διὰ τοὺς ἀναξίους, ἵνα μὴ προκείμενα αὐτοῖς εὐκαταφρόνητα δοκοίη.

Τὴν μὲν, ἀπόρρητον) τὴν μὲν ἀπόρρητον καὶ μυστικὴν παράδοσιν τῆς γραφῆς αὐτὴν ἐπεξηγεῖται, καλῶν συμβολικὴν, ἅτε διὰ συμβόλων χρησμωδοτηθεῖσαν· ἀλλὰ καὶ τελεστικὴν, ὡς τὰς τελετὰς τῶν μυστηρίων ἐν συμβόλοις παραδιδοῦσαν διὰ τῆς ἱερατικῆς παραδόσεως. ταύτην δὲ τὴν ἀπόρρητον, ἤτοι συμβολικὴν φησὶν ἔχειν συμπεπλεγμένον τῷ ῥητῷ, τουτέστι τῷ ῥηθῆναι δυναμένῳ συμβόλῳ, καὶ τὸ ἄρρητον ἤτοι μυστικόν· συνεσκίασται γὰρ ἐν τῷ συμβόλῳ τὸ ἀληθὲς καὶ ἀδημοσίευτον, ὡς ἐν τῷ νομικῷ πάσχα τὸ ἀληθὲς, ὅπερ εἴρηται, Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη χριστός. τὸ δὲ δεύτερον μόριον τῆς θεολογικῆς παραδόσεως, ἐμφανές ἐστι καὶ γνώριμον, οὐ μὴν διὰ συμβόλων, ὅπερ καὶ φιλόσοφον καλεῖ, καὶ ἀποδεικτικὸν, οἷόν ἐστι τὸ τὰ ἠθικὰ, καὶ φυσικὰ, καὶ πρακτικὰ τῆς δημιουργίας παραδιδόν. τοῦτο δὲ τὸ ἐμφανέστερον ἔχει τινὰ πειθὼ καὶ συνδεδεμένην τὴν ἀλήθειαν τοῖς λεγομένοις· κατὰ τοῦτο γάρ ἐστι καὶ ἀποδεικτικόν. τὸ δὲ συμβολικὸν, οὐκ ἔχει τὸ πείθειν, ἀλλ' ἐνέργειάν τινα θαυμαστὴν ἀφανῆ καὶ δραστήριον, ἥτις τὰς μυστηριώδεις καὶ θεωρητικὰς ψυχὰς διὰ τῶν μυστικῶν, ἤτοι συμβολικῶν αἰνιγμάτων ἐνιδρύει, καὶ οἱονεὶ θεμελιοῖ εἰς χριστὸν, διὰ τῶν μὴ λόγῳ διδασκομένων μυστηρίων, ἀλλὰ σιγῇ καὶ ἀποκαλύψει ἐλλάμψεων θεοῦ φωτίζει τὸν νοῦν εἰς τὰς τῶν ἀρρήτων μυστηρίων κατανοήσεις. σημείωσαι δὲ, ὡς διπλῆ ἐστι τῶν θεολόγων ἡ παράδοσις, καὶ πῶς, καὶ ποία ἐστί.

Καὶ τὴν μὲν, συμβολικὴν) συμβολικὴν καὶ τελεστικὴν, τὴν διὰ συμβόλων τελουμένην, οἷα τὰ τῆς νομικῆς λατρείας, καὶ τὰ τῆς μυστικῆς τῆς παρ' ἡμῖν ἱερουργίας μυστήρια, εἰ καὶ μᾶλλον ὑψηλά τι καὶ πνευματικὰ τὰ ἡμέτερα. φιλόσοφον δὲ

Ministerio de Educación, Cultura y Deporte

καὶ ἀποδεικτικὴν, τὴν διὰ τῆς κατανοήσεως τῶν κλισμάτων, καὶ τινῶν θείων οἰκονομιῶν, καὶ τῆς θεωρητικῆς ἐξηγήσεως τῶν περὶ θεοῦ λεγομένων ἐν ταῖς γραφαῖς συνισταμένην.

Πείθει καὶ καταδεῖται) πείθει καὶ καταδεῖται, οἱονεὶ δεσμόν τινα καὶ σφραγῖδα ἐπιτίθησι τοῖς λεγομένοις, τὴν ἀλήθειαν καὶ τὸ πιστὸν τοῖς ἀκούουσι δίδωσι. τὸ δὲ συμβολικὸν, διὰ τῶν τελουμένων περιστικοῖς τῷ θεῷ, πραγματικῇ ἕξει τε καὶ τυπώσει, ὅπερ καὶ ἀδιδάκτους μυσταγωγίας ἐκάλεσεν.

Η τῆς νομικῆς παραδόσεως) ὅτι οὐ μόνον ἡ νομικὴ παράδοσις, ἀλλὰ καὶ ἡ τελετὴ τῶν καθ' ἡμᾶς μυστηρίων τῶν ἱερῶν ἐδεήθη συμβόλων. καὶ οὐδὲν θαυμαστὸν, ὅπου καὶ οἱ ἄγγελοι δι' αἰνιγμάτων τὰ θεῖα μυστήρια παράγουσι, καὶ αὐτὸς ὁ κύριος ἐν παραβολαῖς φαίνεται θεολογῶν.

Τῆς τῶν θεολόγων παραδόσεως,

| ἡ μὲν ἀπόρρητος καὶ μυστική, ἥτις ἐστὶ καὶ συμβολική, καὶ τελεστική, καὶ δραστική. | ἡ δὲ, ἐμφανὴς καὶ γνώριμος, ἥτις ἐστὶ φιλόσοφος καὶ ἀποδεικτικὴ καὶ πιθανή. |
|---|---|

Συμβόλων) φυσιολογία τὴν αἰτίαν ἔχουσα, διὰ τί, τὰ μὲν συμβολικὰ, τὰ δὲ ἄχραντα τῆς γραφῆς παραδέδοται.

Δι' αἰνιγμάτων) δι' αἰνιγμάτων, ὡς ὁ παρὰ τῷ Ζαχαρίᾳ ἄγγελος τὰ περὶ τοῦ Ἰησοῦ τοῦ Ἰωσεδὲκ, καὶ τῆς στολῆς αὐτοῦ τυπῶν καὶ λέγων· καὶ παρὰ τῷ Δανιὴλ ὁ Γαβριὴλ, τὰ περὶ Χριστοῦ διηγούμενος, καὶ τὰ σὺν αὐτῷ μυστικὰ ὑπαγορεύων, καὶ ἕτερα τοιαῦτα. θεουργὰ δέ φησιν, ἢ τὰ θεὸν ἀποτελοῦντα τὸν μετέχοντα αὐτῶν, ἢ τὰ παρὰ θεοῦ εἰργασμένα.

Διὰ τυπικῆς τραπεζώσεως) τραπέζωσιν φησὶ, τὰ ἐν τῇ

Ministerio de Educación, Cultura y Deporte

διὰ τραπέζη διὰ τοῦ ἁγίου ἄρτου καὶ τοῦ ποτηρίου τῆς εὐλογίας τελούμενα μυστήρια. σημείωσαι δὲ, ὅτι καὶ ἡ παλαιὰ καὶ ἡ νέα γραφὴ πολλὰ διὰ συμβόλων παραδίδωσι, καὶ διὰ τύπων.

Τὴν ἀνθρωπίνην ζωὴν) ἀμέριστον οἶμαι εἰρηκέναι αὐτὸν τὴν ἀνθρωπίνην ζωὴν καὶ μεριστήν, τὸ μὲν, διὰ τὸ τῆς ψυχῆς ἀμερὲς καὶ ἀσώματον· τὸ δὲ, διὰ τὸ τοῦ σώματος ποικίλον τε καὶ πολυμερές. ὅρα δὲ, πῶς θαυμασίως τὰ τῆς ψυχῆς παραδίδωσι· τὸ μὲν γὰρ αὐτῆς, ἀμέριστον φησὶν, ὃ καὶ ἀπαθὲς καλεῖ· τοῦτο δέ ἐστι τὸ τῆς ψυχῆς ἀκραιφνέστατον, καὶ αὐτὸ ὡς ἄν τις εἴποι, τὸ ἄνθος, ὅπερ ἐστὶν ὁ νοῦς, ὁ καὶ τὸ λογικὸν περιέχων, καθ' ὃν νοοῦσι καὶ νοερὰ ἡ ψυχὴ, ἐν ᾧ περ νῷ τὰ ἁπλᾶ καὶ οἷον γυμνὰ συμβόλων χωρὶς μυστήρια ἐπιστητῶς ἐποπτεύεται. τὸ δὲ αὐτῆς μεριστόν ἐστιν, ὃ καὶ παθητικὸν φησί. τοῦτο δέ ἐστιν, ἡ τῆς ψυχῆς δύναμις ἡ πρὸς τὰς αἰσθήσεις ἑνουμένη διὰ τοῦ πνεύματος τοῦ μέσου τῆς ψυχῆς καὶ τοῦ σώματος, ἐν ᾧ πνεύματι ἐναπεσφραγισμέναι εἰσὶν αἱ τῆς αἰσθήσεως, καὶ τῶν διανοήσεων τῶν διὰ τῆς σκέψεως γνωριζομένων δυνάμεις. τοῦτο οὖν παθητικόν ἐστι τῆς ψυχῆς, ἅτε διὰ τῶν αἰσθήσεων εἰς προσπάθειαν ταύτης τῶν αἰσθητῶν καταφερομένης. τοῦτο δὲ τὸ μέρος, φέρε εἰπεῖν, τῆς ψυχῆς, ὡς ὁ νοῦς οὐκ ἔστι καθαρὸν, οὔτε ἐποπτεῦσαι δύναται τὰ θεῖα καὶ ἐπιστητὰ καὶ νοητὰ ἀμέσως, ἀλλὰ δεῖται μέσου τινὸς παχυτέρου, καθάπερ χειραγωγοῦντος αὐτὸ ἐπὶ τὰ ἁπλᾶ καὶ ἀμέριστα· ὅπερ ποιεῖ τὰ σύμβολα διὰ τῶν μεριστῶν, τουτέστι τῶν αἰσθητῶν καὶ φαινομένων ἐπὶ τὰ ἄρρητα ξεναγοῦν.

Καὶ τὸ μὲν ἀπαθὲς τῆς ψυχῆς) ἀπαθὲς τῆς ψυχῆς, τὸ νοερὸν, οὐχ ὡς πάντη ἀμέτοχον πάθους, ἀλλ' ὡς ἔξωθεν τοῦ πάθειν οὐκ ἔχον τὰς ἀφορμὰς, ὥσπερ τὸ σῶμα πλείστοις ὑποπῖπτον κακοῖς συμπτώμασιν, ὅπερ ἡ ψυχὴ αὐτὴ τῆς οἰκείας

ἑκουσίο-

ἐκ ποιότητος οὐχ ὑπομένει· παθητικὸν δὲ αὐτῆς, τὸ διὰ τῶν αἰσθήσεων ἀντιληπτικὸν τῶν ἔξωθεν, ᾧ τινὶ συγγενὲς ἔφη τὸ διὰ συμβόλων σωματικῶν παραδίδοσθαι τὰ θεῖα, δι' ὧν πρὸς τὴν τῶν ἀΰλων ἀναγόμεθα θέαν.

Θεολογίας σαφοῦς) ὅτι καὶ οἱ θεολογίας σαφοῦς καὶ γυμνῆς προκαλυμμάτων ἀκηκοότες τύπους τινὰς ἐν ἑαυτοῖς ἀναπλάττουσι πρὸς νόησιν τοὺς ἀκροωμένους χειραγωγοῦντες. Ἄλλως. Θεολογίας σαφοῦς, οἷον ὤφθη κύριος τῷ Ἀβραάμ, ἢ τῷ Μωσεῖ, καὶ εἶπεν ὁ κύριος, καὶ ἐγένετο ὁ λόγος κυρίου πρὸς τὸν προφήτην, καὶ τὰ τοιαῦτα. σαφοῦς δὲ, ὡς οὐ διὰ συμβόλων τυπωτικῶν. τύπον οὖν φησὶν ἀναπλαττόμενον, τὴν ἐπινοουμένην ἐπὶ τοῖς τοιούτοις ῥητοῖς εὐσεβῆ θεωρίαν καὶ τῇ θείᾳ φύσει κατάλληλον.

Τύπον τινὰ πρὸς τὴν νόησιν) ὥσπερ ὅταν ἐκ δένδρων τὰς ὑποστάσεις τῆς προσκυνητῆς τριάδος παρίστησιν ὁ θεῖος Ἀθανάσιος, καὶ ἐξ ἄλλων οἱ λοιποὶ ἅγιοι· ἢ καὶ αὐτὴ ἡ τοῦ κόσμου δημιουργία τῶν ἀοράτων τοῦ θεοῦ προβέβληται τύπον τινὰ συμβόλων τάξιν ἐπέχουσα.

Καθάπερ φησὶ παῦλος) ὁ μὲν ἀπόστολος οὕτω φησί, Τὰ γὰρ ἀόρατα αὐτοῦ, ἥτε ἀΐδιος αὐτοῦ δύναμις, ἐν τοῖς ποιήμασι καθορᾶται· ὁ δὲ χριστὸς, τοῦτον γὰρ οἶμαι, καλεῖ τὸν ἀληθῆ λόγον, ὅταν λέγῃ, Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε, καὶ ὅσα τοιαῦτα.

Διὸ καὶ οἱ θεολόγοι) πολιτικῶς μὲν καὶ ἐννόμως τὴν τῶν κατορθούντων ἀποδοχὴν καὶ εὐπάθειαν καὶ τῶν πλημμελούντων τὴν κάκωσιν καὶ κατάκρισιν. καθαρτικοῖς δὲ καὶ ἀρχαίοις τὰς νουθεσίας καὶ προφυλακτικὰς παραινέσεις· ἀνθρωπικῶς δὲ καὶ μέσως, οἷον τὰς πεύσεις, ὡς τὸ, Ποῦ Ἄβελ ὁ ἀδελφός σου· καὶ τὸ, Καταβὰς ὄψομαι· καὶ τὸ, Κύριος ἐξετάζει τὸν δίκαιον καὶ



Ministerio de Educación, Cultura y Deporte

τὸν ἀσεβῆ. ἅτινα καὶ μέσως ἔχουσι τῶν τε θεοπρεπόντων, καὶ τῶν πάντη ἀπεμφαίνειν δοκούντων, τουτέστιν ὁμοιώσεως θηρίων καὶ ξύλων ἀψύχων. ὑπερκοσμίως δὲ καὶ πλεστουργικῶς φησὶ τὰς λόγῳ καὶ μόνῳ βουλήματι παραδοξοποιΐας· νόμοις δὲ φαινομένοις, ὡς ὅταν ἀπολογίας ἀξιοῖ τὴν ἐν ἐρήμῳ βιασθεῖσαν παρθένον, καὶ τὰ ὅμοια. ἀφαιρεῖς δὲ θεσμοὺς, οἷον, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα καὶ ἕτερα τοιαῦτα. πολυτρόπως δὲ ἔφη ὁ πατὴρ, διότι, τὰ μὲν, συμβολικῶς· τὰ δὲ, ἀγράπτως καὶ ὑπερκοσμίως ἡ γραφὴ παραδέδωκε.

Τὰ μὲν, πολιτικῶς) τῆς φιλοσοφίας, τὸ μὲν, ἐστὶ πρακτικόν· τὸ δὲ, θεωρητικόν. καὶ τοῦ μὲν πρακτικοῦ, τὸ μὲν, ἐστὶ κοινὸν, ὃ καὶ πολιτικὸν καλεῖται, οἷον τὸ νομοθετικόν· τὸ δὲ, ἴδιον, οἷον τὸ ἠθικόν· μέσον δὲ πρακτικοῦ, τὸ οἰκονομικόν. τοῦ δὲ θεωρητικοῦ, τὸ μὲν, ὠνόμασται φυσικὸν, τὸ ἐν αἰσθητοῖς καὶ μεταβλητοῖς, ὃ καὶ κοσμολογικόν ἐστι· τὸ δὲ, ἐποπτικὸν καὶ θεολογικὸν, τὸ ἐν νοητοῖς καὶ ἀϊδίοις· ταῦτα νῦν ἐξέθετο ἐν τύποις. μέσον δὲ τοῦ θεωρητικοῦ, τὸ ἐν ἀϊδίοις καὶ αἰσθητοῖς, ὅπερ ἐστὶν ἀστρονομικὸν καὶ μαθηματικόν, ὅπερ, ἡ μὲν γραφὴ οὐ λέγει, οἱ δὲ Ἑβραῖοι ἐν τῷ δευτερονομίῳ ἔχουσιν.

Οὐ γὰρ ἱστορείαν ψιλὴν) ὅτι τὰ συμβολικῶς, ἤτοι ἱστορικῶς τῇ γραφῇ εἰρημένα, οὐχ ἱστορίαν ἔχει ψιλὴν, ἀλλὰ ζωτικὴν τελείωσιν. ζωτικὴν δὲ τελείωσιν λέγει, τὸ σκοπὸν εἶναι τοῖς ἁγίοις διὰ τῶν γραφῶν πρὸς τὴν αἰώνιον ζωὴν τελειοῦσθαι τοὺς διδασκομένους. ταῦτα δὲ φησὶ, δείκνυσιν ἀναγκαίως τὴν ἀναγωγὴν καὶ ἀλληγορείαν παραλαμβάνεσθαι.

Ἱεροπρεπῶς διαβαίνειν) διαβαίνειν, γράφεται καὶ διαβάλλειν, ὅ ἐστιν εἰσβαλεῖν καὶ εἰσελθεῖν, ἔσω τε γενέσθαι τοῦ πράγματος· οὕτω φησὶ καὶ διονύσιος.

Τὰ ὑπερούσια φῶτα) ὑπερούσια φῶτα, καὶ νοητὰ, καὶ θεῖα,

Ministerio de Educación, Cultura y Deporte

τὴν πανάχραντον καὶ παναγίαν τριάδα φησί· νοητοὺς δὲ ἀγγέλους, τοὺς ὑπεραναβεβηκότας· τὴν δὲ διαφορὰν τούτων παρεστήκαμεν ἐν τῷ περὶ θείων ὀνομάτων πλείως.

Κατὰ τῶν νοητῶν αὐτοῦ προνοιῶν) ἐπὶ μὲν προνοιῶν, ὡς τὸ ἐν εὐαγγελίοις, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· λόγων δὲ, ὡς παρὰ τῷ Ἱερεμίᾳ, Οὐχ οὕτως οἱ λόγοι μου ὥσπερ πῦρ, λέγει κύριος. τὴν τοῦ πυρὸς οὖν εἰκόνα δηλονότι, ἐπὶ τοῦ θεοῦ διχῶς δεῖ ἐκλαβεῖν, καὶ διχῶς ἐπὶ τῶν νοητῶν, ἀγγέλων δηλονότι καὶ προνοιῶν θεοῦ καὶ λόγων.

Καὶ τὴν μὲν, κατ' αἰτίαν) τὴν τοῦ πυρὸς εἰκόνα κατ' αἰτίαν δηλαδὴ ἐπὶ τῶν λογίων κυρίου· τὴν δὲ καθ' ὕπαρξιν, ἐπὶ θεοῦ· τὴν δὲ κατὰ μέθεξιν, ἐπὶ τῶν ἀγγέλων· τὸ δὲ καθ' ὕπαρξιν τοῦ κατὰ μέθεξιν διαφέρει ἐν τούτοις· τὸ μὲν γὰρ, δηλοῖ οὐσίαν καθ' ἑαυτὴν οὖσαν. καὶ ἐπίσακτον ἔχουσαν τὸ θεοειδές, ὥσπερ ἐπὶ τῶν ἀγγέλων· τὸ δὲ, καθ' ὕπαρξιν πρᾶγμα. ἢ λόγιον θεῖον, τουτέστιν ἐκ θεοῦ προαχθέν.

Ὡς ἡ κατ' αὐτὰ θεωρία) ὅτι πρὸς τὰ ὑποκείμενα καὶ οἱ τόποι νοοῦνται, κἂν οἱ αὐτοὶ ὦσιν.

Ὑφ' ὑμῶν ζήτησιν) ἦλθεν εἰς ἐρώτησιν καὶ τὸ τῶν παροιμιῶν πρόβλημα, καὶ φησὶ περὶ δυνάμεως σοφίας.

Τὴν δὲ, ὑγρὰν) σημείωσαι, ὅτι τὸ πίνειν ὑγρὰν σοφίαν ἐκάλεσε.

Κρατὴρ περιφερὴς) θεωρία τοῦ κρατῆρος καὶ τῆς αὐτοῦ περιφερείας.

Ἀνάρχου καὶ ἀπελευτήτου) ἄναρχον φησὶ, τοῦ θεοῦ τὴν πρόνοιαν, οὐχ ὅτι τῶν ὄντων ὡς συνανάρχων προενόει κατὰ τοὺς ἀφραίνοντας καὶ λέγοντας, Ἅμα θεὸς, ἅμα πάντα. ἀλλ' ὅτι καὶ πρὶν ἢ παραχθῶσι τὰ ὄντα ἐν ταῖς ἰδέαις, ἤτοι παραδείγμασι τοῦ θεοῦ, τουτέστιν ἐν ταῖς ἀϊδίοις αὐτοῦ νοήσεσιν, ἃς προο-



Ministerio de Educación, Cultura y Deporte

ρισμοὺς ὀνομάζειν τὸν θεῖον παῦλον, ἐν τῷ περὶ θείων ὀνομάτων ἔφημεν, καθ' ἃς ἰδέας τὰς ἐννοήσεις τοῦ θεοῦ, τὰ μέλλοντα παράγεσθαι προεκτετύπωτο. καὶ ἡ πρόνοια τοῦ θεοῦ ἀνάρχως προϋπῆρχε πάσης κτίσεως· προνοίας γὰρ θείας ἐστὶν, ἤτοι προεννοήσεως, τὸ βούλεσθαι παραγαγεῖν, κτίσιν τὴν ἀπολαύσουσαν τῆς προνοητικῆς αὐτοῦ ἀγαθότητος. κατὰ τοῦτο οὖν καὶ ἀτελεύτητος, ἡ πρόνοια λέγεται εἰς τοὺς ἀθανάτους ἀγγέλους καὶ τοὺς ἀπαθαναπαθησομένους ἡμᾶς, καὶ τὰ δι' ἡμᾶς ἀγαθὰ ἐσομένη.

Οἰκοδομοῦσα δὲ καὶ ἡ σοφία) ἤγουν διὰ τὸ οἰκοδομεῖν τὴν σοφίαν ἑαυτῇ οἶκον, καὶ ἐν αὐτῇ ἐπιμάζειν, ἃ ἔφη, καὶ ἔξω εἶναι αὐτοῦ, καὶ ἐν αὐτῷ.

Καὶ ἐν τῷ παντὶ λέγεται) περὶ τούτου εἴρηται καὶ ἐν τῷ περὶ θείων ὀνομάτων, πῶς ἑστὼς καὶ κινούμενος. σημειωτέον δὲ, ὅτι πρόνοιαν τὸν θεὸν φησίν.

Ἐν τῷ αὐτῷ καθ' ὑπεροχὴν) καὶ ἐν τούτοις τὸ καθ' ὑπεροχὴν πρὸς τὸ μὴ κατὰ στέρησιν καὶ ἀνυπαρξίαν λαβεῖν ἡμᾶς τὰ προκείμενα, εἴληπται.

Καὶ ἑστηκὼς) ἐνταῦθα δοκεῖ μοι σαφηνίζειν, ἤγουν ἑστία, τουτέστιν ἡ ὡς ἔστι διαμονὴ ἀπὸ τοῦ ἑστὶ παρηγμένου τοῦ ὀνόματος τῆς ἑστίας.

Καὶ οὐδαμῶς ἔξω αὐτοῦ) ἐπειδὴ, τὸ μὲν ἑστὼς, ἐπὶ τῆς κατὰ τὸ ἀναλλοίωτον μονιμότητος ἔλαβε· τὸ δὲ κινούμενος, ἐπὶ τῆς εἰς τὰ ὄντα προνοίας, ἐφ' ἑκατέρου τούτων νοεῖν ἡμᾶς χρὴ καὶ προσεπάγειν τὸ καθόλου, ἵνα ᾖ τοιοῦτον τὸ λεγόμενον, οὔτε ἑστὼς καθόλου, ὡς μὴ κινεῖσθαι προνοητικῶς· οὔτε κινούμενος καθόλου, ὡς τῆς οἰκείας μεθίστασθαι μονιμότητος.

Ἄλλως. Ὅτι τὸ ἀεὶ ἑστάναι καὶ κινεῖσθαι περὶ θεοῦ λεγόμενον, τὴν ἐν τῇ μονιμότητι προνοητικὴν αὐτοῦ ἐνέργειαν δη-

Ministerio de Educación, Cultura y Deporte

λοῖ· τὸ δὲ μηδὲ ἑστάναι, μηδὲ κινεῖσθαι, τὴν ἐν τῷ περινοεῖν αὐτοῦ μονὴν παρίστησι. πάντα δὲ τὰ ἐν τούτῳ, ἐν τῷ περὶ θείων ὀνομάτων πολλάκις διελελύθαμεν.

Τὴν μὲν οὖν στερεὰν τροφήν) ὡς ἡ στερεὰ τροφή, καὶ ὡς ἡ ὑγρά, καὶ ὅτι στερεὰ τροφή ἐστιν ἡ μόνιμος τελειότης.

Καὶ δύναται τὴν καὶ ἑνιαίαν) ἑνιαίαν καὶ ἀδιαίρετον γνῶσιν φησί, τὸ ἐν τοῖς περὶ θεοῦ λόγοις, μὴ πρὸς τὰς ὑλικὰς ἐννοίας καταμερίζεσθαι τὸν νοῦν, ἀλλὰ μονοτρόπως τὸ ὑπὲρ φύσιν καὶ ἀνεξιχνίαστον τῆς θείας φύσεως λογίζεσθαι τὸν τὰ αἰσθητήρια τοῦ ἔντος ἀνθρώπου γεγυμνασμένα ἔχοντα.

Καὶ μετεισῶν) κατὰ κοινοῦ τὸ σύνθημα φέρειν οἴομαι τῆς διαχυτικῆς, καὶ τὰ ἑξῆς.

Χειραγωγούσης) οὐχ ἑνὶ γὰρ τρόπῳ, ἀλλὰ πολυειδεῖ καὶ ποικίλως τοὺς διδασκομένους ἐπὶ τὸ τέλειον τῆς θεογνωσίας ἄγεσθαι ἴσμεν.

Δωρεῖται τοῖς προσιοῦσι) ὡς δηλοῖ τὰ σύμβολα.

Τὸ ἀληθῶς εὐωχεῖν) σημείωσαι, ὅτι τὸ τῆς εὐωχίας ὄνομα, ὁ πατήρ, εἰς τὸ εὖ ἔχειν ἐτυμολογεῖ.

Ζωοποιὸς ἅμα καὶ κουροτρόφος) τὸ τρέφειν νεανίας ἀγαθούς, ἐξ ὁμήρου δὲ τοῦτο· κόρος γὰρ ὁ νεανίας καὶ κατὰ πλεονασμὸν τοῦ υ, κοῦρος, ὅθεν καὶ κουροτρόφος.

Θεὸς μεθύειν λέγεται) σημείωσαι, πῶς μεθύειν λέγεται ὁ θεός, καὶ ἐκ τίνος καὶ ὡς ἡ ἐφ' ἡμῶν μέθη, καὶ πῶς λέγεται ἐπὶ θεοῦ ἔκστασις.

Ὑπὲρ τὸ νοεῖν ὤν) ὅτι ὁ θεὸς καὶ ὑπὲρ τὸ νοεῖν ἐστι, καὶ ὑπὲρ τὸ νοεῖσθαι, καὶ ὑπὲρ τὸ εἶναι.

Μεμεθυσμένος ἅμα) σημείωσαι ἐν συντόμῳ, πῶς μεμεθυσμένος καὶ ἐξεστηκὼς λέγεται ὁ θεός.

Κατὰ τὸ αὐτὸ ἐκληψόμεθα) ἵνα τὰ λεγόμενα δεῖπνα,



Ministerio de Educación, Cultura y Deporte

ἤτοι συμπόσια ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Τὴν ἀνάκλισιν) ὡς ἡ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀνάκλισις, ὅτι ἀνάπαυσις, καὶ ἀβλαβὴς ζωή, καὶ τὰ ἑξῆς.

Καθ' ἣν εὐφροσύνης) τὴν εὐφροσύνην, ἤτοι τὸ εὐφρονεῖν· τοῦτο γάρ ἐστιν εὐφροσύνη· τὸν ἰησοῦν εἰκότως λέγει.

Καὶ τὸν εὐφημούμενον ὕπνον) πῶς ἔλαβεν ἐπὶ θεοῦ ὕπνον καὶ ἐγρήγορσιν.

Τὴν συμβολικὴν θεολογίαν) σημείωσαι, ἃ περιέχει ἡ συμβολικὴ θεολογία. διεξοδικώτερον δὲ, τουτέστι πλατυκώτερον, διήρθρωται καὶ διατετύπωται.

## ΙΩΑΝΝΗ ΘΕΟΛΟΓῼ ἐπιστολὴ ι.

Η ΜΕΝ ἐπιστολὴ ἀξία τῆς ἀρχαιότητος ἐκείνης τῆς ἱερᾶς, καὶ τοῦ μαθητοῦ ὃν ἠγάπα ὁ ἰησοῦς, τὴν χάριν ἀπαγγέλλουσα. ἔστι δὲ συμβαλεῖν ἐκ τῆς ἐπιστολῆς ταύτης καὶ ἐκ τῆς πρὸς τὸν ἅγιον πολύκαρπον ζ. οὔσης, εἶναι τὸν μέγαν διονύσιον ὅτε ταῦτα ἔγραφεν, ἐτῶν περίπου ἐνενήκοντα· ἐν μὲν γὰρ τῇ πρὸς τὸν ἅγιον πολύκαρπον φησὶν ἐν τῇ κατ' αἴγυπτον ἡλιουπόλει διάγων θεάσασθαι τὴν παρὰ φύσιν γενομένην ἔκλειψιν τοῦ ἡλίου ἐν τῷ σωτηρίῳ σταυρῷ τοῦ χριστοῦ, ὅπερ γέγονε τῷ. ιη. ἔτει τῆς τιβερίου βασιλείας· τῷ γὰρ ιε. ἔτει αὐτοῦ ἤρξατο τοῦ κηρύγματος ὁ κύριος ἰησοῦς, ὡς ἐν τῷ κατὰ λουκᾶν δηλοῦται εὐαγγελίῳ. τρία δὲ ἔτη μετ' ὀλίγων μηνῶν κηρύξας, ἑκὼν πάσχει ὁ κύριος καὶ θεὸς ἡμῶν, ὡς εἶναι τιβερίου ιη. ἔτος. ἐβασίλευσε δὲ τιβέριος ἀμφὶ τὰ κγ. ἔτη, ὡς εἶναι ἀπὸ τοῦ σωτηρίου πάθους ἕως πλου-

Ministerio de Educación, Cultura y Deporte

τῆς τιβερίου, σχεδὸν ἔτη ξζ. ἐξωρίσθη δὲ ὁ ἅγιος εὐαγγελιστὴς ἰωάννης ἐν πάτμῳ τῇ νήσῳ, ἥτις ἐστὶ μία τῶν κυκλάδων, περὶ τὸ τελευταῖον ἔτος τῆς δομετιανοῦ βασιλείας. ἐβασίλευσε δὲ οὗτος ἔτη ιε. καὶ μῆνας ε. συνάγονται δὲ ἀπὸ τοῦ ιη. ἔτους τιβερίου, ὅτε ἡ ἔκλειψις, ἕως τῆς τελευτῆς δομετιανοῦ ἔτη ξδ. περί που καὶ μῆνας ζ. ὑποθώμεθα δὲ καὶ τὸν θεῖον διονύσιον, ὅτε τὰ ἐπὶ τῷ σταυρῷ τοῦ κυρίου εἶδεν, εἶναι κε. ἐτῶν, ἅτε οἶμαι καὶ ἔτι ἀναγινώσκοντα, ὡς εἶναι τὰ πάντα ἀμφὶ τὰ ἐνενήκοντα ἔτη. μέμνηται δὲ τῆς ἐπὶ δομετιανοῦ ἐξορίας τοῦ ἁγιωτάτου ἰωάννου καὶ εἰρηναῖος ἐν τρίτῳ καὶ πέμπτῳ τῶν κατὰ αἱρέσεων, ἔνθα καὶ τὸν χρόνον ἐσημειώσατο, καὶ κλήμης ὁ ἀλεξανδρεὺς, ἐν τῷ λόγῳ τῷ περὶ, τίς ὁ σωζόμενος πλούσιος.

Οὐδὲ γὰρ ἐν τοῖς αἰῶσι) σημείωσαι, ὅτι οὐχ ὁ θεὸς αἴτιος τοῦ ἀφορισμοῦ τοῖς ἁμαρτωλοῖς τῆς ἐν ἀριστερᾷ στάσεως. ἀλλ᾽ αὐτοὶ ἑαυτοῖς αἴτιοι τούτων, οἱ ἁμαρτωλοὶ παντελῶς ἑαυτοὺς ἀφορίσαντες τοῦ θεοῦ.

Καὶ θεωνυμία) θεωνυμίαν φησὶν, ἢ τὸ πάντοτε ἐν τῷ ὀνόματι τοῦ θεοῦ πάντα πράττειν αὐτοὺς, ἢ ὅταν τοὺς ἀπὸ τοῦ θεοῦ, ἤγουν τοῦ χριστοῦ ὀνομαζομένους κατ᾽ αὐτὸν πολιτεύεσθαι ὑπάρχῃ καὶ αὐτοὺς λεγομένους θεούς.

Τοῦ εὐαγγελίου τὸν ἥλιον) τὸν τοῦ εὐαγγελίου ἥλιον, τοῦτον τὸν θεῖον ἰωάννην, ὀνομάζει δικαίως. φησὶν οὖν, ὅτι ἐγὼ εἰκότως αἰτιώμενος καὶ μεμφόμενος τοὺς νομίζοντάς σε τὸν τοῦ εὐαγγελίου ἥλιον περιορίζειν ἐν τόπῳ, εὔχομαι ὅμως ἀνανῆψαι καὶ προσδραμεῖν σοι, ἵνα σωθῶσι φωτισθέντες· ὥσπερ γὰρ μέμηνεν ὁ οἰόμενος τὸν ἥλιον τοῦτον περικλείειν τόπῳ· οὕτω καὶ οὗτοι μεμήνασι, νομίζοντες τὸ φῶς τοῦ εὐαγγελίου σοῦ περιορίζειν σὺν σοὶ ἐν πάτμῳ τῇ νήσῳ.



Ministerio de Educación, Cultura y Deporte

Ἡμᾶς δὲ οὐδὲ τοὐναντίον) αἰτίου, οὐδὲ τὸ πορρωτέρω σε γενέσθαι. σημείωσαι δὲ, ὅτι καὶ προεφήτευσεν ὁ μέγας Διονύσιος, σαφῶς εἰπὼν ἐκ θεοῦ ἀποκαλυφθῆναι αὐτῷ, ὡς καὶ τῷ ἁγίῳ Ἰωάννῃ, ὅτι εἴσω βραχυτάτου χρόνου ἀνακληθήσεται τῆς ἐν Πάτμῳ ἐξορίας· ὃ δὴ καὶ γέγονεν· ὡς γὰρ ἔφημεν, περὶ βραχέος περὶ τὸ τελευταῖον ἔτος τῆς Δομετιανοῦ βασιλείας, εἰς τὴν Πάτμον ἐφυγαδεύθη, διωγμὸν κινήσαντος τοῦ Δομετιανοῦ· εἶτα περὶ τὴν τελευτὴν τοῦ βασιλέως ὁ ἐξ τὴν θείαν ἀποκάλυψιν ὁ μέγιστος οὗτος εὐαγγελιστὴς Ἰωάννης.

# ΜΙΧΑΗΛ ΣΥΓΓΕΛΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ, ἐγκώμιον εἰς τὸν ἅγιον Διονύσιον.

ΟΥΡΑΝΙΑΝ ὄντως καὶ θείαν ἔδει παρεῖναι γλῶτταν τῶν θεοπέμπτων καὶ πυρίνων γλωττῶν ἐκείνων, οἵαι τοῖς αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις διανενέμηνται, καὶ φωνὴν ἀγγελικήν, τῷ ἐγκωμιάζειν ἐθέλοντι Διονύσιον τὸν θεοφάντορα, τὸν τῆς πάντα θεωμένης καὶ ἀγαθότητι παντελεῖ πάντα περιθεούσης καὶ συνεχούσης θεότητος, τῆς ἐν τῇ ὑπερουσίῳ καὶ ὑπερθέῳ, καὶ ὑπεραγάθῳ τριάδι προσκυνουμένης καὶ λατρευομένης ὑμνήτορα· τὸν τῶν θεωνυμιῶν καὶ τῶν ἀπορρήτων θεϊκῶν μυστηρίων θεολογώτατον ὑφηγήτορα· τὸν τῆς οὐρανίας ἱεραρχίας ἐξηγητήν, καὶ τῶν οὐρανίων νοερῶν στρατευμάτων ἐπαινετὴν καὶ διακοσμήτορα, καὶ τὸν τῶν ἐκκλησιαστικῶν διακοσμήσεων, ἱεραρχικῆς τε καὶ προηγεσίας, καὶ ἱεροτελεστίας, καὶ τελεταρχίας, καὶ πάσης χριστιανῶν θεοσοφίας καὶ ὡραιότητος μύστην καὶ μυσταγωγὸν καὶ ἐκφάντορα· τὸν διὰ καθαρότητα βίου, καὶ παντοίας ἀρετῆς τελειότητα, πρὸς Παύλου τοῦ θεσπεσίου τῶν ὀφθέντων αὐτῷ καὶ ἐνηχηθέντων εἰς τρίτον οὐρανὸν ἁρπαγέντι θεαμάτων καὶ ἀκουσμάτων ἐμπεπιστευμένον τὴν μύησιν· τὸν τοῦ ἀποστολικοῦ χοροῦ συνηλικιώτην καὶ συνόμιλον, καὶ κατὰ τοὺς ἱεροὺς ἀγῶνας ἐφάμιλλον· τὸν ἐν ἱεράρχαις πανιερώτατον, καὶ ἐν μάρτυσι λαμπρότατον, καὶ ἐν θεολόγοις θεοσοφώτατον, καὶ ἐν διδα-

Ministerio de Educación, Cultura y Deporte

σκάλοις φωτιστικώτατον· ὅθεν, ὦ θεῖον ἱεράτευμα, καὶ ἔθνος ἅγιον, καὶ θεόλεκτον σύστημα, δέδοικα μή τις τοῦ τοιούτου μεγάλου φωστῆρος ἐγχειρῶν ἐγκωμίοις, θράσεως γραφὴν ἀπενέγκωμαι· οὐδὲ γὰρ ἂν εἰ πᾶσαι συνέλθοιεν ὁμοῦ αἱ τῶν πώποτε γεγονότων ῥητόρων γλῶτται, δύναιντο τῆς ἀκρότητος ἐφικέσθαι τῶν κατ᾽ ἀξίαν ἐπαίνων τοῦ εὐφημουμένου θεορρήμονος· μή τι γε τὸ τῆς ἐμῆς διανοίας περὶ τοὺς λόγους ἀσθενές. ἀλλ᾽ οὖν τῇ προτροπῇ τῆς ὑμετέρας ἀγάπης καὶ πίστεως εἴκων, τῷ θεῷ, καὶ τῷ ἁγίῳ, καὶ ὑμῖν προσοίσω τὸ κατὰ δύναμιν· καὶ γὰρ εἰ ἡττηθείην τῶν προσηκόντων ἐγκωμίων τοῖς τοῦ ἐγκωμιαζομένου πλεονεκτήμασι καὶ προτερήμασι καὶ ἀριστεύμασι, χαίρω λίαν ἡττώμενος· οὐ γὰρ ἐλάττωμα τῷ ἐπαινουμένῳ, τὸ τοῦ ἐπαινοῦντος ἐν ταῖς τῆς ἐγκωμιαστικῆς φράσεως ἁρμονίαις ἥττημα. πόθεν τοιγαροῦν τῆς εὐφημίας ἄρξομαι· τοῖς θεσμοῖς τῶν ῥητορικῶν ἐγκωμίων χρήσομαι, ἐκ τῶν χαμαὶ ἐρχομένων, καὶ διαλυομένων, καὶ ἄλλοθεν ἄλλη μεταπιπτόντων, καὶ φθειρομένων· γένους φημὶ καὶ πατρίδος, καὶ πλούτου, καὶ κοσμικῆς δόξης, καὶ φαντασίας, τῷ τούτων ἁπάντων ὑψηλοτέρῳ καὶ κρείττονι κλέους εὐπορίστου, καὶ καυχήσεως ἀνθρωπίνης ὑποθέσεις ἐρανιζόμενος; ἢ μᾶλλον ἀπὸ τῶν ἀφθίτων, καὶ ὡς ἀληθῶς μακαρίων, καὶ διαιωνιζόντων αὐχημάτων, ἃ διὰ τῆς εἰς χριστὸν τὸν ὄντως ὄντα θεόν, ἀπὸ τῆς εἰδωλικῆς θρησκείας, ἀρίστης εὐτροπίας καὶ εὐαγγελικῆς ἀγωγῆς, καὶ ἀθλητικῆς ἀγωνίας ἠράτο; τί γὰρ εἰς εὔκλειαν ἀληθῆ συνεισοίσει γενεαλογία γονέων χαμερπῶν, καὶ περὶ τὴν ἰλὺν ἰλυσπωμένων, καὶ μάλιστα δεισιδαιμόνων, τῷ τῆς υἱοθεσίας τοῦ παμβασιλέως θεοῦ κατηξιωμένῳ, καὶ τοῖς οὐρανίοις ἀγγελικοῖς συνηριθμημένῳ τάγμασι, καὶ τοῖς περὶ πέτρον καὶ παῦλον θεοκήρυξιν, ἅμα τὴν ἱεραρχικὴν καὶ ἀποστολικὴν προκειμένῳ φαιδρότητα, καὶ τῆς

Ministerio de Educación, Cultura y Deporte

μακαριωτάτης γενεᾶς ἐκείνης γεγενημένῳ, καὶ τῷ τοῦ μαρτυρίου συνεστεμμένῳ διαδήματι; ἢ τίνα περιφάνειαν πατρὶς ἱππήλατος καὶ μηλότροφος, καὶ πεδίοις, καὶ ὄρεσι, καὶ νάπαις, καὶ φάραγξι περιεστοιχισμένη, καὶ λειμῶσι, καὶ ἄλσεσι, καὶ παντοδαποῖς δένδροις καὶ φυτοῖς πεπυκνωμένη, καὶ θαλαττίοις λιμέσι περικυκλουμένη, καὶ ποταμοῖς, καὶ πηγαῖς, καὶ λίμναις περιρρεομένη, καὶ μεγέθει καὶ καλλονῇ κτισμάτων κεκαλλωπισμένη, καὶ τῶν δαιμόνων τοὺς τύμβους θαῦμα τοῖς παριοῦσι προβαλλομένη, παρέξεται τῷ τὴν ἄνω ἱερουσαλὴμ πόλιν κεκληρωμένῳ, ἧς ἐν χερσὶ κυρίου τὰ τείχη ἐζωγράφηνται, καὶ ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία, ἦχός τε ἑορταζόντων, καὶ φωνὴ ἀγαλλιάσεως; πλὴν εἰ καὶ ἡμῖν ἐν προοιμίοις ταυτὶ λελέχθαι, τὸ παμμακάριον κρίνουσι τῶν ὑπερκοσμίων εἶναί τινα, καὶ τῶν γηΐνων ἀνῳκισμένων, ἀλλ' οὔτε γεννητόρων ἄσημόν τις ἦν, οὔτε τὴν ἐνεγκαμένην εἶχεν ἀφανῆ, οὔτε μὴν ἄστεος εὐτελοῦς ὑπῆρχε πολίτης· ποῖον γὰρ τῆς οἰκουμένης μέρος οὐκ ἀκήκοε τὸ τῆς ἑλλάδος περιφανές· ἢ τίς τὰς ἀθήνας ἀγνοεῖ, τὸ τῆς ἑλλάδος εὖχος, τὸ περίπυστον καὶ πανἀοίδιμον ἄστυ, τὸ τῶν φιλοσόφων διαιτητήριον, καὶ τῶν ἐπὶ λόγῳ μέγα βοωμένων γυμναστήριόν τε καὶ παιδευτήριον· ὅθεν διονύσιος οὗτος ὡρμᾶτο, καὶ οὗ διασημότατος προηγέτης, καὶ τῶν ἐν ἀρείῳ πάγῳ δικαστῶν ἐχρημάτιζε πρόυχων καὶ πρόκριτος, ὧν τὸ τοῦ γένους περίοπτον καὶ μεγαλόδοξον τοῖς τῶν ἀτθίδων συγγραφεῦσιν, ἀνδροτίωνι καὶ φιλοχόρῳ κατὰ πλάτος ἱστόρηται· ἀφ' ὧν ἔστι τε καὶ τεκμήρασθαι, καὶ τὸ τῶν προγόνων αὐτοῦ πρωτεῖον, καὶ ἔντιμον καὶ διαβόητον· οὐ γὰρ ἂν παρ' ἀθηναίοις τοῖς ἀγερώχοις εἰς ἀρχὴν προῆκτο τοσαύτην, εἰ μὴ πρός τε τῇ σοφίᾳ καὶ τῇ τῶν φρενῶν εὐκοσμίᾳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ, καὶ ἀνδρίᾳ, καὶ τῇ περιβλέπτῳ τοῦ γένους ὑπε-

Ministerio de Educación, Cultura y Deporte

ροχῇ κατηγλάϊστο· τῷ γὰρ λουκᾷ τὸν φιλαληθέστατον καὶ σοφώτατον ἐν τῇ τῶν ἀποστολικῶν πράξεων ἁγίᾳ τε καὶ πανσόφῳ συγγραφῇ, περὶ τῶν ἀθήνῃσι πεπιστευκότων διὰ τῆς κατὰ τὸν ἄρειον πάγον θεοπνεύστου τοῦ μακαρίου παύλου διδαχῆς καὶ δημηγορίας διηγούμενον φάναι κατ᾽ ἐξοχῆς τοῦτον, Ἐν οἷς ἦν καὶ διονύσιος ὁ ἀρεοπαγίτης· ἐναργῶς τὸ τοῦ νοεροῦ τοῦδε λαμπτῆρος, κατά τε γένους ἐπισημότητα, καὶ κατ᾽ ἀρετῆς, καὶ γνώσεως, καὶ σοφίας, καὶ ἐλλογιμότητος περιουσίαν, ὑπερφερὲς ἀποδείκνυται· οὐ γὰρ εἴρηκεν, Ἐν οἷς ἦν ἀνὴρ ὀνόματι διονύσιος, ὡς εἴ τινος ἕνεκεν ἀδήλου, ἀλλ᾽, Ἐν οἷς ἦν καὶ διονύσιος ὁ ἀρεοπαγίτης, ὑποφαίνων ἐντεῦθεν, ἐν στόμασιν ἁπάντων ᾄδεσθαι τὸν ἄνδρα, καὶ ὀνομαστότατον εἶναι. καὶ μή τις μὴ μέγα συντελεῖν οἰέσθω εἰς τὸν τοῦ λόγου σκοπὸν ταυτηνὶ τὴν ἱερὰν βραχυλογίαν· εἰ γὰρ καὶ βραχὺς ὁ λόγος, ἀλλὰ πολὺς ὁ παρ᾽ αὐτοῦ βρύων εἰς εὐφημίαν τούτου τοῦ θαυμαζομένου πλοῦτος· οὕτω γὰρ μωϋσῆς ὁ θεόπτης ἔν τινι τῆς κοσμογενείας ῥητῷ συντομωτάτῳ, μελχισεδὲκ ἀπομνημονεύσας, τοῦ τὴν καθ᾽ ἡμᾶς πνευματικὴν ἱερωσύνην προτυπώσαντος, μήτε τίνων γονέων υἱὸς ἐγεγόνει, μηδ᾽ ὁπόθεν ὥρμητο, διασημηνάμενος, ὡς ἐν ἀθανάτῳ στήλῃ τὴν ἐκείνου μνήμην, ταῖς μετέπειτα γενεαῖς διαιωνιζόντως εὐφημουμένην καταλέλοιπε. δεῦρο δὴ οὖν αὐτὸς, ὦ τῆς παγκοσμίου σωτηρίας καὶ χαρᾶς εὐαγγελιστὰ, καὶ τῆς ἀφράστου τοῦ θεοῦ λόγου σαρκώσεως μεγαλοκήρυξ, καὶ τῶν θείων αὐτοῦ σημείων καὶ μεγαλείων ῥήτωρ ἀψευδέστατε, καὶ τῶν εὐαγγελιστῶν διεξοδικώτατε, λουκᾶ παμμακάριστε, δεῦρο φράσον ἡμῖν, τίς ἐστὶν ὁ διονύσιος, καὶ ποῖος, καὶ τὴν πλεῖστα συντετμημένην σου ἱερολογίαν, καθ᾽ ἣν τουτονὶ τὸν ἱεροφάντην προήγαγες, ἐξάπλωσον. οὗτός ἐστι, φησὶν, ὁ τῶν καθ᾽ ἑλλάδα λογάδων καὶ εὐπατριδῶν εὐκλεέστα-

Ministerio de Educación, Cultura y Deporte

τος, καὶ τῆς ἀρεοπαγίτιδος βουλῆς ἐξοχώτατος· οὐ μὴν τοσοῦτον ἐκ τῆς ἀξίας περικλυτὸς ἀποφανθεὶς, ὅσον αὐτὸς ἐκείνην περιφανεστέραν ἀπέφηνεν. οὗτός ἐστιν, ὁ μὴ μόνον κατὰ πᾶσαν ἐπιστήμης λογικῆς ἰδέαν τελεώτατος, στωϊκῶν τε καὶ ἐπικουρείων, καὶ τῶν ἄλλων φιλοσόφων φιλοσοφώτατος, καὶ τῶν ἀττικιζόντων καὶ γραμματικευομένων ἀττικώτατός τε καὶ τεχνικώτατος, καὶ ῥητόρων ῥητορικώτατος, καὶ τῶν περὶ τὴν ἀστρονομίαν καταγινομένων θεωρητικώτατος, καὶ ταῖς λοιπαῖς ἐγκυκλίοις παιδεύσεσιν ἀκριβέστατος, ἀλλὰ καὶ τῇ τετρακτύϊ τῶν ἀρετῶν ἀρτιώτατος. οὗτός ἐστιν, ὁ δίκης ἀῤῥεπεστάτῃ τρυτάνῃ κεχρημένος, καὶ τῶν ἐν ἀθήναις θεμιστευόντων εὐθύτατος· καὶ ταῦτα τοῖς ἑλληνικοῖς ἔτι προσηλωμένος θρησκεύμασι, καὶ τοῖς τοῦ διὸς ἐμπεφυρμένος βδελύγμασι, καὶ τοῖς τῆς παλλάδος ἀθηνᾶς εἰδωλικοῖς ἐπαγλαϊζόμενος σεβάσμασι, καὶ τὰς κατ' ὀρφέα τὸν πάντα τοῖς μουσικοῖς ἕλκοντα κρούμασι, μυθώδεις θεολογίας ἀσπαζόμενος, καὶ τὴν γραοπρεπῆ παρ' ἡσιόδῳ θεογονίαν ἀσμενιζόμενος. ἐπειδὴ δὲ τὴν τῆς ἑλληνικῆς ἀνοίας καὶ μέθης ἀχλὺν, ἡ πᾶσιν ἀνθρώποις ἐπιφανεῖσα σωτήριος χάρις ἀπεσκέδασε, καὶ πᾶσαν ἀπὸ γῆς εἰδωλικὴν καθεῖλε πλάνην, καὶ πανταχόσε τῆς οἰκουμένης, οἷά τινες ἀετοὶ τανυσίπτεροι διιπτάμενοι καὶ διαθέοντες οἱ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν χριστοῦ μαθηταὶ, τῷ τῆς θεογνωσίας φωτὶ τὸν κόσμον κατηύγασαν. καὶ παῦλος τῶν θεολόγων ὁ κράτιστος, καὶ τῶν ἐθνῶν ὁ θειότατος ἀπόστολος, ἡ οὐρανομήκης σάλπιγξ, τὸ σκεῦος τῆς ἐκλογῆς, ταῖς ἀθήναις ἐπεδήμησε, σαλπίζων τὸ σωσίκοσμον καὶ φερέσβιον κήρυγμα, καὶ τὸ θεῖον καὶ δεσποτικὸν βαστάζον ὄνομα, καὶ κατείδωλον τὴν ἐν ταῖς ἑλληνίσι περιούχους πόλεσι τεθεαμένος, καὶ τῷ θεϊκῷ πυρποληθεὶς ζήλῳ, θερμῶς τὴν πόλιν εἰσεληλακὼς, πρὸς τοὺς προστυγχάνοντας ἰουδαίους τε καὶ ἕλληνας,

σοφούς τε καὶ ἰδιώτας διείλεκται, καὶ τὸν τῆς τοῦ δελεαστοῦ καὶ βροτοκτόνου καὶ δράκοντος τυραννίδος, τοῦ τε θανάτου καὶ τῆς φθορᾶς λυτρούμενον Ἰησοῦν, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν εὐηγγελίσατο, καὶ τοὺς ἐξ Ἐπικούρου, καὶ τοὺς τῆς ποικίλης στοᾶς φιλοσόφους, τῇ ξένῃ, καὶ ἀπορρήτῳ, καὶ ὑπερκοσμίῳ σοφίᾳ κατέπληξε, κἀπὶ τοῦ Ἀρείου πάγου κριτήριον ἀπενήνεκται, καὶ τοὺς ἁπάντων ὑπερακοντίζειν φιλοσοφίᾳ κατεκήλησεν· αὐτίκα Διονύσιος ἀπέστη τῆς βορβορώδους τῆς εἰδωλομανίας λίμνης, καὶ Παύλῳ τῷ πνέοντι θεῖαν εὐωδίαν ἐκολλήθη· ἀπεσπάσθη τῶν τῆς ἀπάτης εἰσηγητῶν, καὶ τῷ τῆς ἀληθείας κήρυκι προσεδέθη· ἀνήχθη τοῦ τῆς ἀπωλείας βυθοῦ, καὶ πρὸς τὸ τῆς σωτηρίας ὕψος ἀνέπτη· ἀπεφοίτησε τοῦ τῆς ἀθεΐας ζόφου, καὶ τῷ τῆς θεογνωσίας φωτὶ προσεφοίτησεν· ἀνεχώρησε τῆς ὡς ἀληθῶς ματαιότητος, καὶ τῇ ὄντως μακαριότητι προσεχώρησεν· ἀπετάξατο τῷ τοῦ θανάτου προξένῳ Βελίαρ, καὶ τῷ τῆς ζωῆς αἰτίῳ καὶ χορηγῷ Χριστῷ συνετάξατο· ἐβδελύξατο τὴν τῶν δαιμόνων ἀκαθαρσίαν, καὶ τὴν τῶν ἀγγέλων ἁγνείαν ἠσπάσατο· ἀπετινάξατο τὴν ἰλυώδη κοσμικὴν ὕλην, καὶ τὸν ἄϋλον βίον ἐνηγκαλίσατο· ἔσοπτρον γὰρ γεγονὼς δεκτικὸν τῆς διὰ Παύλου τοῦ τῷ χερουβικῷ θρόνῳ ἁμιλλωμένου τῇ λαμπρότητι, ἅτε Χριστὸν τὸν χερουβὶμ ἐποχούμενον, ἔναυλον ἔχοντος ἀπαστραπτούσης ἀρχιφώτου καὶ θεαρχικῆς ἀκτῖνος, καὶ τῆς ἐνδιδομένης αἴγλης ἀποπληρούμενον, κατηύγασται, καὶ ὅλος ὅλῃ τῇ ψυχῇ, καὶ διανοίᾳ, καὶ καρδίᾳ τῷ διδασκάλῳ προσκεκόλληται. βαβαὶ τῆς τοῦ ἀριστέως τούτου πρὸς τὴν τῆς ἀποστολικῆς φωτοδώρου παραινέσεως ὑποδοχὴν ἐπιτηδειότητος· βαβαὶ τῆς εὐείκτου, καὶ διαυγεστάτης ψυχῆς ἐκείνης, τῆς ῥᾷστα τὰς τῶν ἀρχετύπων σφραγίδων τῶν εὐαγγελικῶν διδαγμάτων ἐκτυπώσεις ἀναμαξαμένης· βαβαὶ τῆς

Ministerio de Educación, Cultura y Deporte

καρδίας τῆς εὐπειθῶς καὶ ἀνεπιστρόφως πάσης σαρκικῆς
προσπαθείας ἀπορραγείσης, καὶ παντοίαν ὑλικὴν ἔμφασιν ἀ-
ποσεισαμένης, καὶ τῷ σωτηριώδει θᾶττον πιστευσάσης κηρύγμα-
τι, καὶ τῷ θεηγόρῳ τῷ πρὸς τὰς οὐρανίους χειραγωγοῦντι
μονὰς, οὐρανοδρόμῳ παύλῳ κολληθείσης. βαβαὶ τῆς εὐ-
γείου καὶ πίονος νοητῆς ἀρούρης, τῆς τὸν ζωτικὸν ἐγκολπωσα-
μένης σπόρον, καὶ πολύχουν ἀναδεδωκυίας καὶ εὐθηνέστατον
ἄσταχυν. οὐκ ἀνεχαίτισεν αὐτὸν ἀρχικῆς τε καὶ δυναστικῆς δό-
ξης ὄγκος· οὐκ ἀνεσείρασεν αὐτὸν φιλίας, καὶ ὁμηλικίας καὶ
συνηθείας πόθος· οὐκ ἐπέσχεν αὐτὸν γονέων καὶ ἀγχιστέων, καὶ
ὁμεστίων τυραννικὸς ἔρως· οὐκ ἔδησεν αὐτὸν πολυπλόκων χρη-
μάτων καὶ κτημάτων μανικὸς οἶστρος· οὐκ ἐχαύνωσεν αὐτὸν σω-
μάτων ἡδονή· οὐκ ἐθήλυνεν αὐτὸν ἁβροδιαίτου βιοτῆς καὶ τρυ-
φῆς ἔφεσις· ἀλλ᾽ ἅμα τῆς τοῦ κήρυκος θεοφθέγκτου φωνῆς ἀκηκοὼς,
καὶ πρὸς οὐδὲν τῶν ὅσα βροτοῖς τέρψιν εἴωθεν προσεσχη-
κὼς, ἀθρόον αὐτῷ κολληθῆναι, καθάπερ μαγνήτῃ σίδηρος,
ἐσπούδακε. θαυμάζομεν δὴ τὸν πατριάρχην ἀβραὰμ, τῷ
θεῷ προστεταχότι τῆς πατρῴας καὶ πατρίδος ἀποικῆσαι, καὶ
εἰς ἀλλοδαπὴν ἄγνωστον στείλασθαι, πειθαρχήσαντα· καὶ μάλα
δικαίως. ἐκθειάζομεν δὲ καὶ τὸν ἠλισσαῖον τὰ ζεύγη τῶν βοῶν
καταλελοιπότα, καὶ τὴν πατρῴαν χαίρειν ἑστίαν ἐάσαντα, καὶ ἠ-
λιοῦ τῷ πνευματοφόρῳ ζηλωτῇ κεκληκότι πάσης ἄτερ ἀνα-
βολῆς ἠκολουθηκότα· καὶ λίαν ἐνδίκως. φίλιππον αὖ ἐπαίνοις
ἐξαίρομεν, ἰησοῦ τῷ τῆς σωτηρίας ἀρχηγῷ προσκεκλημένῳ,
τάχιον ἀναντιρρήτως προσδεδραμηκότα, καὶ προθύμως ἑ-
πόμενον καὶ πρεπωδέστατον ὄντως. πόσοις τοιγαροῦν καὶ ποίοις
τοῦτον, ὃς οὐ μωσαϊκῷ προκατηχημένος ἦν νόμῳ, οὐ προ-
φητικαῖς πεπαιδευμένος ῥήσεσι, οὐχ ἱστορικοῖς θείων τεραστίων
προγεγυμνασμένος ταῖς ἀκοαῖς διηγήμασιν, οὐ σημεῖα προ-

Ministerio de Educación, Cultura y Deporte

θεωρητικῶς τερατουργούμενα, καταγεραίρειν κρότοις, εὐφήμοις ἀναρρήσεσι καταστέφειν ὀφείλομεν· ὅπως ἐντιμότατα παύλου τὸν ἁπλοῦν προσήκατο λόγον, ἀνδρὸς ἰδιώτου, καὶ πένητος, καὶ ξένου τινὸς ὄντος, οὐ ῥητορικαῖς κεκομψευμένου δεινώσεσιν, οὐδὲ σοφιστικαῖς τετεχνημένου προτάσεσιν, ἀλλ' οἷόν τινα σπορὰν εἰς γῆν προτοβόλως καταβεβλημένην δεδεγμένος, καὶ κατ' οὐδὲν ἐνδοιάσας τῷ βάθει τῶν φρενῶν ἐμβαλὼν, εὐθυβόλως τοὺς ζωηφόρους τῆς εὐαγοῦς πίστεως καρποὺς ἐτελεσφόρησεν, ὡς ἡσαΐας συγχορεύειν ᾄδοντα μόνον οὐχὶ τῷ προβλεπτικωτάτῳ προφήτῃ βοῶντι, Διὰ τὸν φόβον σου, κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν, πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Ταῦτα μέντοι λουκᾶς ἡμῖν ὁ μεγαλοκήρυξ συμπαρὼν τῷ πνεύματι, καὶ τὴν ἱερὰν ταύτην τοῦ ἱερομάρτυρος μνήμην συνεορτάζων, καὶ τῆς τῶν ἑορταζόντων αὐτὴν καὶ ὑμνούντων ὁμηγύρεως καθεστηκὼς ἔξαρχος, καὶ τῶν ἐπαίνων προηγούμενος διεξελήλυθεν. ὅσα δὲ δι' ἀγράφου παραδόσεως, ἢ ἐγγράφου παρειλήφαμεν, ταῦτα τῷ τῶν ἐγκωμίων ὑφάσματι, καθάπερ ἄττα δαιδάλματα ἐνείροντες αὐτῇ, καὶ τισὶν ὥσπερ ἡδύσμασι τὴν πνευματικὴν καταγλυκαίνοντες ἑστίασιν, ἥκομεν ὑμῖν τοῖς φιλακροάμοσί τε καὶ πνευματικοῖς δαιτυμόσι παραθησόμενοι. Τοιοῦτος οὖν εἰς ἡμᾶς κατήντηκε λόγος, ἀνέκαθεν πατρὸς παιδὶ παραδιδόμενος, ὡς ὁ μέγας διονύσιος ἐστί, κατὰ τὸν τοῦ σωτηρίου πάθους καιρὸν, ἡνίκα διεκλονεῖτο γῆ, καὶ τὰς ἑαυτοῦ μαρμαρυγὰς μεσούσης ἡμέρας κατέκρυπτεν ἥλιος, μὴ φέρων τὸν τοῦ παντὸς δημιουργὸν ἰκρίῳ καθορᾶν σαρκὶ προσπηγνύμενον, καὶ θανάτου γευόμενον, τὸν ἀπαθῆ τε κατ' οὐσίαν θεϊκὴν καὶ ἀνώλεθρον, ἐπὶ τῷ παραδόξῳ σφόδρα τεθηπὼς, καὶ τὴν ἀνθρωπίνην ὑπερβεβηκὼς γνῶσιν, κατανοή-

σας

σας τὸ γεγονὸς, ὁ ἄγνωστος, ἔφη, σαρκὶ πάσχει θεὸς, δι' ὃν τὸ πᾶν ἐζόφωταί τε καὶ σεσάλευται. καὶ παραχρῆμα τὸν χρόνον, καθ' ὃν τοῦτο τὸ παγκόσμιον ἐπετέλεστο τεραστούργημα, τεκμηρωσάμενος ἐτήρει παρ' ἑαυτῷ, τοὐντεῦθεν διαγγελούμενον καραδοκῶν. μέμνηται μέντοι καὐτὸς ἐν τῇ πρὸς πολύκαρπον ἐπιστολῇ, τῆς ἡλιακῆς ἐκλείψεως ἐκείνης τῆς φρικωδεστάτης. ἄμεινον δὲ τὸν λόγον τοῖς ἐκείνου τοῦ τῇ θεορρημοσύνῃ καὶ εὐγλωττίᾳ πάντων ὑπερφερεστάτου καλλιεπεστάτοις καθωραΐσαι λογίοις, οἷα τῶν πολυτελῶν λίθων τοῖς διαυγεστάτοις βασίλειον. διάδημα· ἀπολλοφανοῦς γὰρ ἀνδρὸς φιλοσόφου, τὴν θρησκείαν ἕλληνος τυγχάνοντος, νεμεσῶντός τε καὶ λοιδορουμένου τῷ πολυάθλῳ τούτῳ καὶ μεγαλεμπόρῳ, καὶ ἀξιαγάστῳ, ὡς ἑταίρῳ δῆθεν ὄντι φιλτάτῳ καὶ ὁμογνώμονι, τὰ πατρῷα μὲν μυσαττομένῳ σεβάσματα, τὴν δὲ τῶν χριστιανῶν προτιμῶντι, καὶ μετιόντι, καὶ ἀσπαζομένῳ πίστιν, καὶ αὐτῆς ἀγωνιστικώτατα προασπίζοντι, καὶ τοῖς ἑλλήνων κατὰ τῶν ἑλλήνων χρωμένῳ, τὴν λοιδορίαν καὶ νέμεσιν ἀνασκευάζειν ὑποτιθέμενος τῷ πολλοῖς θεοσεβείας καὶ ἀρετῆς τεθηλότι καρποῖς πολυκάρπῳ, πρὸς ὃν καὶ ὁ σοφιστὴς ἐποιεῖτο τὰ σκώμματα, τάδε φησί. Σὺ δὲ φὴς λοιδορεῖσθαί μοι τὸν σοφιστὴν ἀπολλοφάνη, καὶ πατραλοίαν ἀποκαλεῖν, ὡς τοῖς ἑλλήνων ἐπὶ τοὺς ἕλληνας οὐχ ὁσίως χρωμένῳ· καίτοι πρὸς αὐτὸν ἡμᾶς ἦν ἀληθέστερον εἰπεῖν, ὡς ἕλληνες τοῖς θείοις οὐχ ὁσίως ἐπὶ τὰ θεῖα χρῶνται, διὰ τῆς σοφίας τοῦ θεοῦ τὸ θεῖον ἐκβάλλειν πειρώμενοι σέβας. καὶ οὐ τὴν τῶν πολλῶν ἔγωγέ φημι δόξαν, τοῖς τῶν ποιητῶν προσύλως καὶ ἐμπαθῶς ἐναπομενόντων, ἀλλὰ καὶ αὐτὸς ἀπολλοφάνης οὐχ ὁσίως τοῖς θείοις ἐπὶ τὰ θεῖα χρῆται· τῇ γὰρ τῶν ὄντων γνώσει καλῶς λεγομένῃ πρὸς αὐτοῦ φιλοσοφίᾳ, καὶ πρὸς τοῦ θείου παύλου σοφίᾳ θεοῦ κεκλημένῃ, πρὸς τὸν αἴτιον



Ministerio de Educación, Cultura y Deporte

καὶ αὐτὸν τῶν ὄντων, καὶ τῆς γνώσεως αὐτῶν ἐχρῆν ἀνάγεσθαι τοὺς ἀληθεῖς φιλοσόφους. καὶ ἵνα μὴ τὴν ἄλλων, ἢ τὴν αὐτοῦ παρὰ τὸ δοκοῦν ἐξελέγχοιμι δόξαν, ἔδει συνιδεῖν ἀποφαίνεσθαι σοφὸν ὄντα, μὴ ἂν ἄλλως ποτὲ δυνηθῆναι τῆς οὐρανίας τι παραλλάξαι τάξεως καὶ κινήσεως, εἰ μὴ τὸν τοῦ εἶναι αὐτὴν καὶ συνοχέα καὶ αἴτιον ἔσχεν εἰς τοῦτο κινοῦντα, τὸν ποιοῦντα πάντα καὶ μετασκευάζοντα, κατὰ τὸν ἱερὸν λόγον. πῶς οὖν οὐ σέβει τὸν ἐγνωσμένον ἡμῖν κἀκ τοῦ ὄντος ὄντα τὸν ὅλων θεὸν, ἀγάμενος αὐτὸν τῆς παναιτίου καὶ ὑπεραρρήτου δυνάμεως, ὅταν ἥλιος ὑπ' αὐτοῦ καὶ σελήνη κατὰ δύναμιν, καὶ στάσιν ὑπερφυεστάτην, ἅμα τῷ παντὶ πρὸς τὸ πάντη ἀκίνητον ὁρίζονται, καὶ εἰς μέτρον ἡμέρας ὅλης ἐπὶ τῶν αὐτῶν ἑστῶσι τὰ πάντα σημείων. καὶ κατὰ βραχύ, εἰπὲ δὲ αὐτῷ, τί λέγεις περὶ τῆς ἐν τῷ σωτηρίῳ σταυρῷ γεγονυίας ἐκλείψεως· ἀμφοτέρω γὰρ τότε κατ' ἡλιούπολιν ἅμα παρόντες τε καὶ συνεστῶτες, παραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτουσαν ἑωρῶμεν· οὐ γὰρ ἦν συνόδου καιρός· αὖθίς τε αὐτὴν ἀπὸ τῆς ἐνάτης ὥρας ἄχρι τῆς ἑσπέρας εἰς τὸ τοῦ ἡλίου διάμετρον ὑπερφυῶς ἀντικαταστᾶσαν. ἀνάμνησον δέ τι καὶ ἕτερον αὐτόν· οἶδε γὰρ ὅτι καὶ τὴν ἔμπτωσιν αὐτὴν ἐξ ἀνατολῶν ἑωράκαμεν ἀρξαμένην, καὶ μέχρι τοῦ ἡλιακοῦ πέρατος ἐλθοῦσαν, εἶτα ἀναποδίσασαν· καὶ αὖθις οὐκ ἐκ τοῦ αὐτοῦ, καὶ τὴν ἔμπτωσιν, καὶ τὴν ἀνακάθαρσιν, ἀλλ' ἐκ τοῦ κατὰ διάμετρον ἐναντίου γεγενημένην. τοσαῦτά ἐστι τοῦ τότε καιροῦ τὰ ὑπερφυῆ, καὶ μόνῳ χριστῷ τῷ παναιτίῳ δυνατὰ, τῷ ποιοῦντι μεγάλα καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ταῦτα εἰ σοὶ θεμιτὸν, εἰπὲ, καὶ εἰ δυνατὸν, ἀπολλόφανες, ἐξέλεγχε, καὶ πρὸς ἐμὲ τὸν τότε καὶ συμπαρόντα σοι, καὶ συνεωρακότα, καὶ συνδιακρίνοντα πάντα, καὶ συναγάμενον. παύλου τότε σταθέντος ἐν μέσῳ τοῦ ἀρείου πάγου

Ministerio de Educación, Cultura y Deporte

καὶ παρρησιαστικώτατα δημηγορήσαντος, Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· διερχόμενος γὰρ, καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν· καὶ τὴν ἑξῆς δημηγορίαν διεξιόντος ἅπασαν, εὐθέως οὗτος ὁ θαυμασιώτατος ἀνὴρ, ὡς οὐρανόθεν δημηγορούμενον τὸν λόγον δεξάμενος, ἀδιάσπαστος αὐτοῦ γέγονεν ὀπαδός· καὶ πᾶσι μὲν ἄρδην τοῖς ἑλληνικοῖς ὀργίοις τε καὶ θεσμοῖς ἀποτάσσεται, καὶ παντοίαν δαιμονιώδη πλάνην μυσάττεται· τὴν οὐράνιον δὲ μαθητείαν μετέρχεται, καὶ στοιχοῦται ταῖς τῶν ὀρθῶν δογμάτων καὶ τῆς εὐαγγελικῆς διδασκαλίας στοιχειώσεσι, καὶ τὴν ἀμώμητον πίστιν ἐκδιδάσκεται, καὶ τῇ τοῦ ζωοποιοῦ βαπτίσματος ἀναγεννητικῇ κολυμβήθρᾳ προσέρχεται· καὶ τὸν διεφθορότα παλαιὸν ἄνθρωπον ἀποδύεται, καὶ Χριστὸν αὐτὸν, τὸν τῆς ζωῆς ἀρχηγὸν, ἐνδύεται, καὶ ἀναπλάττεται, καὶ ἀντὶ δούλου φθαρτοῦ καὶ φθαρτῆς σαρκὸς υἱοῦ, τῆς ἀκτίστου καὶ ἀφθάρτου, παντουργίου τε, καὶ παντεργέτιδος ὁμοουσίου δεσποτικῆς τριάδος υἱὸς γίνεται, καὶ ἀφθαρτίζεται, καὶ τὸ τῶν ὀφλημάτων χάρισμα κομίζεται, καὶ τὰ τῆς ἤδη θείας υἱοθεσίας τε καὶ δεσποτείας φωτεινότατα σύμβολα μεταμφιέννυται, καὶ τοῦ τελείου καταξιοῦται, καὶ τοῖς τοῦ φωτὸς ὅπλοις θωρακίζεται, καὶ τὰ τελεώτατα τῆς ἀνωτάτω σοφίας μυσταγωγεῖται μυστήρια, ἀπεντεῦθεν ἤδη πρόεισιν ἐπὶ τὴν τοῦ ἀμπελῶνος καλλιεργίαν, καὶ τῆς τῶν εὐαγγελικῶν ἐνταλμάτων ἐργασίας ἅπτεται, καὶ τὴν ἀγγελομίμητον μέτεισι πολιτείαν, καὶ παρ' ἱεροθέῳ τῷ θεολήπτῳ φοιτᾷ καθηγεμόνι, οὗ καὶ δι' ἐγκωμίων αὐτὸς ἐν τοῖς θεολογικοῖς αὐτοῦ μέμνηται συγγράμμασι· καὶ τοῖς κατὰ θεὸν διαβήμασι καταρτίζεται· πρὸς δὲ τοὺς τῆς ἐγκρατείας καὶ ἀσκήσεως ἀγῶνας χωρεῖ, καὶ πᾶσαν



Ministerio de Educación, Cultura y Deporte

ποιεῖται κομιδὴν τῆς τοῦ δώρου τηρήσεως, καὶ τῷ δεδωρημένῳ δοτῆρι τῶν ἑάων καρποὺς ἐπείγεται προσοίσειν τῆς ἀγαθαρχικῆς ἐπαξίους ἀγαθότητος, καὶ πρὸς τὸν ἀντίπαλον τῆς ἡμετέρας ζωῆς καὶ σωτηρίας ἀνταγωνίζεται· μεμυσταγώγηται γὰρ ὡς μετὰ τὴν ἐν τοῖς ἰορδανείοις ῥείθροις τῆς ἀδαμιαίας ἁμαρτίας κατάδυσιν, καὶ τῆς βροτείας φύσεως κάθαρσιν, ἣν ἡμῖν ἐπρυτάνευσεν αὐτὸς καθαρθεὶς, ὁ καθαρσίων μὴ δεόμενος, ὁ τῶν ὄντων αἴτιος καὶ προμηθεὺς, τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὁ τῷ γεγεννηκότι συνάναρχος καὶ συναΐδιος, καὶ ὁμοούσιος, καὶ χαρακτὴρ ὑπάρχων ἀπαράλλακτος τῆς πατρικῆς ὑποστάσεως, καὶ τῆς δόξης ἀπαύγασμα· ὁ κατ᾿ οἰκείαν μὲν εἰκόνα, καὶ καθ᾿ ὁμοίωσιν πλάσας τὸν ἄνθρωπον· τοῦτον δὲ τῷ τοῦ δυσμενοῦς ἀρχεκάκου δράκοντος δελεάσματι, καὶ τῇ τῆς γυναικὸς ἐπηρείᾳ τὴν δεσποτικὴν ἐντολὴν ἀθετήσαντα, καὶ τῇ ἁμαρτίᾳ καταχρανθέντα, καὶ πρὸς φθορὰν κατολισθήσαντα μὴ παριδὼν, ἀλλ᾿ εὐδοκίᾳ τοῦ πατρὸς, καὶ συνεργίᾳ τοῦ ἁγίου πνεύματος διὰ φιλανθρωπίας ἄφατον πέλαγος, ἐκ τῶν πατρῴων καταβεβηκὼς, ὅθεν οὐκ ἀπέστη, κόλπων· ὁ πάντα πληρῶν, καὶ μηδενὶ περιγραφόμενος, οὐ μεταβατικῶς τῆς θείας καθόδου νοουμένης, ἄπαγε· πῶς γὰρ ἂν μεταβαίη τὸ ἀσώματον καὶ ἀπερίοριστον καὶ ἀπερινόητον· ἀλλὰ θεοπρεπῶς· κενοῦται γὰρ πρὸς βραχὺ τῆς θεϊκῆς δόξης οἰκονομικῶς, ἵνα με πληρώσῃ τῆς αὐτοῦ θεότητος, καὶ θεὸς χάριτι γένωμαι· τὴν παρθενικὴν οὖν νηδὺν τῆς ἀπειρογάμου παναγίου καὶ ἀειπαρθένου δαβιτίδος κόρης, οἱονεὶ σπόρος εἰσδὺς, καὶ κλίσας ἐκ τῶν αὐτῆς αἱμάτων σάρκα, καὶ ψυχώσας ψυχῇ λογικῇ τε καὶ νοερᾷ, καὶ ἑνώσας ἑαυτῷ, καὶ τεχθεὶς ἐξ αὐτῆς θεὸς σεσαρκωμένος, διπλοῦς ὁ ἁπλοῦς, ἐν δυσὶ τελείαις φυσικαῖς θελήσεσι καὶ ἐνεργείαις, καὶ κατὰ πάντα κεχρηματικὼς καθ᾿ ἡμᾶς, πλὴν τῆς

Ministerio de Educación, Cultura y Deporte

ἁμαρτίας, βροτὸς, πάσης ἄτερ τροπῆς καὶ συγχύσεως μεμαθηκὼς, καὶ μετὰ τῆς σαρκώσεως εἷς καὶ ὁ αὐτὸς υἱὸς, καὶ μία ὑπόστασις· ὑπὸ χρόνον τε γεγονὼς, ὁ πάσης ὑπερέκεινα χρονικῆς κινήσεως, καὶ πάντων ποιητὴς τῶν αἰώνων πεφυκὼς· καὶ καταδεδεγμένος αὔξησιν σωματικὴν, καὶ εἰς ἡλικίαν ἐληλυθὼς ἀνδρικὴν, ὁ παντέλειος, καὶ ὑπερτελὴς· καὶ βαπτισθεὶς, εὐθὺς ἀπὸ τοῦ βαπτίσματος ἐξαναδὺς ἐπὶ τὴν πρὸς τὸν ἀνθρωποκτόνον ἀποστάτην ἵεται πάλην, καὶ τὴν πολυκάρηνον τῶν δεινῶν αὐτοῦ παλαισμάτων καταλύει μηχανήν· καὶ τὸν ἀλαζόνα, καὶ μεγάλαυχον καταπαλαίει τύραννον, καὶ τὸν πολυποίκιλον τῶν αὐτοῦ πολέμων ἐσμὸν καταργεῖ, καὶ εὐχείρωτον αὐτὸν τίθησιν, ὑπογραμμὸν ἡμῖν ὑποδεικνὺς τῆς πρὸς αὐτὸν καρτερᾶς μάχης, καὶ τὰς κατ' αὐτοῦ διδοὺς ἀριστείας τὰς ἀφορμάς. πρὸς οὖν τὸ τῆς σωτηριώδους πολιτείας ὑπόδειγμα, τὸν ἑαυτοῦ ῥυθμίζων καὶ ἀπευθύνων βίον ὁ γεννάδας οὗτος, τῆς τοῦ ζωαρχικοῦ φωτίσματος ἐξανατείλας πηγῆς, καὶ τὴν ἐκεῖθεν ὁπλισάμενος χάριν, καὶ τῷ θείῳ χρισθεὶς ἀλείμματι, καθάπερ οἱ ἐν ταῖς παλαίστραις γυμνασταὶ πρὸς πολεμίαν ἀντιπαραταττόμενοι φάλαγγα, παραχρῆμα πρὸς τὸν τῆς εἰς οὐρανοὺς ἀναγούσης πορείας ἀντιτάσσεται δυσμενέστατον ὁδοστάτην, καὶ πανουργότατον πολεμήτορα, καὶ τὰς βιωτικὰς ἀποτίθεται φροντίδας, καὶ τῆς πρὸς θεὸν ἀνατάσεως ὅλος ἐραστὴς καὶ ἀγωνιστὴς καθίσταται, προσευχαῖς συντόνοις διημερεύων τε καὶ διανυκτερεύων, καὶ παννυχίσιν ἀΰπνοις ἐγκαρτερῶν, καὶ νηστείαις τὸ σαρκίον δαμάζων, καὶ τὴν χείρονα μοῖραν καθυποτάσσων τῇ κρείττονι, τὸν χοῦν τῷ νοΐ, καὶ τὴν γεώδη καταλεπτύνων παχύτητα, ἣ ταῖς διανοίαις, οἷά τις ὁμίχλη ζοφώδης ταῖς ἡλιακαῖς ἀκτῖσιν, ἐπιπροσθεῖν εἴωθεν· ἔνθεν ἐπὶ τὸ τῆς θεωρίας ὕψος ἀνάγεται, καὶ ταῖς περὶ θεὸν ἐννοίαις ἐμφιλοχωρεῖ,



Ministerio de Educación, Cultura y Deporte

πάσης ὑλώδους τὸ τῆς ψυχῆς θεοειδὲς ἀφιστῶν ἐνθυμήσεως, καὶ τὸ νοερὸν αὐτῆς ὄμμα πρὸς τὴν ἐκεῖθεν ἀπαστράπτουσαν αἴγλην ὅλον ἀναπτεροῖ, ταῖς ἀποστολικαῖς αὐτοπτικῶς ἐντρυφῶν διδαχαῖς, καὶ πᾶσαν καινήν τε καὶ παλαιὰν ἱερολογίαν ἀναποιῶν ἑαυτῷ καὶ σοφίαν κατεργαζόμενος, τοῖς τῆς πρακτικῆς καὶ θεωρητικῆς ἀρετῆς πλεονεκτήμασι, τοῖς παύλου τοῦ μακαρίου διοπτικωτάτοις καταφανεὶς ὀφθαλμοῖς, καὶ βαθμοῦ τοῦ τῆς ἱεραρχίας ἄξιος κριθεὶς, πρῶτος ἀθηναίων ἐπίσκοπος ὑπ' αὐτοῦ προχειρίζεται, καὶ τῆς οἰκείας πατρίδος πατὴρ ἀναγορεύεται, καὶ τὰ ἀκροθίνια τῶν λογικῶν πραγμάτων ἐγχειρίζεται, καὶ τὸν αὐτόθι πεπιστευκότα λαὸν ἐμπιστεύεται. ἔδει γὰρ τὴν ἐνεγκοῦσαν, καὶ θρεψαμένην, καὶ παιδεύσασαν πόλιν, τῷ ἰδίῳ βλαστήματι, καὶ θρέμματι, καὶ παιδεύματι πρὸς τὴν ἐπαγλαΐζεσθαι πρώτῳ τῶν ἐξ αὐτῆς πνευματικῶς χριστῷ τῷ τῆς σωτηρίας αἰτίῳ γεγεννημένων, καὶ πᾶσι τοῖς κατὰ βίον καὶ λόγον πρωτείοις τηλαυγῶς πρωτεύοντι· καὶ ταῖς ποιμαντικαῖς τοῦ παναρίστου ἱερέως ἡγεσίαις ἰθύνεσθαι, φωτίζοντος αὐτῆς τὰ κατὰ θεὸν διαβήματα, καὶ ἐπὶ σωτηρίοις νομαῖς ἄγοντος, καὶ ἐς τόπον χλόης τῆς λείας, καὶ ἀκιβδήλου διδασκαλίας κατασκηνοῦντος, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως, τῆς μακαρίας ὄντος λήξεως, ἐκτρέφοντος. ὢ τῆς θεοψηφίσου τῆς τῶν ἀθηναίων μητροπόλεως εὐμοιρίας, ὡς τρισμακάριος ὑπάρχει, ὡς ἀληθῶς καὶ τρισόλβιος πόλις, τοιοῦτον τεκοῦσα καὶ λαχοῦσα ποιμένα, καὶ πρωτηγέτην, καὶ διδάσκαλον, ὡς ὁ ἰσραηλίτης λαὸς πάλαι τὸν μωσέα· καὶ γὰρ ἄλλος τις ἀναδέδεικται μωϋσῆς, αἴγυπτον, τὴν ζοφερὰν λέγω καὶ πολύθεον εἰδωλικὴν πλάνην, οὐ δέκα πληγαῖς, ἀλλὰ μυρίαις καιριωτάταις καὶ πυρωδεστάταις τῶν ἱερῶν αὐτοῦ δογμάτων καὶ διδαγμάτων καταποξύσαις βολαῖς· καὶ τὸν μὲν νοητὸν φαραὼ σὺν ταῖς ὀλεθρίαις

αὐτοῦ δυνάμεσι, ταῖς πρὸς τῆς αὐτοῦ κακοδαίμονος ἀπάτης ὑποφυομέναις ζιζανιώδεσιν αἱρετικαῖς σκαιομυθίαις, καταποντίσας τοῖς γλαφυρωτάτοις τῆς αὐτοῦ πανσόφου διαγνώσεως καὶ εὐγλωττίας βυθοῖς· τὸν ἐκλεκτὸν δὲ τοῦ χριστοῦ λαὸν ἀπὸ τῆς τοῦ βελίαρ τυραννίδος, καὶ τῆς δυσδαίμονος θρησκείας φυγαδευτὴν, τῶν ἐπανισταμένων παντοδαπῶν πολέμων ἀχειμαινομένην θάλατταν καταπατοῦντα, τῇ φωτοειδεῖ τοῦ ξύλου δυνάμει ἐν αὐτῷ διαλαμπούσῃ καθοδηγούμενον χάριτι, καὶ νεφέλῃ τῇ τοῦ παναγίου πνεύματος σκέπῃ φρουρούμενον, ἐπὶ τὸν ἀκύμαντον διασώσας ὅρμον τῆς ἀμωμήτου πίστεως, καὶ τῶν χαμερπῶν παντάπασιν ὑπεραναβεβηκὼς, καὶ τῆς τοῦ ὄρους τῶν ἀρετῶν κορυφαιοτάτης περιωπῆς τοὺς εὐαγγελιζομένους εἰρήνην ὡραίους πόδας ἐπερείσας, καὶ τὸν θεῖον εἰσδεδυκὼς γνόφον, καὶ θεῷ προσομιλήσας, καὶ τὰς τῆς θεοφαντορίας καὶ νομοθεσίας πλάκας δεξάμενος, καὶ ταῖς σταυροειδῶς ὑψουμέναις παλάμαις τὸν ἀντίθεον τροπωσάμενος ἀμαλὴκ, καὶ τῶν ἐχιδναίων δηγμάτων, τῶν δαιμονικῶν λόχων καὶ τοξευμάτων τοὺς πτερνισθέντας καὶ κακῶς ἔχοντας ἐξιώμενος τῷ τοῦ κρεμασθέντος ἐπὶ ξύλου καὶ νεκρωθέντος σαρκὶ, καὶ τὰς ἐναντίας νεκρώσαντος δυνάμεις, καλῶς ὑπ᾽ αὐτοῦ σεβομένου, καὶ προσκυνουμένου, καὶ κηρυττομένου λόγου νεύματι. καὶ ἰησοῦς ἄλλος τέμνων ἰορδάνην, καὶ τὸν περιούσιον διαπεραιῶν λαὸν, ἀβρόχοις ἴχνεσι πεζοποροῦντα, καὶ τὴν ἐξ αὐτοῦ βλαστήσουσαν πανσεβάσμιόν τε καὶ πανίερον αἴροντα θεοδέγμονα νοερὰν κιβωτὸν, καὶ τὰ τῶν ἱεριχουντίων τῶν δυσωνύμων, νοητῶν ἀλλοφύλων, καὶ τῆς τῶν αἱρετιζόντων συμμορίας ὀχυρώματα καταβάλλων τοῖς ὑπὲρ τῆς εὐσεβείας πολυκύκλοις καὶ πολυτρόποις ἄθλοις, καὶ τῇ ἱεροφαντορικαῖς σάλπιγξι κατακλυπούμενά τε καὶ καταστρεφόμενα, τὸν ἡλιοειδῆ τε καὶ φωτιστικὸν λόγον, καὶ τὴν σελασφοροῦσαν



Ministerio de Educación, Cultura y Deporte

σοφὴν κυβέρνησιν οὐρανόθεν αὐτῷ χορηγουμένην περιεχόμενος, εἰς τὴν τῶν ἀρπάγων λύκων, τῶν τὰς λογικὰς λυμαινομένων ἀγέλας κακοδιδασκάλων ἐξέλασιν, καὶ τοῖς σωζομένοις τὴν διαιωνίζουσαν κληρονομίαν ἐν ἱερουσαλὴμ τῇ ἐπουρανίῳ πρυτανευόμενος, ὡς ἐκεῖνος ἥλιόν τε καὶ σελήνην ἵστων εἰς ἐπικουρίαν τοῦ περισωθέντος θείου λαοῦ, τῆς γῆς τῆς ἐπαγγελίας ἐξελάσαι τοὺς πολεμίους ἐπισερχομένου, καὶ τὴν ἐπηγγελμένην αὐτῷ σπεύδων κληροδοτῆσαι κατάσχεσιν. καὶ δαβὶδ ἄλλος ὁ κατὰ τῆς θείας παρατάξεως μεγαλαυχήσαντα, καὶ τὸν αὐτῆς ὑπερασπιστὴν ὀνειδίσαντα σφενδονίσας, καὶ λίθῳ πατάξας τὸν ἀλάστορα, καὶ νῖκος πανοιδιμώτατον κατὰ τῶν ὑπεναντίων ἀράμενος, καὶ μυριάσιν ἐπινικίων κρότων ᾀδόμενος· καὶ γὰρ οὗτος νεανικῶς ἀνδρισάμενος πίστει καὶ ἐλπίδι καὶ πεποιθήσει τῇ εἰς χριστὸν νευρούμενος τὸν ἐν τοῖς διώκταις ἐνεργοῦντα τυράννοις δεινὸν ὀλετῆρα τῇ πέτρας στερροτέρᾳ γενναιότητι καταβέβληκε, καὶ στέφος νίκης ἀπενεγκάμενος, μελοπλόκοις ὕμνοις καὶ ἐγκωμίοις διηνεκῶς καταγεραίρεται. καὶ ἄλλος ἰεζεκιὴλ μυστικωτάτων θείων θεαμάτων ἐπόπτης καὶ ὑφηγητής, ποικιλίας θεοφανειῶν καὶ συμβολικῶν μορφωμάτων διαγράφων, καὶ διὰ τῶν αἰσθητῶν εἰκόνων ἐπὶ τὴν τῶν ἀΰλων καὶ νοερῶν θεωρίαν τὴν ἡμετέραν ἰσχνοτάταις ἱεροφαντείαις ἀνάγων διάνοιαν. ἀλλὰ τί μοι δεῖ τὸν τοιοῦτον ἀξιάγαστον ἱεροφάντορα τοῖς τὸ φῶς σκιαγραφοῦσιν ἀπεικάσαι· δέον αὐτὸν μᾶλλον παραβάλλειν τοῖς αὐτῷ τῷ φωτὶ κατηξιωμένοις αὐτοφανῶς συνδιαιτᾶσθαί τε καὶ συνομιλεῖν. ἐκείνῳ δὴ τῷ μεγάλῳ καὶ κορυφαιοτάτῳ πέτρῳ παρεικαστέον αὐτόν, ᾧ τὴν προαιώνιόν τε καὶ ἄχρονον, καὶ νῷ παντὶ καὶ λόγῳ παντελῶς ἀκατάληπτόν τε καὶ ἀπεριόριστον τοῦ συνανάρχου καὶ συναϊδίου υἱοῦ γέννησιν ὁ ἄναρχός τε καὶ ἀγέννητος πατὴρ ἀπεκάλυψεν.

Ministerio de Educación, Cultura y Deporte

ἐφ' ᾧ, πέτρᾳ καὶ θεμελίῳ τῆς πίστεως ἀσαλεύτῳ χρηματίσαντι, χριστὸς, ἡ ὄντως πέτρα τῆς ζωῆς, καὶ τῶν ὄντων ποιητική τε καὶ συνεκτική, τὴν οἰκείαν ἐκκλησίαν ἐδείματο, ὅτι τε τῆς ἐν οὐρανοῖς κατοικίας καὶ κληρουχίας κλειδοῦχον, καὶ κληροδότην ἀπέφηνεν, ἐξουσίαν αὐτῷ θείαν λύειν τε καὶ δεσμεῖν ἁμαρτημάτων σειρὰς παρασχόμενος. καὶ ὃς τὴν βασιλίδα ῥώμην ταῖς πρὸς χριστοῦ πανολβίοις ἀποβρυούσαις καὶ θαυματουργίαις κατήστραψε, καὶ τὴν δυτικὴν ἀμαυρότητα μετεποίησεν εἰς διαυγεστάτην λαμπρότητα. ἢ τῷ τῆς βροντῆς υἱῷ, τῷ τὰ θεῖα, καὶ ὑπερφυῆ, καὶ πάσαις ἀνθρωπείαις ἀκοαῖς καὶ φρεσὶν ἄβατα, καὶ αὐταῖς ταῖς ὑπερκοσμίαις οὐσίαις ἀκίχητα τῷ κόσμῳ καταβροντήσαντι, ἅτε τοῖς τῆς ἀληθινῆς, καὶ ἐνυποστάτου σοφίας ἐπικλιθέντι στέρνοις, κἀκ τῶν πανολβίων καὶ ἀενάων τῆς κρυφιομύστου θεϊκῆς αὐτῆς γνώσεως θησαυρῶν ἀπαντλήσαντι διειδέστατα θεολογίας νάματα ἢ παύλῳ τῷ οἰκείῳ φωταγωγῷ καὶ ἱεροτελεστῇ οἰκειότερον ἂν εἴη παρομοιῶσαι, τῷ τῶν οὐρανίων ἀψίδων ὑπερβάντι, καὶ τὰ βροτοῖς ἀθέατα κατοπτεύσαντι, καὶ ἃ μὴ ἔξεστιν ἀκούειν ἐνωτισθέντι, καὶ μυσταγωγηθέντι μυστικώτατα ῥήματα, καὶ τοῦ παραδείσου τῆς ἀρχαίας ἡμῶν πατρίδος ἐπιβατεύσαντι, καὶ τὴν ἐκεῖσε μακαριότητα τὴν διαγωγὴν ἱστορήσαντι· ἧς διὰ τὴν οἰκείαν προπέτειαν, καὶ τῆς δεσποτικῆς ἐντολῆς παράβασιν ἄποικοι γεγόνασιν οἱ προπάτορες· ὃς καὶ ἡλίου δίκην ἅπασαν τὴν οἰκουμένην διελήλυθε, καὶ ἐξ ἀπιστίας εἰς πίστιν τὴν ἐθνικὴν αὐστηρείαν ἐζώγρησε· τούτων γὰρ τῷ τοῦ θείου ζήλου διακαὲς, καὶ τὸ τῆς ἀγάπης εἰλικρινὲς, καὶ τὸ τῆς γνώμης ἐπιεικὲς, καὶ τὸ περὶ τοὺς πέλας συμπαθὲς, καὶ τὸ τῆς μεγαλοφροσύνης εὐκλεὲς, καὶ τὸ τῆς ἀνδρίας καὶ παρρησίας περιφανὲς μιμησάμενος, καὶ πρὸς τὸ τῆς πολιτείας ἑκάστου θεοειδὲς τὴν ἑαυτοῦ βιοτὴν ὅλην μεταρ-

Ministerio de Educación, Cultura y Deporte

μοσάμενος, τὴν ἀποστολικὴν ἐπαξίως παρὰ κυρίου χάριν ἐκομίσατο, καὶ σημείων δύναμιν, καὶ προφητικὴν ἔλλαμψιν, καὶ θεολογίας πέλαγος· τὴν γὰρ ἐκ τῆς ἑλληνικῆς αὐτῷ συναγηγερμένην σοφίαν παιδεύσεως θεραπαινίδα τῆς ἄνω καταταξάμενος, καὶ καθάπερ σοφὴ μέλιττα, τὰ τῆς κάτω καλλιστεύματα τῇ θείᾳ καὶ οὐρανίῳ καλλιερήσας, καὶ πρὸς τῆς θεαρχικωτάτης φωτοχυσίας πληρωθεὶς ἐμπνεύσεως, λελάληκέ τε καὶ τεθεολόγηκε, καὶ συντέταχε τὰ νοῦν ἅπαντα καταπλήττοντα· ἀπὸ γὰρ τῆς τῶν ὁρωμένων διασκέψεως ἐπὶ τὴν τῶν ἀοράτων ἀνάπλησιν ἀναπλὰς τῷ λογισμῷ, καὶ τὰς τριττὰς τῶν ὑπερκοσμίων λαμπροτάτων ταγμάτων ἐκκλησίας ἐπιθεωρήσας, καὶ τοῖς καθ' ἑκάστην τρεῖς ἁγιωτάτοις ἀγγελικοῖς διακόσμοις, οἷά τις ὑπερκόσμιος τυγχάνων καὶ οὐράνιος ἄγγελος, καὶ τοῖς ἀσωμάτοις ὁμοταγὴς κἀν ἴσα διαχαραξάμενος, καὶ τὴν ἐν αὐτοῖς εὐταξίαν καὶ οὐρανίαν ἱεραρχίαν καταλέξας, τὸ τῆς ψυχῆς φωτοειδὲς εὐλαβῶς ἐπὶ τὸν τῆς ὑπερθέου θεότητος θῶκον ἀνατείνει· καὶ τοῖς τῷ θείῳ καὶ καθαρτικωτάτῳ καθαρθεῖσιν ἄνθρακι χείλεσι, θεολογεῖ τὴν ἐν τριάδι μίαν ἀδιαίρετον, ἄκτιστον θεότητα, μίαν κυριότητα τῶν ὅλων δημιουργὸν, προνοητικήν τε καὶ συνεκτικὴν, μίαν οὐσίαν, μίαν ἐξουσίαν, καὶ βασιλείαν, καὶ δύναμιν, καὶ μίαν θέλησίν τε καὶ ἐνέργειαν, καὶ τὰς ἐν μονάδι τρεῖς ὁμοουσίους τε καὶ συναϊδίους καὶ συνανάρχους ὑποστάσεις, ἀριθμῷ μὲν καὶ ἰδιότησιν ἀμεταπτώτοις καὶ ἀκινήτοις διαιρουμένας, ἑνουμένας δὲ θεότητι, οὐ συναλειφομένας, ἀλλ' ἐν ἀλλήλαις ἀσυγχύτως οὔσας, ἑκάστην μετὰ τῆς ἰδιότητος θεωρουμένας, οὐ τόπῳ, οὐ περιορισμῷ, οὐδ' ὁποιασοῦν περιγραφῇ· ἀσωμάτοις γὰρ καὶ ἀπεριγράπτοις διϊσταμένας, ἄπαγε, ἀλλὰ μόναις ταῖς ἐπινοίαις διαστελλομένας, ὅσον γε κατανοεῖν ἐνδέχεται τὴν τριαδικὴν αὐ-

Ministerio de Educación, Cultura y Deporte

τῶν δίχα φυρμοῦ καὶ συναλοιφῆς ἀπαρίθμησιν, μιᾷ λατρείᾳ καὶ προσκυνήσει λατρευομένας καὶ προσκυνουμένας, ἕνα θεὸν, ἕνα κύριον σέβειν ὑποτιθέμενος, ἐν τρισὶν ὑποστάσεσι λατρευόμενόν τε καὶ προσκυνούμενον εἰς μίαν ἀρχὴν καὶ αἰτίαν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἀναφερομένων· καὶ τοῦ μὲν υἱοῦ πρὸ πάντων τῶν αἰώνων ἐκ μόνου τοῦ πατρὸς, ἤγουν, ἐκ τῆς οὐσίας αὐτοῦ, γεγεννημένου καὶ μόνου, καὶ μόνως, ἀσωμάτως, καὶ ἀπαθῶς, καὶ ἀχρόνως· τοῦ δ᾽ αὖ πνεύματος ἐξ αὐτοῦ μόνου τοῦ πατρὸς ἐκπορευομένου, καὶ διὰ τοῦ υἱοῦ προϊόντος, καὶ τοῖς ἀνθρώποις πεφηνότος· μοναρχίαν διδάσκων, οὐχ ἣν ἓν περιγράφει πρόσωπον· ἔστι γὰρ τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ καθίστασθαι· ἀλλ᾽ ἣν ὁμοτιμία συνίστησι φύσεως, καὶ συμπνοία γνώμης, καὶ ταυτότης κινήσεως, καὶ πρὸς τὸ ἓν ἐξ αὐτοῦ σύνευσις. ἀλλ᾽ ἔοικα τῇ κοτύλῃ μετρεῖν βουλομένῳ τὴν ἄβυσσον, τὴν τοῦ μεγάλου θεολόγου τούτου πανυπέρτατην θεολογίαν τοῖς τῆς ἡμετέρας ταπεινότητος χθαμαλοῖς λογαρίοις διαφράσαι πειρώμενος· πρόκειται γὰρ ἡ θεοφεγγὴς βίβλος ἐκείνη φωτὸς ἡλιακοῦ λαμπρότερον ἀφεῖσα λόγων οὐρανίων ἀμαρύγματα, τῆς μὲν ψευδωνύμου γνώσεως τὴν ψυχοφθόρον ἀπελαύνοντα ζόφωσιν, ὀρθῶν δὲ καὶ θείων διασαφοῦντά τε καὶ διατρανοῦντα δογμάτων ἀσφάλειαν· οὐ μόνον γὰρ τὰς ὑπὸ τοῦ τῶν ζιζανίων ἐπισπορέως κατὰ τοὺς ἀποστολικοὺς χρόνους ἐπισπαρείσας αἱρετιζούσας ἑτεροχειλίας, καὶ τερατολογίας ἀνέσπασε πρόρριζον, ἀλλὰ καὶ τὰς μετέπειτα κατὰ τῆς ἁγίας ὁμοφυοῦς δεσποτικῆς τριάδος, τάς τε κατὰ τῆς ἐνσάρκου τοῦ θεοῦ λόγου Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, καὶ τὰς ὕστερον κατὰ τοῦ χριστωνύμου πληρώματος, καὶ κατὰ τῆς τῶν ἁγίων, καὶ σεπτῶν εἰκόνων ἐν ταῖς καθ᾽ ὅλην τὴν οἰκουμένην πανευαγέσιν ἐκκλησίαις καὶ ἀποστολικαῖς καθέδραις, ἀναστηλώσεώς τε

Ministerio de Educación, Cultura y Deporte

καὶ προσκυνήσεως, ἀναδιδαχθείσας ἀντὶ θεοῖς βλασφημίας, καὶ γλωσσαλγίας καθ᾽ ὅλε προτεθελυμμένον, τοῦ θεοῦ δηλαδὴ περιβλεπτικῶς πόρρωθεν διὰ τῆς ἐκείνου γλώττης, τῆς πάσης διστόμου μαχαίρας τμητικωτέρας προεκκύλλοντός τε καὶ προεκλέμνοντος παντοίαν δηλητήριον, καὶ φθοροποιὸν αἱρετικῶν σπερμάτων βλάστησιν· τῶν δὲ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν κηρυγμάτων, καὶ παραδόσεων συνιστῶντος, καὶ ἐπιβεβαιοῦντος ἀλήθειαν. οὐκοῦν παρακλέον αὐτολεξεὶ τὴν χρυσαυγεστάτην θεοφαντορείαν, τῆς αὐτοῦ θεολαμποῦς καὶ θεοκινήτου διαφράσεως, περὶ τῆς τρισυποστάτου θεότητος, καὶ τῆς τοῦ ἑνὸς τῆς τριάδος μονογενοῦς υἱοῦ τοῦ θεοῦ διὰ τῆς ἐκ παρθένου γεννήσεως πρὸς ἀνθρώποις ἐπιφανείας· ἐν γὰρ τῇ τῶν θείων ὀνομάτων ἀναπτύξει τάδε φησίν, Ὅθεν πάσῃ σχεδὸν τῇ θεολογικῇ πραγματείᾳ τὴν θεαρχίαν ὁρῶμεν ἱερῶς ὑμνουμένην, ὡς μονάδα μὲν, καὶ ἑνάδα, διὰ τὴν ἁπλότητα, καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερείας, ἐξ ἧς ὡς ἑνοποιοῦ δυνάμεως ἑνιζόμεθα, καὶ τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων ὑπερκοσμίως συμπτυσσομένων εἰς θεοειδῆ μονάδα συναγόμεθα, καὶ θεομίμητον ἕνωσιν· ὡς τριάδα δὲ, διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφανσιν, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐστὶ, καὶ ὀνομάζεται· ὡς αἰτίαν δὲ τῶν ὄντων, ἐπειδὴ πάντα πρὸς τὸ εἶναι παρήχθη διὰ τὴν αὐτῆς οὐσιοποιὸν ἀγαθότητα· σοφὴν δὲ καὶ καλὴν, ὅτι τὰ ὄντα πάντα τὰ τῆς οἰκείας φύσεως ἀδιάφθαρτα διασώζονται, πάσης ἁρμονίας ἐνθέου, καὶ ἱερᾶς εὐπρεπείας ἐστὶν ἀνάπλεα· φιλάνθρωπον δὲ διαφερόντως, ὅτι τοῖς καθ᾽ ἡμᾶς πρὸς ἀλήθειαν ὁλικῶς ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων ἐκοινώνησεν, ἀνακαλουμένη πρὸς ἑαυτὴν, καὶ ἀναθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιὰν, ἐξ ἧς ἀρρήτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη, καὶ παράτασιν εἴληφε χρο-

Ministerio de Educación, Cultura y Deporte

νικὴν ὁ ἀΐδιος, καὶ εἴσω τῆς καθ' ἡμᾶς ἐγεγόνει φύσεως, ὁ πάσης τῆς κατὰ πᾶσαν φύσιν τάξεως ὑπερουσίως ἐκβεβηκώς, μετὰ τῆς ἀμεταβόλου καὶ ἀσυγχύτου τῶν οἰκείων ἱδρύσεως. καὶ συνῳδὰ τούτοις, ἃ ἔτι περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως ἐπιστέλλει πρὸς Γάϊον, Πῶς, φής, Ἰησοῦς ὁ πάντων ἐπέκεινα πᾶσίν ἐστιν ἀνθρώποις οὐσιωδῶς συντεταγμένος· οὐ γὰρ ὡς αἴτιος ἀνθρώπων ἐνθάδε λέγεται ἄνθρωπος, ἀλλ' ὡς αὐτὸς κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ὤν. ἡμεῖς δὲ τὸν Ἰησοῦν οὐκ ἀνθρωπικῶς ἀφορίζομεν· οὐδὲ γὰρ ἄνθρωπος μόνον, οὐδὲ ὑπερούσιος ἄνθρωπος μόνον, ἀλλ' ἄνθρωπος ἀληθῶς ὁ διαφερόντως φιλάνθρωπος ὑπὲρ ἀνθρώπους, καὶ κατὰ ἀνθρώπους ἐκ τῆς ἀνθρώπων οὐσίας, ὁ ὑπερούσιος οὐσιωμένος· ἔστι δὲ οὐδὲν ἧττον ὑπερουσιότητος ὑπερπλήρης, ὁ ἀεὶ ὑπερούσιος, ἀμέλει τῇ ταύτης περιουσίᾳ, καὶ εἰς οὐσίαν ἀληθῶς ἐλθὼν ὑπὲρ οὐσίαν οὐσιώθη, καὶ ὑπὲρ ἄνθρωπον ἐνήργει τὰ ἀνθρώπου· καὶ δηλοῖ παρθένος, ὑπερφυῶς κύουσα, καὶ ὕδωρ ἄστατον ὑλικῶν καὶ γεηρῶν ποδῶν ἀνέχων βάρος, καὶ μὴ ὑπεῖκον. ἀλλ' ὑπερφυεῖ δυνάμει πρὸς τὸ ἀδιάχυτον συνιστάμενον. τί ἄν τις τὰ λοιπὰ πάμπολλα ὄντα διέλθοι, δι' ὧν ὁ θείως ὁρῶν ὑπὲρ νοῦν γνώσεται, καὶ τὰ ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Ἰησοῦ καταφασκόμενα δύναμιν ὑπεροχικῆς ἀποφάσεως ἔχοντα. καὶ ἵνα συνελόντες εἴπωμεν, οὐδὲ ἄνθρωπος ἦν· οὐχ ὡς μὴ ἄνθρωπος, ἀλλ' ὡς ἐξ ἀνθρώπων, ἀνθρώπων ἐπέκεινα, καὶ ὑπὲρ ἀνθρώπων ἄνθρωπος γεγονώς, καὶ τὸ λοιπὸν οὐ κατὰ θεὸν τὰ θεῖα δράσας, οὐ τὰ ἀνθρώπεια κατὰ ἄνθρωπον, ἀλλ' ἀνδρωθέντος θεοῦ καινήν τινα καὶ θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος. καὶ τῇ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας διδασκαλίᾳ τὴν περὶ τῆς θείας τοῦ μύρου τελετῆς ἀναπτύσσων θεωρίαν ἔφη, Οὐκοῦν ἡ θειοτάτη τῶν ὑπερουρανίων

Ministerio de Educación, Cultura y Deporte

οὐσιῶν τάξις, οὐκ ἠγνόηκε τὸν θεαρχικώτατον Ἰησοῦν εἰς τὸ ἁγιάζεσθαι καταληλυθότα. νοεῖ δὲ αὐτὸν ἱερῶς ἐν τοῖς καθ᾽ ἡμᾶς, ἑαυτὸν ὑφέντα διὰ θείαν καὶ ἄρρητον ἀγαθότητα, καὶ πρὸς τοῦ πατρὸς ἑαυτοῦ τε καὶ τοῦ πνεύματος ἀνθρωποπρεπῶς ἁγιαζόμενον ὁρῶσα, τὴν οἰκείαν οἶδεν ἀρχὴν, ἐν οἷς ὢν θεαρχικῶς δρᾷ τὸ κατ᾽ οὐσίαν ἀναλλοίωτον ἔχουσα· ὅθεν ἡ τῶν ἱερῶν συμβόλων παράδοσις ἁγιαζομένῳ τῷ θείῳ μύρῳ τοῖς σεραφὶμ περιΐστησιν, ἀπαράλλακτον εἰδυῖα καὶ διαγράφουσα τὸν χριστὸν ἐν τῇ καθ᾽ ἡμᾶς ὁλικῇ πρὸς ἀλήθειαν ἐνανθρωπήσει.

ὦ τῶν μακαριωτάτων χειλέων τῶν ταῦτα φθεγξαμένων· ὡς ἀληθῶς ἐν αὐτοῖς τοῦ παρακλήτου τῶν χαρισμάτων, ὅθεν αἱ δωρεαὶ τοῖς θεοειδῶς ψυχὴν καὶ σῶμα κεκαθαρμένοις, οἷς ἐτύγχανεν ὢν οὗτος ὁ πανάγιος ἱεροφάντωρ, ἡ χάρις ἐκκέχυται. ὦ τῆς ἐπιτηδειοτάτης πρὸς ὑπηρεσίαν τῆς θεοφθεγξίας ἱεροφάντιδος γλώττης, τῆς τὰ ἄδετα τῶν κρυφιομύστων μυημάτων ἐκφαντορικώτατα διαπετασάσης, ὄντως ὀξυγράφου, κατὰ τὸ λόγιον, γραμματέως ἐχρημάτισε κάλαμος. ὦ τῆς φανοτάτης φρενὸς τῆς τὰ τοιαῦτα τὸν ὑπὲρ πάντα νοῦν, καὶ λόγον, ἐλλαμφθείσης νοήματα· ἧς γὰρ νοῦς ὀξυδερκέστατα θείως ὁρῶν, οὐχ ὥσπερ ἔν τισιν ἀργαλεωτάταις φοναῖς τραυματιῶν πλῆθος αἵματι καὶ κονίῃσι πεφυρμένον, ἅπαν τὸ τῶν αἱρεσιωτῶν δυσμενέστατον στίφος ἐν ταῖς βραχυτάταις τῶν θεοφράστων ῥημάτων τούτων περιοχαῖς κατερριπτός τε καὶ διολωλὸς κατόψεται. ταῦτα μὲν δὴ καὶ λίαν ὀλίγα τῶν ὡραιοτάτων αὐτοῦ δογματικῶν ἡμῖν ἀπηνθίσαι λειμώνων, ὅσον καλλωπίσαι τὴν εὐφημίαν τῆς ὑψηλοτάτης αὐτοῦ θεολογίας, καὶ τῆς ἀπαραβλήτου καὶ διαυγεστάτης ὀρθοδοξίας τῆς ἀληθοῦς καὶ ἀλήπτου πίστεως· τῇ δέ γε κυβερνητικῇ σοφίᾳ, καὶ ποιμαντικῇ ἐπιστήμῃ, μεθ᾽ ἧς τὸ ἐμπιστευθὲν διεῖπε ποίμνιον, ποίους ἂν ἐπαι

Ministerio de Educación, Cultura y Deporte

ξίοις ἐφαρμόσαι τρόποις ἰσχύσαιμι· ὡς γὰρ κυβερνήτης τῆς πρύμνης ἐπικαθήμενος, καὶ τῶν οἰάκων ἐπειλημμένος εὐχερῶς, πάντοθεν περισκοπεῖ τὰς τῶν ἀνέμων ἐφόδους, καὶ τοὺς μὲν καταιγιδώδεις προφυλάττεται πόρρωθεν ἢ σχεδόθεν ἰόντας πολλάκις, καὶ τοὺς πλωτῆρας προασφαλίζεται, καὶ τὴν τῆς ἀέλλης προκαταλαμβάνων ἔμπτωσιν, προχαλᾷ τοῖς προτόνοις τὸ ἱστίον καὶ ὑφίησι· πρὸς δὲ τοὺς οὐρίους διανίσταται, καὶ τὸν ἀρτέμονα αὖθις ἐκπετάσας εὐθέτως πηδαλιουχεῖ τὴν ὁλκάδα, καὶ τὸν πλοῦν ἀγαλλόμενος διανύει, τοῦ κύματος περιηχοῦντος τῇ τρόπιδι, καὶ τοῦ φοροῦ κατὰ πρύμνης φυσῶντος πνεύματος· εἰ δέ που καὶ κυματώδης ἐπανίσταται ζάλη, ἔστιν ὅτε τῇ σοφῇ τέχνῃ τὸ σκάφος ἰθύνει τῶν κυμάτων ἀνώτερον, καὶ ἀναυάγητον διασώζει· καὶ εἴ ποτε νηνεμία, καὶ γαλήνη βαθεῖα παντοίαν κατευνάσοι τρικυμίαν, οὐδ᾽ οὕτως ἠρεμεῖ καὶ καθεύδει, ἀλλὰ τοὺς ἐρέτας ἐγκελεύεται τὴν ναῦν ἐλαύνειν τοῖς ἐρετμοῖς, καὶ παραινεῖ νήφειν διὰ παντὸς, ἵνα τοὺς κινδύνους διαδράντας τοὺς ναυτιλλομένους σὺν τοῖς ἀγωγίμοις εὐπλοοῦντας τῷ λιμένι προσορμίσειεν. ἀλλὰ μὴν καθάπερ τις αἰπόλος, τοὺς μὲν λυμαντικοὺς θῆρας ἐφορμῶντας αἰχμαῖς ἀμύνει, καὶ σφενδόνῃ καὶ καλαύροπι, καὶ μέσων νυκτῶν εἰ περιελθεῖεν ἐπιδραμεῖν, λαμπάσι καὶ πυρὸς ἀκοντίοις δεδίττεται· περιφρουρεῖ δὲ τὰ πρόβατα πάντῃ περιπολῶν, τῶν μὲν φθοροποιῶν καὶ νοσερῶν ἀπάγων νομῶν, ἐπὶ δὲ τὰς ὀνησιφόρους καὶ καλλίστας ἄγων· καὶ τὸ μὲν ἑστὼς καὶ ὑγιῶς ἔχον φυλάττων ἀπηνές, τὸ δὲ πεπτωκὸς, ἢ νενοσηκὸς, ἢ τεθλασμένον, ἢ τετραυματισμένον ἀνορθῶν, καὶ περισφίγγων, ἀλείφων τε καὶ ἰώμενος· πολλάκις δὲ καὶ τῶν ὀνύχων καὶ στομάτων τῶν ἁρπακτικῶν θηρίων τὸ ἅρπαγμα ἔμπνεον ἔτι καὶ περισπαῖρον ἀποσπώμενος, καὶ ἀναζωπυρῶν, καὶ οἷον ἐκ θανάτου πρὸς ζωὴν ἀνακομίζων τὸν

Ministerio de Educación, Cultura y Deporte

αὐτὸν δὴ τρόπον ὁ σοφώτατος κυβερνήτης οὗτος, οἱονεὶ πλοῖον τὴν νεόπηκτον οἰακίζειν ἐκκλησίαν παραχθεὶς, ἐν μέσῳ πελάγους κλύδωνος πανταχόθεν ἐπερχομένου, καὶ ποίμνης λογικῆς νεογνοῦς ἐπιστασίαν ἐμπιστευθεὶς, τῆς εἰδωλομανίας ἰσχυρῶς ἐπικρατούσης, τοῦ τε τυράννου καὶ τῶν τοῦ κόσμου ματαίων σοφῶν, καὶ ῥητόρων, θηρῶν ἐμμανέστερον κατὰ τῶν ἐξ ἰουδαϊκῆς σκιώδους νομολατρείας, ἢ τῆς ἑλληνικῆς ἀθεΐας ἐπὶ τὴν εἰς χριστὸν εὐαγῆ πίστιν μεταφοιτώντων μαινομένων, εὐδοκιμώτατος περιστάτης, καὶ γνησιώτατος τοῦ χριστοῦ ποιμὴν, καὶ τῆς ἀποστολικῆς προεδρείας ὡς ἀληθῶς ἄξιος ἀνεδείχθη, τὸν θεόλεκτον λαὸν κηδεμονικῷ τε καὶ φιλαγρύπνῳ καὶ θαρσαλέῳ περιέπων φρονήματι, καὶ τὴν μὲν τῶν περιφανῶν τῆς πίστεως ἀλλοτρίων, καὶ τοῦ θείου κηρύγματος ἐναντίων λυσσωδίαν, τῇ τε τῶν καθαρωτάτων καὶ εὐπαρρησιάστων προσευχῶν εὐτονίᾳ, καὶ ταῖς τῶν ὁσίων χειρῶν πρὸς τὸν δυνάμενον θραύειν αὐτὴν θεὸν ἐκτάσεσι καὶ ἐκτενέσι δεήσεσιν ἀποτρεπόμενος· τὴν δὲ τῶν, προσχήματι μὲν οἰκείων, ἐχθρῶν δὲ κακίστων οὐδὲν ἄμεινον διακειμένων, καὶ προβάτου μὲν δορὰν ἔκτοσθεν περιβεβλημένων, ἕξιν δὲ λύκου, καὶ γνώμην ἔνδοθεν βυσσοδομευόντων, εὐφώρατον πᾶσι τιθεὶς κακορραφίαν τε καὶ δολιότητα. τὰς μέντοι τῶν σοφιστῶν καὶ ῥητόρων τῶν κατὰ τοῦ σωτηρίου δόγματος σοφιζομένων, καὶ διαλεκτικαῖς μεθόδοις, σοφιστικαῖς τε καὶ ῥητορικαῖς δεινότησι χρωμένων προτάσεις, ἐνστάσεις τε καὶ ἀντιθέσεις ἀράχνης ἱστὸν εὐδιάλυτον ἡγεῖτο, καὶ εὐδιάθρυπτον, ῥᾷστα διασπαράττων καὶ διαλύων ἕκαστα τὰ πρὸς αὐτῶν κλεψίνοα σοφίσματά τε καὶ προβλήματα· ἀλλὰ μὲν πρὸς τοὺς πολεμίους τῆς ἀχράντου τῆς σωτηρίας ἐγρηγορὼς διετέλει, τῇ παντοδυνάμῳ τοῦ θεοῦ καὶ βασιλέως ἡμῶν χριστοῦ δυναστείᾳ, καταστέλλων αὐτῶν τὸ

φρύαγμα

Ministerio de Educación, Cultura y Deporte

φρύαγμα, καὶ τὴν ψευδώνυμον γνῶσιν διελέγχων. καὶ περὶ πολλοῦ μὲν ἐποιεῖτο τῶν μαθητευομένων ψυχῶν ἐξαλείφειν τὰ πρότερον κακῶς ἐνσημανθέντα τῆς ἀθεότητος καὶ βδελυγμίας χαράγματα· μεταγράφειν δὲ τὰ τῆς θεοσεβείας καὶ τοῦ ὑπερκοσμίου σοφίας διδάγματα. μὴ τοὺς καρποὺς δὲ τῶν ἃ παρεδίδου καὶ ἐξεδίδασκεν ἀπαιτεῖν, ὡς ἂν οἰηθείη τις, ἠμέλει. οὐ μὲν οὖν, ἀλλὰ δίχα πράξεων τὰς τῶν θείων λόγων μυήσεις ὑπαρχούσας, δένδροις, φύλλων μὲν εὐθαλείᾳ κομῶσιν, ἀκαρπίαν δὲ νοσοῦσιν ἐοικέναι διϊσχυρίζετο, καὶ τὴν πίστιν χωρὶς ἔργων εἶναι νεκρὰν ἐξεπαίδευεν, ὑποτιθέμενος χρῆναι τοὺς πιστοὺς κοσμεῖν ἑαυτοὺς ταῖς τῶν ἐντολῶν τηρήσεσι, καὶ μηδὲν ἐναργέστερον ἄλλο, ἢ τοῦτο καθεστηκέναι τῆς ἀκραιφνοῦς καὶ βεβαίας εἰς Χριστὸν πίστεως καὶ ἀγάπης γνώρισμα, καὶ δεδιέναι νουθετῶν ἀεὶ τὸ μέλλον φρικῶδες δικαιωτήριον, καθ' ὃ τῶν βεβιωμένων τε καὶ πεπραγμένων ἀπαιτηθήσεται λόγον ἕκαστος, καὶ ὃς μὲν τὴν ὀρθὴν πίστιν φυλάξας, χριστιανοπρεπῆ μετελήλυθε βίον, καὶ τῷ ἀδεκάστῳ κριτῇ τοῖς ἔργοις εὐηρέστησε, τὴν τῶν ὄντως μακαρίων ἀγαθῶν διαιωνίζουσαν χλιδὴν ἀπολήψεται· ὃς δὲ μὴ τῇ πίστει τὴν ἀρίστην πολιτείαν καὶ πρᾶξιν προσέθηκεν, ἀλλὰ ταύτην τῇ κακίᾳ κατέχρανε, τὴν ἀξίαν τῆς ἰδίας ἀβελτηρίας εἰσπραχθήσεται δίκην, ἀνένδοτά τε καὶ ἀπέραντα κολασθήσεται· πάντας γὰρ ἐπαιδαγώγει καὶ ἐρρύθμιζε κατὰ τὴν εὐαγγελικὴν βαδίζειν τρίβον, καὶ κατὰ τὴν ἀποστολικὴν διαβιοῦν παράδοσιν, κατὰ καιρὸν οἰκονομῶν ἐν κρίσει τοῦ λόγου τὸ σιτομέτριον· τοὺς μὲν γὰρ ἔτι τὴν ἕξιν νηπίους καὶ ἀρτιπαγεῖς ἔτρεφε γάλακτι, τοῖς ἁπλουστέροις φημὶ καὶ στοιχειωδεστέροις διδάγμασι· τοὺς δὲ τελείους τὴν ἡλικίαν, καὶ τὴν ἀνδρείαν ἱκανοὺς προσφέρεσθαι τροφήν, ἅτε δὴ καλῶς σῶμά τε καὶ ψυχὴν προκεκαθαρμένους, τῇ τελείᾳ

καὶ μυστικῇ σοφίᾳ, τῷ τρόπῳ πλέον ὂν, ἐν ἑαυτῷ προεδείκνυ χαρακτὴρ ἄριστος ἀρετῆς τοῖς ποιμαινομένοις γινόμενος, ἢ τῷ λόγῳ διδάσκων· τοῦ γὰρ κοινοῦ τῆς ἐκκλησίας σώματος ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν, καὶ ἠθῶν, καὶ τρόπων, καὶ λόγων συγκειμένου, κἀν δὲ μορφῇ ἁπλοῦς ἦν ὁ αὐτὸς, καὶ παντοδαπὸς, καὶ ποικίλος· ἁπλοῦς μὲν, τῇ ὀρθότητι, καὶ ἀληθείᾳ, πάσης ὑπουλότητος καὶ διπλόης ἀπηλλαγμένος· ποικίλος δὲ, τῇ τῆς εὐστόχου διοικήσεως καὶ προστασίας εὐμηχανίᾳ τὴν κατάλληλον ἑκάστῳ προσφέρων θεραπείαν, καὶ δίαιταν, καὶ τῶν ψυχικῶς ἀσθενούντων, τῷ μὲν, τοῦτο· τῷ δὲ, ἐκεῖνο σοφῶς καὶ ἐπιτηδείως προσνέμων ἀκεσώδυνον φάρμακον· τούς τε γὰρ εὐδρομοῦντας ἐπέσπευδε, τῶν ὄπισθεν ἐπιλανθανομένους τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι· τοὺς δ' αὖ νωθεῖς τε καὶ νωχελεῖς πρὸς μίμησιν τῶν καλῶς τρεχόντων παρώτρυνεν. ἔτι δὲ τῶν προβάτων τῆς μάνδρας ἀποσκιρτῴη, καὶ μακρὰν ἀποπλανῷτο, ἐπὶ τὰς ἐρήμους αἰγιαλεύειν καὶ περινοστεῖ, τῇ τε σύριγγι, καὶ τοῖς νομίοις μέλεσιν ἀνεκαλεῖτο, καὶ ἔδρα πάντα, καὶ ἔπασχεν, ἕως ἂν τὸ πλανώμενον ἀνασώσηται. χεῖρα δὲ τοῖς τῆς εὐθείας ἀπολισθαίνουσιν ὤρεγε, καὶ τοὺς χαμαὶ κειμένους ἀνώρθου. οἵαν δὲ πρὸς τοὺς ἀδικοῦντας καὶ θρασυνομένους, καὶ τῆς εὐταξίας ἀποθέοντας ἐνιπὴν ἔνδικον ἐποιεῖτο, καὶ ὅπως τοὺς ὑπὸ τοὺς πέλας ἀδικουμένους τε καὶ πλεονεκτουμένους ἐξεδίκει, καὶ τὸ φιλάνθρωπον ὅσον περὶ τοὺς ἡμαρτηκότας εἶχεν, ἅπασιν ἐκπεταννὺς τὰς τῆς μετανοίας πύλας, καὶ τοὺς ἐπιστρέφοντας ἀσπασίως, καὶ φαιδρῶς, ὡς Χριστοῦ μιμητὴς, προϊέμενος, καὶ Ναυάτου τὴν ἀπανθρωπίαν τε ἀλαζονείαν ἀπαρχῆς τοῦ θείου κηρύγματος τῶν ἱερῶν περιβόλων ἐξοστρακίζων, δηλώσει τοῖς ἀκροαταῖς ὁ λόγος, ὁ τῆς τῷ Δημοφίλῳ πεποιημένης διηγήσεως ἀκροθιγῶς ἁψάμενος, ἀφεὶς ἐντελέστερον μαθεῖν

ἐντευξομένους τοῖς ἃ πρὸς ἐκεῖνον ὁ θαυμασιώτατος ποιμὴν γεγράφηκεν. οὗτος ὁ Δημόφιλος ὑπῆρχε τῶν ὑπὸ τῷ μεγάλῳ τελούντων ἱεροθέτῃ Διονυσίῳ θεραπευτῶν, ἐκ τῆς ὑπὸ Ἀθηναίοις ἐπαρχίας ὁρμώμενος, διὰ τῆς ἱεροτελεστικῆς αὐτοῦ πανοσίου χειροθεσίας θεραπευτὴς τεταγμένος· μοναχοὶ δὲ τοῦτο τὸ τάγμα χρηματίζουσι, τῇ προσηγορίᾳ ταύτῃ κατ' ἐκεῖνον καιροῦ μάλιστα καλούμενοι, ταῖς τοῦ ἱερατείου πύλαις ἐφεστάναι ταττόμενοι. τὸν οἰκεῖον οὖν πρεσβύτερον οὑτοσὶ τετυραννηκὼς, εἰσπεπηδηκὼς ἐν τοῖς ἀδύτοις, οὐ χωρεῖν ἔσω αὐτῷ θεμιτὸν, ἀπὸ τοῦ θυσιαστηρίου τε συνέστειλε, καὶ τοῦ χώρου τῶν ἱερωμένων σὺν ἀτιμίαις καὶ προπηλακισμοῖς ἐξέωσε, ζηλώσας δῆθεν, καὶ χαλεπήνας, ὡς ὁ χριστομίμητος ἱερεὺς ἀπὸ ἁμαρτημάτων τινὰ μετανοοῦντα προσήκατο, ὃν ὡσεί τινα δυσσεβῆ, καὶ ἀλιτήριον ἡγησάμενος ὁ Δημόφιλος ἀπελάκτισεν ὁμολογοῦντα μετ' αἰδοῦς πρὸς ἰατρείαν κακῶν ἥκειν, καὶ τυχεῖν ἐλέους δεόμενον· καὶ πάμπαν ἀπωσάμενος, ἔδοξέ τι μέγα κατωρθωκέναι· δι' ὃ καὶ μεγαλαυχῶν ἀνατίθησι τῷ μεγίστῳ ποιμένι τὰ πεπραγμένα, πρὸς ὃν τὴν πανωφελῆ τε καὶ πάνσοφον ἐπιστολὴν ἐκείνην ἀντέγραψεν ὁ θειότατος, τὴν πάσης ἀρετῆς καὶ εὐταξίας διδακτικὴν, δι' ἧς τὴν ἀνεκδιήγητόν τε τοῦ φιλανθρώπου κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ περὶ ἡμᾶς, καὶ μάλιστα μετανοοῦντας εὐσπλαγχνίαν, καὶ τὴν ἑαυτοῦ θεομίμητον συμπάθειαν διεσήμανεν, ἐπαγαγὼν ἱστορίαν φρικτὴν, ἣν ὑμῖν, ὦ θερμότατοι τῆς τῶν μεγίστων τοῦ ἀξιεπαίνου πατρὸς αὐχημάτων ἀκροάσεως ἐρασταὶ, προσθήσομαι. Εἰ βούλει, φησὶ, καὶ θείας ὁράσεως ἁγίου τινὸς ἀνδρὸς ἐπιμνησθήσομαι, καὶ μὴ γελάσῃς· ἀληθῆ γὰρ ἐρῶ. γενόμενόν με ποτὲ κατὰ τὴν Κρήτην, ὁ ἱερὸς ἐξεναγώγησε Κάρπος, ἀνὴρ καὶ εἴ τις ἄλλος, διὰ πολλὴν καθαρότητα νοῦ πρὸς θεοπτίαν ἐπιτηδειότατος. καὶ γοῦν οὐδὲ τῶν ἁγίων τῶν μυστηρίων



Ministerio de Educación, Cultura y Deporte

τελεταῖς ἐνεχείρει, μὴ πρότερον αὐτῷ κατὰ τὰς προτελείους εὐχὰς ἱερὰς, καὶ εὐμενοῦς ὁράσεως ἐπιφαινομένης. ἔλεγον οὖν ὅτι λελυπηκότος αὐτόν ποτε τῶν ἀπίστων τινός· ἡ λύπη δὲ ἦν, ὅτι τῆς ἐκκλησίας ἐκεῖνός τινα πρὸς τὸ ἄθεον ἀπεπλάνησεν, ἔτι τῶν ἱλαρείων ἡμερῶν αὐτῷ τελουμένων, δέον ἀμφοτέρων ἀγαθοπρεπῶς ὑπερεύξασθαι, καὶ θεὸν σωτῆρα συνλήπτορα λαβόντα, τὸν μὲν ἐπιστρέψαι, τὸν δὲ ἀγαθότητι νικῆσαι, καὶ μὴ διαλιπεῖν νουθετοῦντα διὰ βίου παντὸς, ἄχρις οὗ τὸ σήμερον, καὶ οὕτως ἐπὶ τὴν θείαν αὐτοὺς ἀναγαγεῖν γνῶσιν, ὡς ἂν ἤδη καὶ τῶν ἀμφισβητησίμων αὐτοῖς κρινομένων, καὶ τῶν ἀλόγως θρασυνομένων ἐννόμῳ δίκῃ σωφρονεῖν ἀναγκαζομένων. ἀλλ' ἐν ἑαυτῷ μὴ πρότερον τοῦτο παθὼν, οὐκ οἶδ' ὅπως τότε πολλήν τινα τὴν δυσμένειαν καὶ τὴν πικρίαν ἐμπλήξας, κατεδάρθη μὲν, οὕτω κακῶς ἔχων· ἑσπέρα γὰρ ἦν· περὶ δὲ μέσας νύκτας· εἰώθει γὰρ εἰς τόνδε τὸν καιρὸν αὐτὸς ἐφ' ἑαυτοῦ πρὸς τοὺς θείους ὕμνους ἐξεγρηγορέναι· διανίσταται μὲν οὐδὲ τῶν ὕπνων αὐτῷ πολλῶν γε ὄντων, καὶ ἀεὶ ἐκκοπτομένων, ἔξω τε ταραχῆς διαπολαύσας. ἑστὼς δὲ ὅμως εἰς τὴν θείαν ὁμιλίαν οὐκ εὐαγῶς ἠνιᾶτο καὶ ἐδυσχέραινεν, οὐκ εἶναι δίκαιον λέγων, εἰ ζῷεν ἄνδρες ἄθεοι, καὶ διαστρέφοντες τὰς ὁδοὺς τοῦ κυρίου τὰς εὐθείας. καὶ ταῦτα λέγων ἐδεῖτο τοῦ θεοῦ πρηστῆρί τινι τὰς ἀμφοτέρων εἰσάπαξ ἀνηλεῶς ἀποπαῦσαι ζωάς. ταῦτα δὲ εἰπὼν, ἔλεγε δόξαι ἰδεῖν ἄφνω τὸν οἶκον, ἐν ᾧ περ εἱστήκει, διαδονηθέντα, πρότερον ἐκ τῆς ὀροφῆς εἰς δύο μέσον διαιρεθέντα, καί τινα πυρὰν πολύφωτον ἐπιπρόσθεν ἑαυτοῦ, καὶ ταύτην· ἐδόκει γὰρ λοιπὸν ὕπαιθρος ὁ τόπος· ἐκ τοῦ οὐρανίου χώρου μέχρις αὐτοῦ καταφερομένην. τὸν δὲ οὐρανὸν αὐτὸν ἀναπεπταμένον, καὶ ἐπὶ τοῦ νώτου τοῦ οὐρανοῦ τὸν Ἰησοῦν, ἀπείρων ἀνθρωποειδῶς αὐτῷ παρεστηκότων ἀγγέλων· καὶ ταῦτα μὲν ἄνωθεν ὁρᾶν, καὶ θαυμάζειν,

Ministerio de Educación, Cultura y Deporte

κάτω δὲ κύψας ὁ κάρπος, ἰδεῖν ἔφη τὸ τοὔδαφος αὐτὸ πρὸς ἀχανές τι χάσμα, καὶ σκοτεινὸν διερρηγμένον, καὶ τοὺς μὲν ἄνδρας ἐκείνους, εἰς οὓς ἐπηρᾶτο, πρὸ αὐτοῦ κατὰ τὸ στόμιον ἑστηκέναι τοῦ χάσματος, ὑποτρόμους, ἐλεεινούς, ὅσον οὔπω καταφερομένους ὑπὸ τῆς τῶν οἰκείων ποδῶν ἀστασίας· κάτωθεν δὲ ἀπὸ τοῦ χάσματος ὄφεις ἀνέρπειν, καὶ περὶ τοὺς πόδας αὐτοῖν ὑποκινουμένους, ποτὲ μὲν ἀποσύρειν ἐπανειλουμένους ἅμα καὶ ἐπιβαροῦντας, καὶ ἕλκοντας· ποτὲ δὲ τοῖς ὀδοῦσι, τοῖς οὐραίοις ὑποτύφοντας, ἢ ὑπογαργαλίζοντας, καὶ διὰ παντὸς εἰς τὸ ἀχανὲς ἐμβάλλειν μηχανωμένους. εἶναι δὲ καὶ ἄνδρας τινὰς ἐν μέσῳ τοῖς ὄφεσι, κατὰ τῶν ἀνδρῶν συνεπιτιθεμένους, διαδονοῦντας ἅμα καὶ ὑπωθοῦντας, καὶ καταπαίοντας. ἐδόκουν δὲ εἶναι πρὸς τὸ πεσεῖν ἐκεῖνοι, τὰ μὲν ἄκοντες, τὰ δὲ καὶ ἑκόντες, ὑπὸ τοῦ κακοῦ ἅμα κατ' ὀλίγον βιαζόμενοι ἅμα καὶ πειθόμενοι. ἔλεγε δὲ ὁ κάρπος ἑαυτὸν ἥδεσθαι κάτω βλέποντα, τῶν ἄνω δὲ ἀμελεῖν, δυσχεραίνειν δὲ καὶ ὀλιγωρεῖν, ὅτι μὴ πεπτώκασιν ἤδη. καὶ τῷ πράγματι πολλάκις ἐπιθέμενον, καὶ ἀδυνατήσαντα, καὶ ἀχθεσθῆναι, καὶ ἐπαράσασθαι· καὶ ἀναβλέψαντα μόλις, ἰδεῖν μὲν αὖθις τὸν οὐρανόν, ὥσπερ τὸ πρότερον ἑωράκει, τὸν δὲ ἰησοῦν ἐλεήσαντα τὸ γινόμενον, ἐξαναστῆναι τοῦ ὑπερουρανίου θρόνου, καὶ ἕως αὐτῶν καταβάντα, χεῖρα ἀγαθὴν ὀρέξαι, καὶ τοὺς ἀγγέλους αὐτῷ συνεπιλαμβανομένους, ἄλλον ἄλλοθεν ἀντέχεσθαι τοῖν ἀνδροῖν, καὶ εἰπεῖν τῷ κάρπῳ τὸν ἰησοῦν, τῆς χειρὸς ἤδη προτεταμένης, παῖε κατ' ἐμοῦ λοιπόν· ἕτοιμος γὰρ εἰμί, καὶ αὖθις ὑπὲρ ἀνθρώπων ἀνασωζομένων παθεῖν, καὶ προσφιλές μοι τοῦτο, μὴ ἄλλων ἁμαρτανόντων ἀνθρώπων. πλὴν ὅρα, εἰ καλῶς ἔχει σοι τὴν ἐν τῷ χάσματι καὶ μετὰ τῶν ὄφεων μονὴν ἀνταλλάξασθαι τῆς μετὰ θεοῦ καὶ τῶν ἀγαθῶν καὶ φιλανθρώπων ἀγγέλων. ταῦτά ἐστιν ἃ ἐγὼ ἀκηκοώς, πιστεύω ἀληθῆ εἶναι.



Ministerio de Educación, Cultura y Deporte

ἠγάσθητε δὴ πάντως τοῦ ἀξιοθέου ἀρχιερέως, τὸ περὶ τὸ ὁμόφυλον συμπαθὲς, οὐχ ἧττον ἢ τὴν τοῦ ὄντως ἀγαθοῦ καὶ θεαρχικωτάτου ἱεράρχου χριστοῦ περὶ ἡμᾶς ἀγαθότητα, τῆς ἀξιοθαυμάστου θεοπτίας. ταύτης πυθόμενοι, καὶ ἔτι μειζόνως ἀγασθήσεσθε, εἰ τῶν ἀποστολικῶν ἀγώνων, καὶ δρόμων καὶ χαρισμάτων ἀκούσεσθε, οἷς καταγλαϊσθεὶς καθ᾽ ὅλην τὴν οἰκουμένην διέλαμψεν· οὐ γὰρ ἀθηναίων ἦν ποιμὴν καὶ διδάσκαλος μόνον, ἀλλὰ καὶ διδάσκαλος διδασκάλων, καὶ ποιμὴν ποιμένων, καὶ διαιτητὴς καὶ θεσμοθέτης· οὐδὲ μέχρις ἑλλάδος ὁ δρόμος αὐτῷ περιωρίζετο, ἀλλὰ καὶ μέχρι τοῦ ἰλλυρικοῦ τοῦ καθηγεμόνος αὐτοῦ, καὶ ἱεροθέτου παύλου παραπλήσιος· ἀποστολικὴν γὰρ χάριν καὶ σημείων δύναμιν εἰληφὼς, ἀποστολικῶς, οἷά τις ἥλιος πανταχόσε διέβρεχέ τε, καὶ τὸ τῆς ὄντως ζωῆς εὐαγγέλιον ἐκήρυττεν, ἀποστολικαῖς σαγήναις καὶ πανάγροις λίνοις ζωγρῶν, καὶ αἰχμαλωτίζων ἐκ τοῦ τῆς ἀγνοίας βυθοῦ πρὸς τὸ τῆς ἀληθείας φῶς, τοὺς σκότῳ πλάνης κεκρατημένους· ὅτι μὲν γὰρ τοῖς κατὰ διαφόρους χώρας, καὶ νήσους ἐκκλησιῶν ἡγεμονίαν καὶ διδασκαλίαν πεπιστευμένοις, ὡς διδάσκαλος καὶ κορυφαῖός τις ἄλλος ἀπόστολος, ὑποθήκας διδασκαλικὰς, καὶ μυστικὰς διδαχὰς ὑπετίθετο, σαφῶς διαγγέλλουσι τὰ πρὸς τοὺς ἐφεσίων, καὶ σμυρναίων, καὶ κρητῶν πανιερωτάτους, καὶ πρὸς αὐτῶν τῶν τῆς ἁγιωτάτης ἐκκλησίας θεμελίων, τῶν ἀποστόλων λέγω, προκεχειροτονημένους προέδρους, τιμόθεον, καὶ πολύκαρπον, καὶ τίτον, αὐτῷ διηγορευμένα δόγματα, καὶ μυσταγωγήματα, καὶ διατάγματα. ὅτι δὲ καὶ δρόμον ἀποστολικὸν τετέλεκε, καὶ παραδόξοις θαυματουργίαις θεόθεν δεδόξασται, πολλὰ μὲν καὶ ἄλλα πιστώσεται καθ᾽ ἃ προϊὼν ὁ λόγος, τοὺς μαρτυρικοὺς, οἷς καρτερικώτατα διήνυσεν ἄθλους ὑπαγορεύων διεξελεύσεται. μάλιστα δὲ ἡ μετάρσιον αὐτὸν τῆς ἑαυτ-

Ministerio de Educación, Cultura y Deporte

ρίου λήξεως ἀφαρπάσασα νεφέλη καὶ μετεωρίσασα, καὶ ἀεροπόρον, ὡς καὶ τοὺς ἀκροτάτους θεόπτας καὶ θεολόγους ἀποστόλους, ἄλλον ἀλλαχόθεν τῶν τῆς γῆς περάτων ἐξαπιναίως ἐπὶ τὴν παντσεβάσμιον Ἱερουσαλὴμ ἀπαγαγοῦσα τὴν πάντων Χριστιανῶν κοινομήτορα, καὶ τῇ τῶν θείων μυστηρίων ἀκροπόλει Σιὼν τῇ μητρὶ τῶν ἐκκλησιῶν, τοῖς Χριστοῦ φοιτηταῖς συνάψασα, ὅτε τὸ τῆς παναγνοῦ θεομήτορος ἐκηδεύετο λείψανον, τῇ τε ἐξ αὐτῆς ἀφράστως σεσαρκωμένου τε καὶ γεγεννημένου θεοῦ λόγου καταφοιτήσει καὶ περιπολήσει γεραιρόμενον, καὶ ταῖς οὐρανοβάμοσιν ἀγγελικαῖς τάξεσι δορυφορούμενον, καὶ τῆς Σιὼν ἐπὶ Γεθσημανῆ, τὸ οὐρανομίμητον αὐτῆς τέμενος ταῖς παναγέσι καὶ θείαις ἀποστολικαῖς κάραις τε καὶ ὠλέναις μεταιρόμενον, καὶ ταῖς πνευματοκινήτοις πυροειδέσι, καὶ θεολογικωτάταις γλώτταις ὑμνούμενόν τε καὶ δοξολογούμενον· ὅθεν ὁλόκληρος μετὰ τὴν ἐν μνήματι κατάθεσιν, εἰς τὴν ὑπερουράνιον ἀνελήφθη λῆξιν ἡ πάντων τῶν οὐρανίων ὑπερτέρα δυνάμεων, καὶ πάσης δεσπόζουσα κτίσεως. καὶ τοῦ τοῦ θεοφάντορος ἀκουστέον διαγορεύοντος· ἕτερος γὰρ οὐκ ἂν εἴη μάρτυς ἀξιοπιστότερος, περὶ τῆς ἀγγελοπρεποῦς τῆς ἰσαγγέλου χορείας ἐκείνης νεφελοδρόμου συνελεύσεως. Καίτοι καὶ τοῦτο ἡμῖν ἐπιτετήρηται λίαν ἐμμελῶς, ὥστε τοῖς αὐτοῦ τῷ θείῳ καθηγεμόνι κατ᾽ ἔκφανσιν σαφῆ διευκρινημένοις μηδ᾽ ὅλως ἐγκεχρηκέναι ποτὲ πρὸς τὴν ταυτολογίαν, εἰς τὴν αὐτὴν τοῦ προτεθέντος αὐτῷ λογίου διασάφησιν, ἐπεὶ καὶ παρ᾽ αὐτοῖς τοῖς θεολήπτοις ἡμῶν ἱεράρχαις, ἡνίκα καὶ ἡμεῖς, ὡς οἶσθα καὶ αὐτός, καὶ πολλοὶ τῶν ἱερῶν ἡμῶν ἀδελφῶν ἐπὶ τὴν θέαν τοῦ ζωαρχικοῦ καὶ θεοδόχου σώματος συνεληλύθαμεν· παρῆν δὲ καὶ ὁ ἀδελφόθεος Ἰάκωβος, καὶ Πέτρος, ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν θεολόγων ἀκρότης· εἶτα ἐδόκει μετὰ τὴν θέαν, ὑμνῆσαι τοὺς ἱεράρ-



Ministerio de Educación, Cultura y Deporte

παρὰ ἅπαντας ὡς ἕκαστος ἦν ἱκανὸς, τὴν ἀπειροδύναμον ἀγαθότητα τῆς θεαρχικῆς ἀσθενείας, πάντων ἐκράτει μετὰ τοὺς θεολόγους, ὡς οἶσθα, τῶν ἄλλων ἱερομυστῶν, ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος ἑαυτοῦ, καὶ τὴν πρὸς τὰ ὑμνούμενα κοινωνίαν πάσχων, καὶ πρὸς πάντων ὧν ἠκούετο, καὶ ἑωρᾶτο, καὶ ἐγινώσκετο, καὶ οὐκ ἐγινώσκετο, θεόληπτος εἶναι καὶ θεῖος ὑμνολόγος κρινόμενος. καὶ τί ἄν σοι περὶ τῶν ἐκεῖ θεολογηθέντων λέγοιμι· καὶ γὰρ εἰ μὴ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, πολλάκις οἶδα παρὰ σοῦ καὶ μέρη τινὰ τῶν ἐνθεαστικῶν ἐκείνων ὑμνῳδιῶν ἐπακούσας. μηδεὶς οὖν, ἀγαπητοὶ, τῷ λόγῳ διαπιστείτω, τοὺς ἀμφὶ κορνήλιον ἀναλογισάμενος, ὅτι καὶ ἐκεῖνοι τοὺς ἀμφὶ πέτρον, καὶ ἰωάννην, καὶ ἰάκωβον ὁμοίως ἐπλήσθησαν τῆς πυριμόρφου τοῦ παναγίου πνεύματος χάριτος, καὶ γλώσσαις ἐλάλησαν, καὶ θεραπουργικῆς ἰσχύος μετειλήχασι· πῶς γὰρ οἱ πάντη διεσπαρμένοι, καὶ ἄλλος ἀλλαχόσε παροικίαν ἰθύνειν, καὶ ἀποστολὴν ἐκτελεῖν προκεχειρισμένοι, οὕτως ἀθρόον ἐν ἀκαριαίῳ καιρῷ συνεληλύθεσαν, εἰ μὴ θείου νεφοειδοῦς ἕκαστος ἠξιώθησαν ὀχήματος. καὶ μὴν πᾶσι τοῖς κατὰ τὴν ἀρχὴν τοῦ εὐαγγελίου κηρύγματος τῇ ἀληθινῇ προσφοιτῶσι πίστει, καὶ φωτιζομένοις ἀπ' αὐτοῦ τοῦ θείου φωτίσματος, γένη τε γλωσσῶν, καὶ ἰαμάτων χαρίσματα, καὶ ποικίλων δυνάμεων ἐνεργήματα πλουσίως παρὰ τοῦ τῶν ὑπερφυῶν δωρημάτων παρεκτικοῦ τοῦ ἀγαθαρχικοῦ πνεύματος διεδίδοτο, μήτι γε τοῖς κατὰ τὸν μέγαν ἀποστολικὸν διονύσιον. ἀλλ' ἡ τῆς ἀθλητικῆς αὐτοῦ μαρτυρίας ἱερὰ σάλπιγξ ἐπὶ καιροῦ σαλπίσασα, τοὺς αὐτοῦ θείους ἀγῶνας εἰσδῦναι καὶ καταπλεῦσαι προτρέπεται, καὶ τὸν λόγον ἐπὶ τὴν τῶν ἐνδοξοτάτων αὐτοῦ μεθίστησιν ἀριστευμάτων ἐγκωμιαστικὴν ὑφήγησιν, πλήν γε πρὶν ἐπιβῆναι τοῦ τῶν μαρτυρικῶν σκαμμάτων ὁδοῦ, δεῖν εἰδέναι τὰ ὑπὸ φι-

Ministerio de Educación, Cultura y Deporte

ἐπήκοον ἀκροατήριον, ὡς τοῖς τοῦ εὐφημουμένου θεοκήρυκός τε καὶ ἱερομάρτυρος θεοπνεύστοις συγγράμμασιν ἑπόμενοι, τὴν αὐτοῦ μακαρίαν ἄθλησιν ἐν τοῖς ὑστάτοις τῆς τοῦ τραϊανοῦ βασιλείας γεγονέναι κατειλήφαμεν· ἐν μὲν τῷ τετάρτῳ τοῦ περὶ θείων ὀνομάτων λόγου κεφαλαίῳ φάσκοντος, ἔνθα τὴν τοῦ ἔρωτος ἐπωνυμίαν ἐξυμνεῖ. καίτοι ἔδοξέ τισι τῶν καθ' ἡμᾶς ἱερολόγων, καὶ θειότερον εἶναι τὸ τοῦ ἔρωτος ὄνομα τοῦ τῆς ἀγάπης. γράφει δὲ καὶ ὁ θεῖος ἰγνάτιος, ὁ ἐμὸς ἔρως ἐσταύρωται· τοῦτο γὰρ τὸ ῥητὸν ὁ θεοφόρος ἰγνάτιος, μέλλων ἐν ῥώμῃ μαρτυρικῶς ἀθλήσειν, καὶ τοῖς λέουσι βορὰ κατὰ τὴν τοῦ τυράννου τραϊανοῦ πρόσταξιν παραβληθήσεσθαι, περὶ τὸ τῆς αὐτοῦ τυραννείας ἔνατον ἔτος, κατὰ τῶν εὐσεβεστάτων χριστιανῶν διωγμὸν ἐγείραντος, ῥωμαίοις ἐπιστέλλων γέγραφεν· ὡς ἐκ τούτου παραδηλοῦσθαι, πρὸς τῷ τοῦ διωκτοῦ τυραννίδος πέρατι, καθὼς ἔφθημεν εἰρηκότες, τὸν ἱεροφάντην μεμαρτυρηκέναι διονύσιον. πρὸς δὲ τὸν τῆς βροντῆς υἱὸν τὸν ὑψηλότατα καὶ ὑπὲρ πάντα νοῦν ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον βροντήσαντά τε καὶ θεολογήσαντα τρισμακάριστον γράφων ἰωάννην ἐν πάτμῳ περιωρισμένον ἀποφάσει δομετιανοῦ, τοῦ μετὰ τίτον τὸν ἀδελφὸν αὐτοῦ βεβασιλευκότος· ἄμφω γὰρ οὐεσπεσιανοῦ παῖδες ἦσαν· περὶ τὸν τῆς αὐτοῦ βασιλείας ἔσχατον ἐνιαυτὸν κατὰ τῶν πιστῶν λυττήσαντος, φησὶ προφητικῶς προαγορεύων, καὶ προφητικῆς μετέχων χάριτος. Ἡμᾶς δὲ οὐδὲ τοὐναντίον ἀποστερήσει τῆς ἰωάννου παμφαοῦς ἀκτῖνος, νῦν μὲν ἐντευξομένους τῇ μνήμῃ καὶ ἀνανεώσει τῆς σῆς ἀληθοῦς θεολογίας. μικρὸν δὲ ὕστερον, ἐρῶ γὰρ εἰ καὶ τολμηρὸν, ὑμῖν αὐτοῖς ἑνωθησομένους, ἀξιόπιστος δὲ πάντως εἰμὶ, τὰ προεγνωσμένα σοι καὶ μαθὼν ἐκ θεοῦ καὶ λέγων, ὅτι καὶ τῆς ἐν πάτμῳ φυλακῆς ἀφεθήσῃ, καὶ εἰς τὴν ἀσιάτιδα

Ministerio de Educación, Cultura y Deporte

τὴν ἐπανήξεις, καὶ δράσεις ἐκεῖ τοῦ ἀγαθοῦ μιμήματα, καὶ τοῖς μετά σε παραδώσεις. τοῦ δομετιανοῦ τοιγαροῦν μετ' οὐ πολὺ τετελευτηκότος, κατὰ τὴν τοῖς χαρίσμασιν ἀποστολικοῖς τε καὶ προφητικοῖς διαπρέψαντος θεσπεσίου πατρὸς πρόρρησιν, νερούας τὴν βασιλείαν διαδεξάμενος, τοὺς ἐν ὑπερορίαις ἀνεκαλέσατο. τηνικαῦτα δὲ καὶ ὁ μέγιστος εὐαγγελιστὴς εἰς τὴν ἐφεσίων ἐπανῆλθε μητρόπολιν, καὶ τὰ τῆς προαγορεύσεως εἴληφε πέρας. τοῦ δὲ νερούα τὸν βίον μετηλλαχότος, ἐπὶ χρόνον ἕνα τὰς τῆς ῥωμαϊκῆς ἀρχῆς ἡνίας κεκρατηκότος, εἰς τραϊανὸν τὸν τύραννον τὸ κράτος μεταπέπτωκεν, ὃς λίαν τῇ κατὰ σκυθῶν τε καὶ θρᾳκῶν, καὶ διαφόρων ὅτι πλείστων ἐθνῶν ἐπαρθεὶς νίκῃ, καὶ δόξας μηδενὸς ἄρχειν, εἰ μὴ καὶ τὸ πανευσεβὲς τῶν χριστιανῶν σύστημα τῇ τῶν δαιμόνων καὶ βδελυκτῶν ξοάνων λατρείᾳ καὶ προσκυνήσει καθυποτάξειεν, ὠμότατον ἀνερρίπισε διωγμόν, καὶ πᾶσαν τὴν ὑπ' αὐτῷ τελοῦσαν γῆν μαρτυρικῶν αἱμάτων ἐμέθυσε, πάντοσε διαπεμψάμενος ἀπηνεστάτους διώκτας, προστάξας αὐτοῖς ἰταμῶς πάντας χριστιανοὺς καταναγκάζειν θύειν τοῖς εἰδώλοις, ἢ μὴ πειθομένους παντοδαποῖς ἀποκτείνειν βασάνων εἴδεσιν. ὁ μακάριος τοίνυν, καὶ τρὶς τοῦτο καὶ πολλάκις διονύσιος ἐπὶ ἑβδομηκονταετῆ χρόνον διὰ μυρίων ὀνειδισμῶν, καὶ πειρασμῶν, καὶ πολέμων, καὶ κινδύνων ὑπό τε τῶν ὁμογενῶν, καὶ τῶν ὁμοθρήσκων, καὶ τῶν συντρόφων φιλοσόφων, μᾶλλον δὲ ἀσόφων, διεληλυθὼς, καὶ πρὸς τοσαῦτα πλήθη βαρβάρων τε καὶ ἑλλήνων εἰδωλομανῶν, καὶ πρὸς τὴν τῶν ἀθέσμων καὶ δυσμενῶν ἑβραίων ἀγριωτάτην διασπορὰν ἀντιπαραταξάμενος, καὶ δραμὼν δρόμον διπλασίονα τοῦ ὃν παῦλος ὁ πολύαθλος καὶ οὐρανοδρόμος δεδράμηκεν, ὅσον γε κατὰ τὴν χρονικὴν παράτασιν, καὶ λαοὺς ἀπείρους διὰ τῶν ὑπ' αὐτοῦ τῇ τοῦ παναγίου πνεύματος ἐνερ-

Ministerio de Educación, Cultura y Deporte

γεία τελουμένων σημείων καὶ τεραστίων, σαλπίσας πρὸς τὴν εἰς χριστὸν πίστιν, τούς τε μακροτάτους καὶ χαλεπωτάτους τοῦ τε πρώτου διωγμοῦ διαύλους διαπεράσας, οὓς ὁ πρῶτος τῶν διωκτῶν, καὶ πάντων κάκιστος τῶν πώποτε βεβασιλευκότων, καὶ βεβηλότατος νέρων κατὰ τοῦ χριστωνύμου πληρώματος διήγειρε, καὶ τοὺς κορυφαίους τῶν χριστοῦ μαθητῶν ἀνεῖλε· τοὺς δ' αὖ μετέπειτα χειμῶνας οὓς ἡ δομετιανοῦ μανία κατὰ τῶν πιστῶν ἐπήγαγεν, ἀνδρείως ὑπομείνας, καὶ δόκιμος ἐν πᾶσι φανείς, διαβόητον ἀπηνέγκατο κλέος· ὅθεν ἡ ὑπόπτερος φήμη πανταχόσε θέουσα τὴν πανεύφημον αὐτοῦ προσηγορίαν ταῖς τοῦ τραϊανοῦ τραχυτάταις ἀκοαῖς ἐνήχησε, βροντηδὸν ἀναγγέλλουσα τὸν ἀποστολικὸν ὃν ἁπανταχῆ μετῄει πτερόεντα δρόμον, καὶ τὸν πολὺν ἱδρῶτα, καὶ μόχθον, καὶ τὴν ἐν ἔργῳ τε καὶ λόγῳ δύναμιν, δι' ὧν ἡ κηρυττομένη θειοτάτη καὶ σωτήριος πίστις σημείοις καὶ τέρασιν ὑπ' αὐτοῦ παραδόξως ἐνεργουμένοις ἐβεβαιοῦτο, καὶ ἐπλατύνετο, καὶ ὡς ἡ τῶν ἑλλήνων δεισιδαιμονία, καὶ εἰδωλικὴ θρησκεία κατὰ κράτος ἐστηλιτεύετο, καὶ κατελύετο. ἐφ' οἷς ἄγαν ταραχθεὶς ὁ λυσσώδης τύραννος, θηριώδεις τινὰς τὴν γνώμην, φαλαρίν τε καὶ ἔχετον τοὺς ἐπὶ θηριωδίᾳ καὶ ἀσπλαγχνίᾳ καὶ ὠμότητι βοωμένους, ὑπεραίροντας, ἐξέπεμψεν ἐν τοῖς πρὸς ἥλιον δύοντα μέρεσιν ἰχνηλατεῖν καὶ καταδιώκειν τὸν θεοκήρυκα, καὶ εἴπου τοῦτον εὕροιεν, εἴκοντα μὲν τοῖς βασιλικοῖς δόγμασι, καὶ λατρεύειν τοῖς δαίμοσι, καὶ θύειν ἀνεχόμενον, τιμαῖς καταγεραίρειν, καὶ ὡς αὐτὸν δορυφορούμενον ἀνάγειν, ἢ μὴ πειθόμενον αὐτόθι τῇ τοῦ ξίφους τιμωρεῖσθαι τομῇ. τοῖς οὖν τυραννικοῖς οἱ τοῦ διαβόλου θεράποντες ἀθεωτάτοις παροξυνθέντες προστάγμασιν, οἷα ἵπποι τινὲς οἰστρηλατούμενοι, ἢ πεινάλεοι θῆρες ἐπὶ θήραν ἐπειγόμενοι, κατὰ τὴν γαλλικὴν ἔθεον

Ministerio de Educación, Cultura y Deporte

χώραν, κἀκεῖθεν ὀχλαγωγήσαντες ἀγελαίους τινὰς καὶ δημίους ἅμα, κατεζήτουν τὸν παναοιδιμώτατον θεοφάντορα. καὶ δὴ καταμηνυθέντος αὐτοῦ τοῖς διώκταις ὑπάρχειν ἐν παρησίᾳ πολίχνῃ οὕτω καλουμένῃ, δρομαίως εἰσελάσαντες, ἐκεῖσε κατέλαβον αὐτὸν ἀπελαύνοντα τόν τε τῆς εἰδωλομανίας πλάνον καὶ ζόφον, τῷ τε τῆς ἀληθείας κηρύγματι, καὶ τῷ τῆς θείας διδασκαλίας διαυγάσματι, καὶ τοῖς τῶν θαυμάτων τερατουργήμασιν· ὀφθαλμοὶ γὰρ τυφλῶν ἀνέβλεπον, καὶ ὦτα κωφῶν ἠνοίγοντο, καὶ γλῶσσαι μογιλάλων ἐτρανοῦντο, καὶ βάσεις χωλῶν συνεσφίγγοντο, καὶ ποικίλων νοσημάτων ἀσθενοῦντες ἠλευθεροῦντο, τῇ τοῦ παντοδυνάμου σωτῆρος ἐπικλήσει, διὰ τοῦ θαυμασιωτάτου θεράποντος αὐτοῦ παραδοξοποιοῦντος, καὶ τοὺς ἐν σκότει τῆς ἀγνοίας καθημένους προσκαλουμένου πρὸς τὸ φῶς τῆς γνώσεως, καὶ σωτηρίας· ἐπὶ τούτοις γὰρ τῶν πιστῶν ἡ πληθὺς ηὐξάνετο, καὶ ναοὶ τῷ θεῷ κατὰ γαλλίαν, καὶ γερμανίαν, τὴν μεγίστην ἐπαρχίαν ἠγείροντο· ὁ δὲ τῶν δεισιδαιμόνων ἀριθμὸς ἠλαττοῦτο, καὶ τῶν εἰδώλων οἱ σηκοὶ κατερριπτοῦντο, καὶ ἡ τοῦ βελίαρ τοῦ δυσμενοῦς δυναστεία καὶ ἀπάτη κατεπατεῖτο καὶ ἐθριαμβεύετο. δι᾽ ὃ μὴ φέρων καταλυομένην ὁρᾶν τὴν ἑαυτοῦ δύναμιν ὁ δείλαιος, τοὺς ὑπηκόους καὶ ὑπουργοὺς κατὰ τοῦ ἁγίου τοῦ καθαιροῦντος αὐτοῦ τὴν ἐξουσίαν, καὶ τὴν αἰχμαλωσίαν παραδειγματίζοντος ἐξέμηνεν, οἵτινες αὐτὸν ἐμμανῶς συλλαβόντες σὺν ῥουστικῷ, καὶ ἐλευθερίῳ τοῖς διαγεστάτοις αὐτοῦ φοιτηταῖς, καὶ πνευματικοῖς υἱέσιν, ὧν τὸν μὲν, ἱερουργόν· τὸν δὲ, λειτουργὸν καθιέρωσεν· ἄμφω γὰρ συνηγωνιζέσθην καὶ συνεβεχέτην τῷ οἰκείῳ καθηγεμόνι, καὶ φοιταγωγῷ, καθάπερ παύλῳ τῷ τῆς οἰκουμένης φωστῆρι σιλουανὸς, καὶ τιμόθεος. καὶ καθεσθέντες ἐπὶ τυραννικῷ βήματι, ἐμβλέψαντες δρακοντείῳ βλέμματι, καὶ λεον-

Ministerio de Educación, Cultura y Deporte

θείῳ βρυχήματι κεκραγότες, ἤροντο λέγοντες, Ὦ δύστηνε γεραιὲ, σὺ τυγχάνεις ὢν ὁ τῶν θείων ἡμῶν τὸ σέβας ἀπαγορεύων· καὶ τοὺς λαοὺς μαγικῇ τέχνῃ, καὶ εὐγλωττίᾳ, γοητεύμασι πείθων μὴ λατρεύειν αὐτοῖς, καὶ τοῖς ἀνικήτοις ἀηττήτων βασιλεῦσι, καὶ τὴν τῶν δογμάτων αὐτῶν ἰσχὺν ἀποβδελυσσόμενος· ξένῃ σεαυτὸν ἐπιγραφῇ καὶ τινὸς θρησκείας εἶ· καὶ τίνα κηρύττεις θεόν· ὁ δὲ κατ' οὐδὲν δείσας τὴν αὐτῶν θρασυτάτην ἀπόνοιαν, εὐθαρσῶς λίαν ἀντεφώνησεν, Ἐγώ εἰμι ὁ τῆς ὑμῶν ἀθεΐας καθαιρέτης, καὶ τῆς εἰδωλικῆς μυσαρότητος καταλύτης, καὶ πάσης ἑλληνικῆς πλάνης στηλιτευτὴς τῇ τοῦ Χριστοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ δυνάμει καθεστηκὼς, ᾧ καὶ ἐμαυτὸν ἀνέθηκα δοῦλον, ᾧ καὶ λατρεύω ἐν τῷ πνεύματί μου, τῷ πρὸ πάντων μὲν τῶν αἰώνων ἐκ πατρὸς γεννηθέντι ἀπαθῶς καὶ ἀχρόνως· ἐπὶ τέλει δὲ τῶν αἰώνων, ἐκ παρθένου Μαρίας ἄνευ σπορᾶς τε καὶ φθορᾶς σαρκωθέντι, καὶ τεχθέντι, κατὰ πάντα, πλὴν τῆς ἁμαρτίας, βροτῷ καθ' ἡμᾶς χρηματίσαντι, καὶ διὰ οἰκείου σταυροῦ καὶ θανάτου τὸ κράτος τοῦ διαβόλου καταργήσαντι, καὶ τὸν θάνατον νεκρώσαντι, καὶ μέχρις ᾅδου τοῦ δυσείμονος κατελθόντι, καὶ τὸ ἐκεῖσε σκότος λύσαντι, καὶ τῇ τριημέρῳ αὐτοῦ ἐκ νεκρῶν ἀναστάσει φῶς τῷ κόσμῳ λάμψαντι, καὶ ζωὴν, καὶ ἀφθαρσίαν βλύσαντι· ὃς ἐξεδίδαξε σέβειν ἕνα θεὸν ἐν τρισὶν ὑποστάσεσι διαιρουμέναις ἀσυγχύτως, ἤγουν ἐν πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι, αὐτὸς ὑπάρχων εἷς τῆς ἀκτίστου τριάδος, συναΐδιος, καὶ συνάναρχος, καὶ ὁμοούσιος τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι· τοῦτον τὸν ἀληθινὸν θεὸν κηρύττομεν· ταύτην τὴν καθαρὰν καὶ ἀμώμητον τῶν χριστιανῶν πίστιν καταγγέλλομεν· ὑπὲρ ταύτης πάντα παθεῖν ἑτοίμως ἔχομεν, οὐ πῦρ οὐ ξίφος, οὐ θυμὸν ἀγρίων θηρῶν, οὐδὲ οἵαν οὖν πρὸς ὑμῶν ἐπινοουμένην βασάνων ἰδέαν δειμαίνοντες. τὴν εὐτολμίαν οὖν τοῦ

Ministerio de Educación, Cultura y Deporte

ἀνδρειοτάτου καὶ πολυΐδμονος γέροντος καταπλαγέντες οἱ τύραννοι, πάλιν πρὸς αὐτὸν καὶ τοὺς αὐτοῦ συνάθλους μαθητὰς εἶπον, ἀπειλήν τε πνέοντες καὶ μαργαίνοντες, Πρὸς ὑμῶν ἄρα τὰ τῶν βασιλέων ἡμῶν καὶ ἀρχόντων καταφρονεῖται δόγματά τε καὶ προστάγματα καὶ ἡ τῶν ἀηττήτων ἡμῶν θεῶν τιμὴ καὶ ἐξουσία προορᾶται; ὁ δὲ θεῖος ἱεράρχης, καὶ λόγῳ, καὶ ἔργῳ τῆς μαρτυρικῆς παρατάξεως προηγούμενος, θαρσαλεώτερον αὖθις ἀντεφθέγξατο, Ὄλοιτο βασιλέων καὶ ἀρχόντων ἅπαν ἀσεβές τε καὶ ἀντίθεον πρόσταγμα, καὶ θεοὶ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ὡς ἀδρανεῖς, ὡς μάταιοι, ὡς βδελυροὶ ὄντως ὑμῶν οἱ θεοὶ, καὶ οὐδενὸς λόγου ἄξιοι· δαιμόνια γὰρ τυγχάνουσιν ὄντες, καὶ διανοίας κακοδαίμονος ἀναπλάσματα, καὶ χειρῶν ἀνθρωπίνων τεχνάσματα. ὅμοιοι τοίνυν αὐτοῖς οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς γένοιντο, κωφοὶ, καὶ τυφλοὶ, καὶ ἀναίσθητοι· ἡμεῖς γὰρ Χριστὸν τὸν ὄντως ὄντα τῶν ὅλων θεόν τε καὶ δημιουργὸν, καὶ κηδεμόνα, καὶ τῆς ζωῆς χορηγὸν γινώσκομεν, καὶ αὐτὸν μόνον σέβομεν, καὶ κηρύττομεν, καὶ τὰς ἐλπίδας εἰς αὐτὸν ἀνατιθέμεθα, καὶ θανεῖν ὑπὲρ αὐτοῦ προθυμούμεθα, θυμάτων ἱερῶν, καὶ σφαγίων δίκην ἑαυτοὺς λογιζόμενοι, καὶ σπεύδοντες ἐπὶ τὴν τοιαύτην σφαγὴν, ἄγαν ἀγαλλόμεθα, ὡς ἀσφαλῶς πιστεύοντες αὖθις ἀναστήσεσθαι, τῆς κρείττονος, καὶ μακαριωτέρας, καὶ διαιωνιζούσης τευξόμενοι λήξεως, καὶ τοῖς ἀκηράτοις στεφθησόμενοι στέμμασι. τοὺς δ' αὖ καθ' ὑμᾶς εἰς αὐτὸν μὴ πιστεύοντας, ἀλλὰ τὴν αὐτοῦ θεότητα, καὶ τὴν ἀληθῆ καὶ ἀΐδιον, καὶ πέρας οὐκ ἔχουσαν βασιλείαν ἀθετοῦντας, καὶ τοὺς αὐτοῦ θεράποντας ἀναιροῦντας, αἰωνίῳ πυρὶ, καὶ βασάνοις ἀνηκέστοις καὶ ἀλήκτοις παραδιδομένους ὀψόμενοι. πρὸς ταῦτα ταραχθέντες οἱ παμπόνηροι καὶ ἀσεβέστατοι διῶκται,

Ministerio de Educación, Cultura y Deporte

καὶ πλησθέντες ὀργῆς, καὶ θυμοῦ, καὶ τοὺς ὀδόντας βρύξαντες, τὰ ξίφη ἀνασπασάμενοι, τοῦ τρισμακαρίου θεοκήρυκος τὸν αὐχένα προθύμως ἐκτείναντος, τὴν θείαν καὶ πανίερον κεφαλὴν ἀπέτεμον· μεθ᾽ ἣν καὶ τὰς τῆς ξυνωρίδος τῶν συνοπαδῶν, καὶ συνδρόμων, καὶ συνηθληκότων οὐχ ἧττον ἢ συγκεκηρυχότων, ἀπέκοψαν, θατέρου θάτερον, εἰς τὸ τῆς μαρτυρικῆς ἀγωνίας, καὶ κεφαλικῆς τελειώσεως προλαβεῖν σπευδόντων στάδιον, τοῖς τραχήλοις εὐθύμως, προβαλλόντων, καὶ τῇ τοῦ φασγάνου πληγῇ προτιθέντων εὐτρεπῶς, ὡς ἂν μὴ τοῦ παιδαγωγοῦ καὶ ἱεροτελεστοῦ πάμπαν ἀφυστεροῖεν ἐν ταύτῃ τῇ ἐπικήρῳ καὶ ἀκανθοφόρῳ βιοτῇ, ἀλλὰ συντόμως τὸν αὐτὸν τῷ διδασκάλῳ καὶ προσαγωγῷ τρόπον πρὸς τὸν ἀθλοθέτην συνεκδημοῖεν, ὃν τρόπον καὶ τοῖς ἄθλοις συνδιήθλησαν, ὅπως καὶ τῶν αὐτῶν στεφάνων καὶ ἐπάθλων ἅμα συμμέτοχοι πέλοιεν· πῶς γὰρ οἱ καλῶς παιδαγωγηθέντες, καὶ πολλοῖς ἤδη πολυειδῶς ἐγγυμνασθέντες ἀθλητικοῖς γυμνάσμασι, καὶ χριστὸν αὐτὸν θεῖον ἔχοντες ἔρωτα, δι᾽ ὃν πάντων, καὶ σώματος, καὶ ψυχῆς ἀφειδεῖν ἐδιδάσκοντο, ὅπως αὐτοῦ μόνου τοῦ σαφῶς ὄντος ξύλου τῆς ζωῆς, κατατρυφῷεν· οὐκ ἂν τοῦ γυμναστοῦ καὶ παιδευτοῦ τὴν ἐπὶ τὴν μαρτυρικὴν ἀριστείαν ἐζήλωσαν προθυμίαν· καθάπερ γὰρ στρατηλάτης κράτιστος τῆς στρατιᾶς προαγωνιζόμενος, τοὺς συμμαχητὰς προθυμαίνων, καὶ προκελευόμενος ἀδεῶς ἐνυάλιον, πρῶτος ὁμιλεῖ τοῖς τῶν πολεμίων στρατεύμασιν· οὕτως ὁ τῶν θείων ἀγώνων ἐμπειρότατος πρεσβύτης, καὶ βαθὺ, καὶ πῖον εἰσεληλακὼς γῆρας, πρὸς τὴν ὑπὲρ χριστοῦ μακαριωτάτην προπηδήσας σφαγὴν, τούς τε τῆς νίκης προεκομίσατο στεφάνους, καὶ τοὺς γλυκυτάτους υἱεῖς ἐφέπεσθαι, καὶ τὸν ὅμοιον ἀσπασίας ἐλέσθαι παμμακάριον προπαρεσκεύασε θάνατον. ὑιεῖς οὖν τὸν ἐν ἔτεσιν ἑβδομήκοντα τὴν ἀποστολικὴν ὁδεύ-

Ministerio de Educación, Cultura y Deporte

σαντα τρίβον, καὶ σωτῆρα χριστὸν κηρύξαντα, καὶ τοῦ σωτηρίου λόγου τὸν εὐγενῆ καὶ ἀκίβδηλον σπόρον ἐν πολλαῖς λογικαῖς ἀρούραις κατασπείραντα, καὶ πολύχουν ἀμησάμενον ἄσταχυν, καὶ γνησίοις μάλα καὶ τιμίοις ἐναποθέμενον ταῖς ἱεραῖς ἀποθήκαις καρποὺς ἀξίως θαυμάσειεν· τίς τὸν ἐπὶ τοσοῦτον χρόνου μῆκος εὐαγγελικῶς ἀλιεύσαντα, καὶ νικηφόρον ἀναδεδειγμένον ἐν μέσῳ χριστομάχων τυράννων, καὶ δήμου θηριωδεστέρου λεόντων, καὶ λύκων ἀπηνεστέρων ἐπαινέσειεν, ὅσον ἐπαινεῖν ἐποφείλεται· ποία γλῶττα πρὸς διήγησιν τῶν ἀρετῶν αὐτοῦ, κατορθωμάτων, καὶ ἀθλημάτων ἀρκέσειεν· ἃ γῆς μὲν αἱ φυλαὶ καταπεπλάγησαν, αἱ δὲ τῶν οὐρανῶν τάξεις ἐξεθαύμασαν· καὶ χριστὸς ὁ παμβασιλεὺς καὶ τῶν βραβείων διανομεὺς ἀπεδέξατο, καὶ ἀναρρήσεσιν ἐπινικίοις, καὶ στεφάνων ὑπερλαμπρῶν ἀμοιβαῖς τὸν κατωρθωκότα καὶ διηθληκότα διέστεψεν. ὢ τῆς ἁγίας καὶ θεσπεσίας κεφαλῆς, τῆς ὑπὲρ χριστοῦ τῆς ὄντως ἀγάπης τμηθείσης. ὢ τῆς πλεῖστα καὶ μέγιστα θεῖα, καὶ ἀπόρρητα χωρησάσης, ἃ μὴ κεχώρηκε κόσμος, πανιερωτάτης κορυφῆς, τῆς μυρίους καὶ μακροὺς διαθλησάσης ὑπὲρ τοῦ θείου κηρύγματος ἀγῶνας. ὢ τῆς ἐμβατευσάσης τοῖς ὑπερουρανίοις διακόσμοις, καὶ τὰ λόγου τε παντὸς πέρα καὶ νοὸς νοησάσης, καὶ φθεγξαμένης. ὢ τῆς θειοτάτης ψυχῆς ἐκείνης, τῆς διὰ ἀγγελικῆς δορυφορίας εἰς τὰς οὐρανίους ἀναπτάσης ἁψῖδας. ἣν ἐνδόξως πρὸς τὸν τῆς δόξης κύριον καὶ στεφανοδότην ἰησοῦν ἀνιοῦσαν τῶν εὐκλεῶν πόνων τἀπίχειρα κομιζομένην ὕμνησεν ἑκάστη τῶν ὑπερκοσμίων δυνάμεων, τὴν αὐτῆς ἄθλησιν γεραίρουσα, καὶ ἀμειβομένη τῆς ἀγγελοπρεποῦς ὑμνήσεως, ἣν ὁ κοινὸς αὐτῶν ὑμνήτωρ ἐνθεαστικῶς τε καὶ παναρμονίως συνήρμοσεν· ἣν ἡ ἄνω ἱερουσαλὴμ τὰς ἑαυτῆς ἀνοίξασα πύλας, ἐνεκολπώσατο· ἣν ἐκκλησία πρωτο-

τόκων

Ministerio de Educación, Cultura y Deporte

τῆκον ἀπογεγραμμένων ἐν οὐρανοῖς προσεπτύξατο· ἣν τὰ πνεύματα καὶ ψυχαὶ δικαίων ὁσίων καὶ ταπεινῶν τῇ καρδίᾳ, τὴν ἐν δικαιοσύνῃ καὶ ὁσιότητι, καὶ μετρίῳ, καὶ θείῳ φιλοτιμήματι πολιτευσαμένην, καὶ μέχρις αἵματος τὴν πίστιν παῤῥησιασαμένην, καὶ ὑπὲρ αὐτῆς πυκτεύσασαν ἐνηγκαλίσατο, ἧς τῶν ἀποστόλων ἡ χοροστασία περιπόθως ἐνεκαυχήσατο, ἐφ' ἧς τῶν προφητῶν ὁ χορὸς ἠγαλλιάσατο, μεθ' ἧς ἑορτάζει, καὶ εὐφραίνεται, τὴν ἐξ οἰκείων ἀγώνων καὶ αἱμάτων ὑφανθεῖσαν καὶ βαφεῖσαν βασιλικὴν πορφύραν περιβεβλημένην καὶ πεποικιλμένην τῶν ἀθλοφόρων μαρτύρων ἡ πανήγυρις. μακαριστέον τοίνυν τὴν πόλιν τὴν ταμιευσαμένην, τὴν τε θεοφόρον καὶ πανσεβασμίαν σου κεφαλὴν, καὶ τὸ τίμιον λείψανον, καὶ τὸ σὸν ὡς ἱερεῖα πανάμωμα, καὶ πανευῶδες θυμίαμα, τῷ θεῷ προσενήνοχας, συμφοιτητῶν, ὦ θεοκηρύκων, καὶ ἱεραρχῶν, καὶ μαρτύρων πανάριστε· καὶ τοῖς ἁγίοις ὑμῶν φοινιχθεῖσαν αἵμασιν, ἐξ ὧν ἰαμάτων καὶ κρουνοὺς νάουσιν ἀεὶ τοῖς πίστει προσφεύγουσι, καὶ τὴν τῶν ἀλγούντων νοσημάτων ἐξαιτοῦσιν ἴασιν. ὡς ἀληθῶς μεμακάρισται Παρησία, ἡ τῇ μὲν πηλικότητι τῶν κατὰ Γαλλίαν μικροτέρα πόλεων, τῷ κεκληρῶσθαι δέ σε, τῶν διδασκάλων ὦ πρόκριτε, θησαύρισμα παντὸς αἰσθητοῦ πλούτου τιμαλφέστερον, καὶ πολιοῦχον κεκτῆσθαι, καὶ φρούραρχον, λαμπροτέρα καὶ μακαριωτέρα χρηματίσασα· ἁγιασμὸς γὰρ αὐτῇ θεόθεν ἐδόθης, τὴν τῶν πολιτῶν καὶ ἐπηλύδων καθαγιάζων φιλόχριστον ἄθροισιν· καὶ πνευματικὸς ὄλβος, τρυφὴν παρέχων, οὐ τὴν τὸν σωματικὸν ὄγκον αὐξαίνουσαν, καὶ πρὸς βραχὺ τὸν φάρυγγα γλυκαίνουσαν, καὶ αὖθις ἀπολλυμένην, καὶ φθίνουσαν. ἣν γῆ καὶ θάλασσα φέρει, καὶ κόλπος ἱέρειος, καὶ ποταμὸς ἰχθυοφόρος, καὶ βαθύῤῥους, ὁ περικυκλῶν καὶ περιηχῶν τοῖς πλαγίοισι, νειλῴοις ἁμιλλώμενος χεύμασι, τεῖχος ὀχυρώτατον περιβεβλη-



Ministerio de Educación, Cultura y Deporte

σαι, οὐ ῥυτοῖς τε καὶ ξεστοῖς ἐξειλεγμένοις λίθοις ἡρμολογημένον τε καὶ δεδομημένον, καὶ προμαχῶσι, καὶ πύργοις, καὶ ἐπάλξεσιν ἐρηρεισμένον, οὐδ' ἕρκος σιδήρεον, ἀλλὰ τῇ σῇ τε καὶ τῶν σῶν συναθλητῶν τεθεμελιωμένον ἀριστείᾳ, καὶ ταῖς ὑμετέραις πρὸς θεὸν εὐπροσώποις πεπυργωμένον ἐντεύξεσι, πῦρ οὐρανόθεν καταγρύσαις, πεντηκοντάρχοις τε καὶ ἑκατοντάρχοις καὶ χιλιάρχοις ἀντιθέοις σὺν τοῖς αὐτῶν βαρβαρικοῖς καταναλίσκον σχαλεύμασι. λιμένα προσκεῖσαι σωτήριος, τοὺς ἐκ βιωτικῆς προσορμιζομένους ζάλης ὑποδεχόμενος, καὶ παντοίαν περισπαστικὴν ἀπείργων περιπέτειαν· λειμὼν νοητὸς, ὡς ὁ ἐν Ἐδὲμ παράδεισος, καὶ τὸ σὸν ἱερώτατον ἐπ' αὐτῇ πεφύτευται τέμενος, πᾶσαν διὰ τῆς ἐνοίκου χάριτος τοῖς πιστοῖς ψυχαγωγίαν παρεχόμενον, καὶ παντοδαπαῖς πνευματικαῖς ἐδωδαῖς πλήθουσαν παρατιθέμενον τράπεζαν, ψυχὰς ἑστιῶσαν, καὶ θάλλειν ποιοῦσαν, καὶ ζωὴν προξενοῦσαν τὴν ἄφθαρτον. ὡς οὖν ἐν παρρησίᾳ τῷ θείῳ καὶ ἐπουρανίῳ καὶ νοερῷ θυσιαστηρίῳ παριστάμενος, τῶν σῶν συστεφανιτῶν μεσούμενος, τὸν εὐμείλικτον ὑπὲρ τοῦ κόσμου παντὸς ἐκμειλισσόμενος Ἰησοῦν, τὸν ἀληθινὸν θεὸν, καὶ ἱεράρχην, καὶ στεφανοδότην, καὶ πάσης αἴτιόν τε καὶ πάροχον ἀγαθωσύνης, ὃν ἠγάπηκας, ὃν κεκήρυχας, δι' ὃν τὸν αὐχένα τμηθεὶς ἀξίως τὸ στέφος ἀπείληφας, τοὺς νῦν συναγηγερμένους εἰς ταύτην σου τὴν ἱερὰν καὶ σεπτὴν πανήγυριν, καὶ τὴν πανεράσμιόν σου μνήμην ἑορταστικῶς ἐκτελοῦντας, καὶ τὴν ἀξιογέραστον ὑμνοῦντας τε καὶ γεραίροντας ἄθλησιν, ἐποπτεύοις, καὶ περιέποις, καὶ εὐλογοίης, τὸν οἰκτίρμονα θεὸν ἐξιλεούμενος, καὶ πρεσβεύων, ἀρχιερεῦ θειότατε καὶ μαρτύρων περιφανέστατε, τὴν μὲν τῆς περιστοιχιζούσης βίας ἐπάχθειαν ἀποστῆσαι, καὶ τὴν καθ' ἡμῶν τυραννίδα καταπαῦσαι, καὶ τὴν ἐπαχλύζουσαν ἀπαμαυρῶσαι κα-

Ministerio de Educación, Cultura y Deporte

τὴν φαιδρὰν γαλήνην δὲ καὶ βαθεῖαν ἀταραξίαν ταῖς ἐκκλησίαις ἐπιβραβεῦσαι, καὶ εἰρηναίαν κατάστασιν, ὅπως εἰρήνης βραβευομένης, καὶ μιᾶς θείου δόγματος συμφωνίας καὶ ὁμονοίας κρατούσης, ὁ ὄντως ἀρχιποίμην καὶ εἰρηνάρχης χριστὸς παρὰ πάντων ὁμοφρόνως δοξάζοιτο, ᾧ πρέπει πᾶσα δόξα, καὶ τιμὴ, καὶ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ καὶ ὁμοουσίῳ γεννήτορι, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. ἀμήν.

# ΜΑΡΤΥΡΙΟΝ, ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ τοῦ ἀρεοπαγίτου.

ΜΕΤΑ τὴν μακαρίαν καὶ ἐνδοξοτάτην ἀνάστασιν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἰησοῦ χριστοῦ, καὶ τοῦ τοῦ ἀληθινοῦ θεοῦ ἀνδρικοῦ αὐτοῦ ναοῦ, ὑπὸ ἰουδαϊκῆς παρανομίας ὡς αὐτὸς εἶπε, διάλυσιν, καθὼς τῇ ἑαυτοῦ θείᾳ ἐξουσίᾳ τριήμερος ἐκ νεκρῶν ἐγήγερται· ἔτι δὲ καὶ μετὰ τὴν ἐκ τῆς ἡμετέρας ταπεινώσεως ἑαυτῷ κατὰ σάρκα ὑπεράνω πάσης οὐρανίου στρατιᾶς, καὶ ἐπάνω πάσης ἀγγελικῆς τάξεως ὕψωσιν καὶ ἀνάβασιν, καθ' ἣν τῷ θεῷ καὶ πατρὶ ἑαυτὸν ἰδίῳ θελήματι προσήνεγκε· μετὰ τὴν μετὰ ἡμέρας ν. διὰ τῆς ἁγίας αὐτοῦ ἀναλήψεως ἐν τοῖς ἁγίοις ἀποστόλοις τοῦ ἁγίου αὐτοῦ πνεύματος ἔκχυσιν, καθ' ἣν ἐξουσίαν εἰλήφασι δῆσαι καὶ λῦσαι, καὶ ταῖς ἁγίαις αὐτοῦ ἐκκλη-



Ministerio de Educación, Cultura y Deporte

σίαις ἄρχοντας προέδρους προστήσασθαι, καθὼς προώρισε περὶ τοῦ τὸν κόσμον γίνεσθαι μετὰ καιροὺς τῆς γενέσεως πόλεως ῥώμης ἐν ἔτει ὀγδοηκοστῷ ὀγδόῳ, ἐπιλαβομένου τὴν ἀρχὴν νέρωνος καίσαρος, πέμπτου αὐτοῦ ὄντος ἀπὸ αὐγούστου, ὁ μακάριος πέτρος ὁ ἀπόστολος μετὰ καὶ τῶν ἑτέρων ἀποστόλων ἀποσταλέντες κηρύξαι τὸ εὐαγγέλιον πάσῃ τῇ οἰκουμένῃ, αὐτὸς μὲν ἱκανὰ ἔτη τοῦ αὐτοῦ κηρύγματος τὴν ὑψηλοτάτην ῥωμαίων βασιλεύουσαν ῥώμην καταλαβὼν, κἀκεῖσε κηρύξαι οὐρανόθεν ἐνεπιστεύθη, ἵνα ὡς κορυφαῖος τῶν ἁγίων ἀποστόλων ἐν τῇ τάξει τῆς ἀποστολῆς γνησίως, πρῶτος ἐν ῥώμῃ γίνεται, ἐν τοῖς ἀγῶσι συμμέτοχος τοῦ τοῦ χριστοῦ παθήματος. καὶ γὰρ ἡ πόλις ὡς μεγάλοις συνεχομένη σφάλμασι, μείζοσιν ἔχρῃζε τρόποις διορθωθῆναι, ἵνα οὗ ἦν ἡ πλάνη βαρυτάτη, ἐκεῖ γένηται δὲ ἡ χάρις μεγάλη. εἶτα καθὼς εἴρηται, ὁ τύραννος δὲ ἀσεβὴς νέρων τὴν γῆν καὶ τὴν θάλασσαν οἰόμενος καθυποτάξαι τῇ ἑαυτοῦ τυραννίδι, ὀργῇ ἀπηνέας ἑαυτοῦ καὶ ἰταμότητι μανίας λυσσήσας, κατὰ τῶν δούλων τοῦ χριστοῦ ἐξήφθη· καὶ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ τυραννικῆς αὐτοκρατορείας τοὺς μακαρίους πέτρον, καὶ παῦλον ἀδίκῳ θανάτῳ κατεδίκασε, δι' ἐκχύσεως τοῦ μακαρίου αὐτῶν αἵματος, καὶ διὰ νίκης μαρτυρίου ἀξίως, καὶ ὡς ἄξιον προπέμψας αὐτοὺς εἰς τὴν τῶν οὐρανῶν βασιλείαν· ὅμως περὶ τοῦ τὸν μακάριον πέτρον διὰ τῆς νίκης τοῦ μαρτυρίου καταξιωθῆναι τῆς ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ συνδιαγωγῆς, τῷ μακαρίῳ κλήμεντι τὴν ἐξουσίαν τῆς ἐκκλησίας παρέθετο λέγων, ὥσπερ παρὰ τοῦ κυρίου μου ἰησοῦ χριστοῦ λῦσαι καὶ δῆσαι ἐμοὶ δεδώρηται ἐξουσία, οὕτω καὶ τὴν αὐτὴν ἐξουσίαν αἰωνίως δωροῦμαί σοι καὶ δίδωμι, ἵνα ὃν ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένος ἐν τοῖς οὐρανοῖς.

Ministerio de Educación, Cultura y Deporte

ταύτην τὴν ἐξουσίαν πεπληρωμένην τοῖς μετέπειτα τε-
λείοις καὶ ἀξίοις ἐν ταῖς ἐκκλησίαις περιηθῆν καταλέλοιπε
κλῆρον. περὶ μὲν τούτων ἐκ τῆς ἀκολουθίας τοῦ κατ' ἐκεῖνο
καιροῦ τῆς τε ἀποστολικῆς ἐκκλησίας ἐν ὀλίγῳ διηγησάμενοι,
ἐπὶ τοὺς τοῦ μακαρίου διονυσίου ἀγῶνας μετενέγκω τὸν λό-
γον, ἵνα καθὼς λέλεκται, ἐκ τῆς τῶν χρόνων ἀκολουθίας περὶ
αὐτοῦ ὀλίγα διεξέλθωμεν.

Μετὰ τὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἰησοῦ χριστοῦ ἐνδο-
ξοτάτην ἀνάληψιν, ὅτε ὁ μακάριος ἀπόστολος παῦλος διὰ
τῆς χάριτος τοῦ ἁγίου πνεύματος ἀπὸ τῆς πλάνης τῆς ἀπι-
στίας εἰς ὁδὸν σωτηρίας ἐπέστρεψεν, ὥστε πίστιν ἣν πρότερον ἐ-
πολέμησεν, ἐν ἐσχάτοις πεπληρωμένην ἐν δόξῃ κηρύξαι, καὶ
κατὰ τὴν τοῦ κυρίου διάταξιν, σκεῦος ἐκλογῆς γενέσθαι ἐν τοῖς
ἔθνεσι· τότε γὰρ τότε κηρύττων τὸ ὄνομα τοῦ κυρίου ἡμῶν ἰη-
σοῦ χριστοῦ τοῖς ἀγνοοῦσιν ἔθνεσιν, παρεγένετο ἐν ἀθήναις·
κἀκεῖσε τὸν ἅγιον ἄνδρα τουτονὶ διονύσιον ἐθνικοῖς ἔθεσι πρότε-
ρον ἐμπεριεχόμενον, εἰς ὁδὸν σωτηρίας ὁδηγήσας ἐπέστρεψε, καὶ
τῷ ἱερῷ βαπτίσματι ἀναγεννήσας, θείᾳ ἀγνωσίᾳ αὖθις ἐστε-
ρέωσε. τότε δὴ ὅτε τὰς ἀκάνθας καὶ τριβόλους τῆς πλάνης
ἐκ τοῦ βυθοῦ τῆς καρδίας αὐτοῦ, διὰ τῆς χάριτος τοῦ ἁγίου
πνεύματος, ἀπέτεμε, καὶ καρπὸν καὶ νέον βλάστημα ὡς ἐν τῇ
ἀγαθῇ γῇ ἀρδευόμενον θείῳ λόγῳ, καὶ τῇ ἐντεῦθεν θεωρίᾳ
ἀνέδειξεν· ὅτε δὲ καὶ οἱ χριστοῦ στρατιῶται ὁσημέραι τῷ θείῳ
ἔρωτι φλεγόμενοι, πανταχόσε ἔθεον τῆς θείας χάριτος ἄνω-
θεν αὐτοῖς συμπαρεπομένης. τότε καὶ ὁ μακάριος οὑτο-
σὶ διονύσιος, τῷ τοῦ σταυροῦ ἀρότρῳ τὴν θάλασσαν διατε-
μὼν, ἀπὸ ἀθηνῶν τὴν ῥώμην κατέλαβεν οὐρανίῳ καὶ θείῳ
θελήματι, ὡς ὑπὸ θεοῦ ἠγαπημένος, ὁδηγούμενος.

Εἰσελθὼν δὲ καὶ εὑρὼν τὸν μακάριον κλήμεντα, ὡς ἀνω-



Ministerio de Educación, Cultura y Deporte

τέρῳ εἴρηται, τὴν τῆς ἀποστολικῆς καθέδρας ἔχοντα ἐξουσίαν, μετὰ τῆς καθηκούσης τιμῆς, εὐθέως ὡς ὅσιόν τε ἦν ὑποδέδεκται. καὶ ἐν αὐτῷ τῷ καιρῷ ὅτε ὁ μακάριος ἀνὴρ Διονύσιος τοῦ μακαρίου Κλήμεντος τοῖς ἴχνεσι προσήγγισε, καὶ τῇ ἀποστολικῇ ἁγιωσύνῃ ἑαυτὸν ἐμπαρέθετο διδάσκαλος, καὶ αὐτὸς ἀποφανθεὶς, καὶ τούτῳ τῷ πρέποντι διδασκάλῳ ὑπὸ τοῦ ἁγίου Κλήμεντος τιμηθεὶς, καὶ ἀξίαν παρ' αὐτοῦ τὴν οἰκειοτάτην τιμὴν, ὡς παρὰ θεοῦ εἰληφὼς χάριν, ἐκομίσατο. καὶ ἐν ὅσῳ θεὸς ὁ παντοδύναμος τῷ μακαρίῳ Διονυσίῳ ζωαρκεῖν ἔτι ἐδωρήσατο, ἕως ἤμελλεν αὐτῶν πᾶσιν ἐπ' εὐσεβείᾳ φανερώσας. καὶ ὁ ἅγιος Κλήμης τότε Φίλιππόν τινα Ἰσπανίας ἐπίσκοπον προεστήσατο, καὶ τὴν ἐξουσίαν ἣν αὐτὸς ὁ θεῖος Κλήμης ἀπὸ τοῦ μακαρίου Πέτρου ἔλαβε, δέδωκεν αὐτῷ, λέγων, Πορευθεὶς ἐν τοῖς μέρεσι τῆς δύσεως, κήρυξον τὸ εὐαγγέλιον τῆς βασιλείας τῶν οὐρανῶν, καὶ δῆσαι καὶ λῦσαι ἔστω σοι ἐξουσία, ἵνα τοῦ Χριστοῦ τὸ εὐαγγέλιον καὶ διὰ σοῦ εἰς μῆκος καὶ πλάτος ἐκχυθῇ, ὅπως παρὰ τοῦ κυρίου ὡς πιστὸς δοῦλος ἀξιωθῇς ἀκοῦσαι, Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγων ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. κοινωνοὶ δὲ τοῦ ἁγίου Διονυσίου ἦσαν, Σατουρνῖνος, Μάρκελλος, καὶ Λουκιανὸς, σὺν αὐτῷ ὄντες, ἵνα ἐκ στόματος δύο ἢ τριῶν μαρτύρων, ἡ τῶν Χριστιανῶν πίστις τοῖς ἀγνοοῦσι μέρεσι παραδοθῇ.

Τούτων δὲ ὁμοῦ συνελθόντων καὶ πορευομένων, ἦλθον εἰς λιμένα Ἀρελάδι τῆς πόλεως. τότε ὁ ἅγιος Διονύσιος, Μάρκελλον εἰς Ἰσπανίαν ἀπέστειλεν, ἵνα τὸν λόγον τῆς ζωῆς ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ παραθήσῃ. αὐτὸς δὲ ὁ ἅγιος Διονύσιος, τῇ τοῦ ἁγίου πνεύματος θέρμῃ ἀναφθεὶς, καὶ ἀποστολικῇ πληρωθεὶς ἐξουσίᾳ, ἅπερ παρὰ τοῦ ἁγίου πνεύματος σὺν τῷ ἁ-

Ministerio de Educación, Cultura y Deporte

γίῳ κλήμεντι τὰ λόγια καταςπεῖραι τοῖς ἔθνεσιν ἐδέξατο, πίστει διένειμε πᾶσι τοῖς ἑσπερίοις μέρεσι. τὴν σκληρότητα δὲ τῶν ἀπείρων ἐκεῖσε ἐθνῶν μὴ δεδοικὼς, μηδὲ τὰς ἀσεβείας τοῦ λαοῦ φοβηθεὶς, προῆλθεν ἐπὶ τὸ κήρυγμα, τῷ τοῦ μακαρίου ἀρχηγοῦ τῶν ἀποστόλων, στερεωθεὶς πνεύματι, τοῦ ἐν ῥώμῃ γενομένου, καὶ δοθέντος τοῖς ἀπίστοις πρὸς τιμωρίαν. καὶ ὅτε ἀπὸ τῆς γαλλίας ὑποστρέψας ἐπὶ πλείω τοῖς ἐθνικοῖς ἔθεσιν ἀναφθεῖσαν ἔγνω τὴν πλάνην τῆς χώρας ἐκείνης, τότε διὰ σκέπη χρηματισθεὶς δυνατὸς, καὶ ἀληθινὸς ἀθλητὴς ἀπεδείχθη, ἐπιρρίψας ἑαυτὸν τοῖς ἀγῶσι, ἵνα ὡς ἄξιος ὑπάρχων ὁμολογίας καὶ πληρώσεως, γενέσθαι μὴ φοβηθῇ καὶ μάρτυς.

Ἀκοιτανίας δὲ τοῖς μέρεσι τὸν ἅγιον ἀντώνιον ἀποστείλας, αὐτοῖς σὺν τῷ ἁγίῳ λουκιανῷ, καὶ τῷ ἁγίῳ ῥουστικῷ καὶ τῷ ἁγίῳ ἐλευθερίῳ ἐν παρρησίᾳ τῇ πόλει ἐπορεύθη. ὁ ἅγιος δὲ λουκιανὸς πρεσβυτερικῇ τιμῇ τετιμημένος, εἰς τὴν βελουακένσιον ἀπεστάλη πόλιν, ἵνα καὶ αὐτὸς ὁμοίως τοῖς ἀπίστοις λαοῖς τὸ εὐαγγέλιον τῆς ἀληθείας παραδώσῃ. αὐτὸς δὲ ὁ ἅγιος διονύσιος ἐν τῇ παρρησίᾳ διέμεινεν· ἥτις πόλις καὶ μικρὰ ἦν, ἀλλ' οὖν ἐθνικῆς πλάνης πεπληρωμένη καὶ μεμιασμένη· ἀλλὰ καρποφόρος ἦν, καὶ δένδροις κεκοσμημένη, ἀμπέλοις δὲ καὶ βότρυσιν ὡς ἐκ πηγῶν ῥέουσα, καὶ προσφέρουσα τοῖς οἰκείοις διέλαμπεν· ἐν οἷς καὶ πραγματείαις τραπεζιτῶν ἅπασαι γωνίαι τῆς πόλεως καὶ τῶν τειχῶν περιτετειχισμένη γύρου, καὶ περιουσίαν ἰχθύων πρὸς τύποις ἀπὸ τοῦ ποταμοῦ, ὡς ἀπὸ προσώπου τῆς θαλάττης κομιδῆς δίκην προσφέρουσα, παρεῖχεν· ἐκ ὀλίγων δὲ καὶ ὁ ποταμὸς τοῖς τείχοις ἐγινώσκετο παρέχων βοήθειαν· καὶ αὐτὸς γὰρ τῷ πλάτει τῆς πόλεως, τῷ ἰδίῳ πλάτει ὥσπερ νη-



Ministerio de Educación, Cultura y Deporte

σον τῷ ὕδατι αὐτὴν περιεκύκλου. Τοῦτον οὖν τὸν τρόπον ὁ θεοῦ δοῦλος περιοδεύσας, καὶ τῷ στερεῷ τῆς πίστεως ὁπλισάμενος, θεῷ τῷ παντοδυνάμῳ πανταχοῦ βοηθοῦντι τε συνοδεύοντι αὐτῷ ἐκκλησίαν ἐκεῖσε κατὰ τὴν δύναμιν αὐτοῦ, καθότι νέος ἀκμὴν προσήλυτος ὑπῆρχε, τῷ κυρίῳ ἡμῶν ἰησοῦ χριστῷ εἰς τιμὴν ἀνέστησε· καὶ λαὸν νέον ἐν τῇ ἀληθείᾳ τοῦ εὐαγγελίου δεδιδαγμένον τῷ ἁγίῳ αὖθις ἐκεῖ βαπτίσματι κατεφώτισεν. ἐν ὅσῳ δὲ ὁ μακάριος ἀνὴρ ἡμέρας καὶ νυκτὸς διδασκαλικαῖς συνεστήσατο εὐσεβείαις τὴν πληθύν, καὶ τοῦ χριστοῦ ὁ λαὸς ἐκ τοῦ ἀρχαίου ἐχθροῦ τοῦ φάρυγγος ἐλυτρώθη, οὓς κατέσυρε πρὶν ὁ βελίαρ, τούτους ἀξίως παραπέμψαι εἰς τοὺς οὐρανοὺς διὰ τῆς πίστεως ὁ ἅγιος ἔσπευδε· φήμη δὲ τῆς ἁγιωσύνης αὐτοῦ εἰς μῆκος καὶ πλάτος αὖθις ἐξεχύθη· ὥστε οὐκ ὀλίγη τῶν πιστῶν τοῦ λαοῦ ἄθροισις ἄξιον αὐτὸν ἐδόξαζεν ἐπίσκοπον ἔχειν.

Οὕτως οὖν μετὰ ταῦτα τοῦ ἱερατικοῦ βαθμοῦ ταῖς θείαις ὑπουργίαις διαδότης καὶ ἁγιάζων δεδοκιμασμένα πρόσωπα, ὡς ἀξίους γινομένους ἑαυτῷ εἰς βαθμὸν ἀνῆκεν· ἀλλ᾽ ὁ κύριος ἡμῶν ἰησοῦς χριστός, ὁ τῷ μακαριωτάτῳ ἀνδρὶ διονυσίῳ μὴ συγχωρῶν ἔτι τὴν φήμην κρύπτεσθαι, ὡς τεθέντι λύχνῳ ἐπὶ λυχνίᾳ ἐν ταῖς τῶν ἀπίστων διανοίαις τὸ φῶς αὐτοῦ ἀκτινοειδῶς παρέθετο, καὶ τοσαύτας δι᾽ αὐτοῦ κατηξίωσε γενέσθαι καὶ δυνάμεις, ὅτι τῶν πολεμίων ἐθνῶν τὰς καρδίας οὐκ ἔλαττον τῶν εὐαγγελιζομένων ἀνέδειξεν· ὥστε ἐξ αὐτῶν τῶν δυνάμεων τε θαυμασίων αὐτοῦ καθ᾽ ἡμέραν ἐνδυναμοῦσθαι τε προστίθεσθαι δίκην τοῦ καιροῦ, ὅτι ταῦτα ἐξ ὑπαρχῆς ἐγένοντο.

Τοῦ ἁγίου δὲ ἀνδρός, ὡς φωνὴ βοῶντος, εἰς μῆκος καὶ πλάτος ἐκχυθείσης τῆς φήμης τοῦ ὀνόματος ἐπὶ τοσοῦτον δια-

Ministerio de Educación, Cultura y Deporte

λάμψαι, τότε ὡς καὶ δομετιανὸν τὸν τότε τὸν δεύτερον τῶν χριστιανῶν διωγμὸν ποιήσαντα μετὰ νέρωνα, κελεῦσαι ἐλθεῖν πρὸς αὐτὸν εἰς τὴν αὐλὴν αὐτοῦ· ὅστις ἐς τοσαύτην λύσσαν ἀναξιότητος ἐξήφθη καὶ παρήχθη, ὥστε προστάξαι, ἵνα ὅπου δὴ ἂν χριστιανόν τινα εὕροιεν, αὐτὸς ἢ οἱ αὐτοῦ, ἢ θῦσαι μεμιασμένοις πείσαιεν, ἢ ποικίλαις βασάνοις περιπεσόντα, θανάτῳ μαχαίρας παραδοθῆναι. τούτοις δὲ τοῖς νόμοις ὑποτάξας ἑαυτῷ γένη κεκλιμένα, μέγας τοῖς τοῦ χριστοῦ δούλοις ἐγένετο διωγμὸς ἐν τοῖς ἐκεῖσε περιτρέχων, οὐδεμιᾶς τοῖς διὰ χριστὸν ἀγωνιζομένοις ἐνεστώσης ζωῆς συγχωρουμένης διὰ πάσης· οὐδεμία γὰρ τῶν ἁγίων μαρτύρων ὑπῆρχε παραίτησις ἐλευθερίας· ἀλλὰ καὶ πάντες οἱ αὐτοῦ τὴν ἀσέβειαν φυλάττοντες τοῦ δόγματος, ὅπερ προστεταγμένον αὐτοῖς ὑπὸ τοῦ καίσαρος εἴη, ὑπερβῆναι διὰ παντὸς οὐ κατετόλμων. ἀλλ᾽ ἔτι καὶ ἐπιλέκτων ἄθροισμα μετὰ μεγάλης βοῆς καὶ ἀπηνείας τοῖς μέρεσιν ἀπέστειλε πάσης τῆς δύσεως, ὅπως τὸν ἅγιον ἄνδρα τοῦτον διονύσιον ἀναζητοῦντες εὕροιεν εἰ δυνηθῶσιν, ἵνα ἢ τὰ προστάγματα τοῦ ἐξουσιάζοντος ἐκπληρῶσαι πείσωσιν, ἢ τιμωρίαις μὴ βουλομένων ἀπαλλάττεσθαι ἀμειβήτοις, ἢ τὴν κεφαλὴν ἀποτμηθῆναι.

Μετὰ δὲ ταῦτα τὰ προστάγματα τοῦ ἄρχοντος ὁ ὄχλος προσδέξασθαι τῆς γαλλικῆς συναπήχθη τοῖς τυράννοις, τοῦ διελθεῖν ἐν τοῖς συνορίοις αὐτῶν· καὶ παρ᾽ εὐθὺ τοῦ μακαρίου ἐκείνου ἀνδρὸς τὸ ἐπάξιον ὄνομα ἀνεφανίσθη αὐτοῖς. οὕτως οὖν ὡς αὐτοῖς ἐγένετο προστεταγμένον, ταχίστῳ δρόμῳ, προθύμῳ καρδίᾳ καὶ ἠλλοιωμένῳ προσώπῳ εἰς παρησίαν εἰσελθόντες, ἐκεῖσε τὸν ἅγιον ἄνδρα τουτονὶ διονύσιον εὗρον κατὰ τῶν ἀπίστων πολεμοῦντα, καὶ διδάγμασι καθ᾽ ἑκάστην πλήθη λαῶν εἰς τὴν πίστιν τοῦ χριστοῦ προσκαλούμενον. μετ᾽ αὐτοῦ δὲ καὶ

Ministerio de Educación, Cultura y Deporte

τὸν μακάριον ἄνδρα ῥουστικὸν τὸν πρεσβύτερον, καὶ ἐλευθέ-
ριον τὸν διάκονον, οὓς αὐτὸς ὁ μακάριος ἀνὴρ εἰς τοὺς ἰδίους
βαθμοὺς καθιέρωσε τοῖς οὖν διδάγμασιν αὐτοῦ κοινωνοὺς τε
μαθητὰς ὄντας τῶν διωκτῶν, ἡ σκληρότης καὶ ἡ ἀσέβεια κα-
τέλαβεν ἅμα· οὗτοι γὰρ οἱ ἅγιοι ἄνδρες ἀπὸ τοῦ μακαρίου
διονυσίου ἀχώριστοι ὑπῆρχον, οὓς καὶ ἡ θεία εὐσέβεια προε-
γίνωσκεν ὑπάρχειν συγκληρονόμους. ἔχαιρεν οὖν ὁ ἀγαθὸς
πατὴρ ἐν τοῖς δυσὶ προκόπτουσιν υἱοῖς, ὅτι ἄξιοι ἦσαν υἱοὶ τοῦ
πατρὸς τὸ φορτίον ἐν πνεύματι τοῖς ἁγίοις ἐλαφρὸν βαστά-
σαι, ἵνα τὸ βάρος τῆς σαρκὸς ἀποθέμενοι, ἐν καθαρῷ δυνη-
θῶσιν αἰθέρι πέτασθαι, οἷς καὶ φῶς ἐστι συνών.

Θαυμάζω δὲ πῶς ἀόπλοις ἀνδράσι οὐκ ἠδύνατο πλη-
θὺς ἔνοπλος ἀντιστῆναι. τότε οὖν ὁ ἀρχέκακος ἐχθρὸς, θεω-
ρῶν τὴν ἑαυτοῦ δύναμιν ἀπολλυμένην καὶ τὴν τοῦ κυρίου φυ-
λαττομένην τε νικῶσαν, καὶ καθ' ἑκάστην τὴν τοῦ λαοῦ προ-
βαίνουσαν πίστιν, πάσῃ τῇ τέχνῃ αὐτοῦ εἰς ἔχθραν πολεμικὴν,
ἢ ὡς ἦν καθωπλισμένη κατ' αὐτῶν ἐπέστρεψε· τε αὐτοὺς
τοὺς εἰς ἕνα τε ἀληθινὸν κύριον πιστεύοντας, καὶ τῷ ἁγίῳ βαπτί-
σματι ἤδη πεπληρωμένους τῆς τούτων διδασκαλίας, ἑαυτῷ
πιστεῦσαι διὰ πολλῶν βασάνων ἐξομολογουμένους ἔσπευδε
πεῖσαι. ἀλλ' οἱ ἅγιοι ἄνδρες ὁμολογηταὶ καὶ μάρτυρες, τὴν αὐτοῦ
καὶ τῶν ἀσεβῶν λύσσαν τῇ ἁγίᾳ διδασκαλίᾳ αὐτῶν καὶ ταῖς
μεγάλαις δυνάμεσι διαλύοντες, ἐπεστήριζον τοὺς μαθητὰς,
συναντῶντες τοῖς ἀνόμοις, οὐδενὶ φόβῳ τῶν ἀσεβῶν προσ-
έχοντες, τὴν τοῦ χριστοῦ ἐκκλησίαν καθ' ἡμέραν εὐθηνοῦ-
σαν ἐπροίκιζον· καὶ ὅτε ἡ ἐκκλησία ὑπὸ τῶν ἰδίων διδασκά-
λων τῷ λόγῳ ἐκύετο τεθεμελιωμένη ἱκανῶς, εἰ τε τὰ μάλι-
στα συνεταράχθη, καὶ ὡς καταιγίδι συνεσχέθη τῶν διωκτῶν
τότε αὐξανομένων τῇ τυραννίδι· τότε καὶ αὐτὴ μάλιστα γερμα-

Ministerio de Educación, Cultura y Deporte

νία, ἡ μεγάλη χώρα, θηριώδεις σκληρότητος καὶ ἀσεβείας μετέχουσα, ὑποτεταγμένῃ καρδίᾳ καὶ κατανενυγμένῃ, τὸν τράχηλον ἑαυτῆς τῷ τοῦ χριστοῦ ζυγῷ ὑποθήσασα καὶ δεδαμασμένη. ἔχαιρε τῇ τῶν διδασκάλων στερεωθεῖσα πίστει. καὶ αὖθις κατέρριπτον τὰ εἴδωλα αὐτῶν τὰ ἐκ τῆς αὐτῶν ἐξόδου ᾠκοδομημένα, καὶ λιμένα σωτηρίας εὑρόντες, εἰδώλων ἔχαιρον ἀπολέσθαι τὰ ναυάγια. ἐθρήνει οὖν τότε ἡ μερὶς κινηθεῖσα τοῦ διαβόλου, ὅτι ἡ νικητικὴ ἐκκλησία πιστῶν λεγεῶνι ἐξενίκησεν, καὶ ὅτι ταῦτα ἐγίνοντο θυμῷ ἀσεβείας, οἱ ὑπηρέται τῇ σκληρότητι ἐξαφθέντες, ἕνα ἐκ τούτων τὸν ἅγιον ἄνδρα διονύσιον μετὰ μεγάλης καρδίας καὶ πίστεως καταπολμήσαντα, αὐτὸν ἰδόντες, προσελθόντες εἶπον, Οὐκ εἶ σὺ ὁ ἀνώνυμος γέρων, ὁ τῶν θεῶν ἡμῶν τὸ σέβας κενώσας, καὶ τοῖς ἀνικήτοις ἄρχουσιν ἀντιπίπτων, καὶ τὰ δόγματα αὐτῶν ἀποβαλλόμενος· εἰπὲ νῦν, τίνος ἑαυτὸν λέγεις τὸν λάτριν· ἢ ποίαν ἐξομολόγησιν τῆς ἑαυτοῦ ἐξουσίας προγράφεις. τότε λοιπὸν οὗτοι οἱ τρισμακάριοι ἄνδρες, διονύσιος, ῥουστικὸς καὶ ἐλευθέριος τῶν τριῶν παίδων τῶν ἐν καμίνῳ τοῦ πυρὸς περιπατούντων τῷ πνεύματι ἐμπιπλώμενοι καὶ τοῖς χαρίσμασιν, ὡς ἐξ ἑνὸς στόματος τοιαύτην τῶν ἐρωτώντων ἔδωκαν ἀπόκρισιν, δούλωσις ἡμῶν χριστιανῶν νόμῳ γινώσκεται δεδουλωμένη· ὅντινα οὖν ἐξομολογούμεθα, φανερῶς τοῖς ὠσὶν ὑμῶν ἐνηχοῦμεν. ἐξομολογούμεθα γὰρ καὶ κηρύσσομεν, καθὸ καὶ πιστεύομεν, πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, πατέρα ἀγέννητον, υἱὸν ἐκ μόνου πατρὸς γεννηθέντα, καὶ πνεῦμα ἅγιον ἐκ πατρὸς ἐκπορευόμενον. πρὸς ταῦτα οἱ ἀσεβεῖς διῶκται καὶ τύραννοι, τοῖς μακαρίοις ἐπηρώτων, ἁγίοις τοιαῦτα ἀποφθεγγόμενοι, Καὶ λοιπὸν τῶν ἀρχόντων ἡμῶν ἐξ ὑμῶν καταφρονεῖται ἡ κέλευσις παραβλέπεσθαι, καὶ οὐχ ἡ ὑμετέρα ἐξομολόγησις

τῶν ἀνικήτων θεῶν τῇ ἐξουσίᾳ ὑπόκειται. οἱ δὲ ἅγιοι ὡς ἀνωτέρω εἴρηται, ἐν μιᾷ ψυχῇ ἀποκριθέντες εἶπον, Ὡς προέφημεν, χριστὸν θεοῦ υἱὸν, γεννηθέντα ἐκ παρθένου μαρίας, παντὶ τῷ λαῷ ἀληθῶς προευαγγέλλοντες καὶ κηρύσσοντες κατατολμῶντες καὶ πιστεύομεν καὶ ἐξομολογούμεθα, τῷ στόματι οὐ καταπαύομεν αἰνοῦντες, ἐν ταύτῃ τῇ τῶν ἁγίων ἀνδρῶν πίστει καὶ ἀποστολῇ ἐνδυναμωθέντες διαμένομεν. οἱ δὲ ἀσεβεῖς διῶκται καὶ τύραννοι, μικρὰν ἄνεσιν δεδωκότες τῶν μακαρίων τραχήλων, διὰ τὴν πίστιν τοῦ χριστοῦ ἐπιμαθέντων, ξίφει ἀπέκοψαν τὰς κεφαλὰς, ἀποδιδόντες τῇ γῇ τὰ σώματα, τῶν μακαρίων ψυχῶν τῷ οὐρανῷ ἀποδοθεισῶν. φανερωθείσης δὲ τῆς ἁγίας ἀγαθότητος τοῖς μάρτυσιν ὧν δέδοται ἡ νίκη μετὰ τοῦ σώματος, ἀποτμηθεῖσα ἡ κεφαλὴ τοῦ διδασκάλου, ἐβλέπετο ἐκείνοις τοῖς δυναμένοις πίστει ὀρθῇ καὶ γλώσσῃ κυρίῳ ὁμολογεῖν ὡς ζῶσα καὶ προβαίνουσα. ὢ ἀληθῶς μακαρία πληθὺς, καὶ τῷ κυρίῳ ἡμῶν ἐν τῇ χάριτι ἀναμεμνημένη. ὢ ἁγία καὶ ἐπαινετὴ ἀδελφότης, ἐν οἷς οὔτε πρῶτος δεύτερος δύναται γενέσθαι, οὔτε τρίτος· ἀλλὰ τῆς ἁγίας τριάδος τὴν δόξαν ἐξομολογούμενοι, ὡς ἀπὸ σημείου ἑνὸς τῆς πόλεως εἰς μικρὸν βουνὸν ἄξιοι γεγόνατε μαρτυρίου διὰ τῆς ἁγίας τριάδος ἁγιασθέντες. ἔκειντο οὖν εἰς τὴν κορυφὴν τοῦ βουνοῦ, ἀποτμηθέντα σώματα ἀτίμητα, πεπληρωμένα τῷ μαρτυρίῳ τοῦ χριστοῦ, καθὼς προελάλησαν οἱ προφῆται περὶ τῶν μελλόντων, ὅτι τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ἔτι οὖν φανερωθείσης τῶν μαρτύρων καὶ ἱερέως τῆς ἀξίας καὶ τῆς ἐνδοξότητος διὰ τὴν σωτηριοφόρον τοῦ διδασκάλου ἐπανθήσασαν πίστιν, ἤρξατο ὁ καρπὸς ἀνατεῖλαι, καὶ ἐκείνῳ πλέον δόξαν γενέσθαι διὰ τοῦ μαρτυρίου ἑαυτοῦ τὴν νίκην τῶν σιωπώντων.

Ministerio de Educación, Cultura y Deporte

Τοῦ μακαρίου δὲ Διονυσίου καὶ ἀρχιερέως ὑμνοῦντες τὸ μαρτύριον, τὸ ἅγιον αὐτοῦ ἄνευ ψυχῆς σῶμα πιστευόμεθα ἐγηγέρθαι· καὶ γὰρ τῇ μακαρίᾳ χειρὶ ἑαυτοῦ τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος ὑπὸ τῶν ἀνόμων τῷ ξίφει ἀποτμηθεῖσαν ἔλαβε, καὶ κρεμαμένην τῷ βραχίονι ἐνηγκαλίσατο, καὶ ἀπὸ τῆς τοῦ βουνοῦ κορυφῆς, δύο μίλια πλήρης ἐν ἰσχύϊ τοῖς ποσὶν ἐβάστασε, νέον καὶ ἀρχαῖον καὶ τοῖς μετέπειτα ἐξάκουστον θαῦμα ἄνευ ψυχῆς καὶ κεφαλῆς σῶμα, ὡς ζῶν τρέχειν κατὰ τὸ ἔθος, καὶ ἄνθρωπον ἤδη τεθνηκότα ἰσχυροῖς προβαίνειν ἴχνεσι.

Τῶν μακαρίων οὖν πάλιν Ῥουστίκου καὶ Ἐλευθερίου φοβηθέντες οἱ ἀσεβεῖς, μή πως συνελθόντες λαοὶ πίστει δεδοκιμασμένοι εὐχητὰ σώματα αὐτῶν ἑαυτοῖς εἰς ἀντίληψιν ἐν σωροῖς καταθήσονται, γενομένης βουλῆς εἰς ἀκάτιον ἐν τῇ ἀβύσσῳ συνεῖδον τοῦ ὕδατος ἀπολῦσαι. ἀλλὰ θεὸς ὁ παντοδύναμος, ἀγαθὸς, δίκαιος καὶ ἐλεήμων, ὁ τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ ἀνθρωπίνου γένους οὐδέ ποτε παριδὼν, ὁ τοῦ Φαραὼ τὴν βουλὴν τῇ ἐρυθρᾷ θαλάσσῃ καταβυθίσας, καὶ τοῦ Ἀχιτόφελ αἰσχύνῃ χοινίου τὸν τράχηλον ἀποκόψας, αὐτὸς καὶ τὴν ἀσύστατον τούτων βουλὴν τῷ ἐλέει αὐτοῦ κατέβαλεν, ἵνα τὰ λαμπρὰ δύο φωστήρια, μὴ τῷ βυθῷ τῶν κυμάτων κατακαλυφθῶσιν, ἀλλὰ τοῦ Χριστοῦ ἡ ἐκκλησία δυνάμεις ἔχῃ ἀεὶ πολεμιστάς.

Ἐν τούτοις γυνὴ ἔντιμος Κατοῦλα ὀνόματι, ἥτις ἐθνικοῖς φόβοις ἀκμὴν κρατουμένη ὑπῆρχεν, ἐπιστρέψασα τότε εἰς τὴν πίστιν τοῦ Χριστοῦ διὰ τῶν θαυμάτων τῶν μαρτύρων, ἑαυτὴν εἰς ἐπιθυμίαν ἐξέδωκε, καὶ τῇ γνώμῃ ἔδειξε καὶ τοῖς ἔργοις, τοῦ πόθου τὴν δύναμιν· καὶ ἐλέει θεοῦ κατανυγεῖσα, ἐπελθούσης αὐτῇ ἄνωθεν δυνάμεως, συμβούλιον ἔλαβε, καὶ δὴ εἰς συμπόσιον ἱκέτευσεν ἐλθεῖν τοὺς διώκτας. καὶ ὅτε αὐτοῖς πολλὰ δῶρα προσήνεγκεν, ἐπιεικῶς τὴν μῆνιν τῆς κακοβου-

Ministerio de Educación, Cultura y Deporte

λίας αὐτῶν ἐξήτεσκε κατὰ τῶν μαρτύρων· τοῖς δὲ πιστοῖς τὰ ἀπόκρυφα τῆς καρδίας αὐτῆς φανερώσασα, προσέταξεν, ἵνα συλλήσωσι κρυπτῶς τὰ τίμια σώματα τῶν μαρτύρων εἰς ἓν τῶν μερῶν τῆς πόλεως, ἐν τῇ πέρα τῇ εἰς μικρὸν κειμένῃ πεδίον, τὸ ἐπιμαθεῖν εἰς σποράν, ὅπη τοῦ μέλλοντος καταχώσαντες, ἀποκρύψωσιν· οἵτινες τὰ κελευσθέντα πληρώσαντες, σπουδαίως τὸ αὐτοῖς προσταχθὲν ἐπετέλεσαν.

Ὢ κλεψοσύνη ἐπαινετή, ἥτις οὐ προσήγαγε ζημίαν, ἀλλὰ μᾶλλον ἐπωφελὲς κέρδος. εἶτα ὡς ἔθος ἐστὶ τοῖς σπείρουσι τὴν χώραν αὐτῶν, πώλοις ἐκδέχεσθαι τὸ ἀνέγκαι τὸν καρπόν· οὕτω τῶν μακαρείων μαρτύρων ἐστὶν ἡ χώρα ἐκείνη πεπληρωμένη περικὸς, καὶ χάριτος εὐθηνουμένη, ὅπως ἑκατονταπλασίονα καρπὸν οἱ πιστεύοντες γεωργοὶ ἀμήσωνται, ἀξιούμενοι σωτηρίας, καὶ μέγα θησαυρὸν τοῖς μετέπειτα καταλείψωσιν αἰωνιωσύνης.

Ἡ προρρηθεῖσα δὲ κοσμιωτάτη, μὴ ἐπιλαθομένη τῶν μαρτύρων τὸν ἁγιασμόν, ὡς ἤδη τῶν τυράννων εἰδία καταπαύσασαν τὴν φλεγμονήν, τόπον εὔθετον ὀφείλοντα φυλάττειν τῶν ἁγίων μαρτύρων τὰ ὀστᾶ, πάσῃ ἐπιμελείᾳ κατεζήτησε, καὶ εὑροῦσα μέγα ξύλον, οἰκοδομὴν ἐσφράγισεν, τὴν θαυμασιωτάτην καὶ μητροφαμήλιον γυναῖκα οὐ χωρὶς ἀξίας πιστεύομεν, αὐτὴν δὲ φόβου, τῶν ἁγίων μαρτύρων τύπων ὁμοιωθῆναι, ὅτι εἰ μὴ καὶ αὐτὴν ὁ λυτρωτὴς πάντων εἰς πίστιν τοῦ ἰδίου ὀνόματος ἐλθεῖν ἠξίωσεν, οὐδέποτε ἡ καρδία αὐτῆς συμβουλίαν τοιαύτην ἐξηύρεσκεν. ἀλλ᾽ ἐκ τούτου χωρὶς πάσης ἀμφιλογίας πιστεύομεν, ὅτι τῶν μακαρείων μαρτύρων τὰ ὀστᾶ διεφύλαξε δι᾽ ἀγαθῆς βουλῆς, ὡς ἄξια αὐτῶν γινομένη, καὶ ταῖς ἱκεσίαις αὐτῶν ἐν τῇ πίστει προκόψασα ἐν ἀληθείᾳ.

Τῶν χριστιανῶν δὲ ἡ πληθύς, ὡς πολλὴ οὖσα, διὰ τῆς τῶν

Ministerio de Educación, Cultura y Deporte

μακαρείων μαρτύρων διδασκαλίας ἐπιστρέψασα, παντὶ μόχθῳ καὶ καμάτῳ, καθὼς ἠδύνατο, μετὰ πάσης προσευχῆς καὶ μεγάλης ἐπιθυμίας ἐπάνω τῶν μακαρείων σωμάτων τῶν ἁγίων μαρτύρων ἐκκλησίαν οἰκοδομήσασα, καὶ ἐν τῇ ἁγίᾳ δόξῃ τῆς ἁγίας τριάδος, τρίτον ἀριθμὸν ἀξίως μετὰ ἀρωμάτων κατέθετο τὰ ἄξια σώματα θεοῦ τοῦ παντοδυνάμου βοηθοῦντι ἐν ἀγαθοῖς καθ' ἡμέραν δυνάμεσι καὶ σημείοις διαλάμπουσι. ποῖος οὖν λόγος ἢ ποία γλῶσσα τοσούτων μαρτύρων ἐπαρκέσαι διηγήσασθαι τὰς δυνάμεις, ὁπόταν οὐδὲ αὐτοὶ δύνωνται ἀνθρωπίνῳ λογισμῷ κατανοῆσαι τὰ ἑαυτῶν· ἀθενοῦσι γὰρ σωτηρίαν, χωλοῖς τὸ περιπατεῖν, τυφλοῖς φῶς, κωφοῖς τὸ ἀκούειν, καὶ ἀλάλοις διδόντες λόγον, καὶ ἀκάθαρτα πνεύματα παρεδρεύοντα τοῖς σώμασιν ἐκδιώκοντες, ἀπαύστως παρέχουσι τὰς ἰάσεις. καὶ ἀγαθῇ εὐχῇ καὶ μακαρίᾳ ὑπακοῇ παραινούμενοι ἡμεῖς, εἰ καὶ τὰ μάλιστα οἱ ἀνάξιοι ταῖς αὐτῶν πιστεύομεν προσευχαῖς βοηθούμενοι σώζεσθαι, ἢ καὶ ἐξισάμενοι ὡς ἀνάξιοι τὰς αὐτῶν ἡμῖν ἀξίας παραστῆσαι πειρώμεθα· οὐχὶ γὰρ ἐκ τῶν ἡμετέρων τρόπων ὧν κεκλήμεθα, ἢ οἰκείᾳ προγνώσει, ἀλλ' ἐκ παλαιᾶς διηγήσεως ἡμῖν ἐξωνήχθη, καὶ ἃ ἐκ μέρους ἐκ παγίου ἀρχαίου ὀλίγα καθὰ ἠδυνήθημεν καὶ ἀπὸ μακρῶν χρόνων ἀκηκόαμεν, ἐν συγγραφῇ παρεδώκαμεν, οὐκ αὐτομολήσαντες περὶ τὴν ἐξήγησιν, ὡς εἴρηται, ἀλλ' ὡς τῶν μεγάλων ἔγνωμεν διηγήματα διδασκάλων, φοβούμενοι τὸν θεὸν, καὶ τῇ μνήμῃ τῆς ἀγάπης ἀναπτόμενοι, πολλὰ τῶν μακαρίων ἀνδρῶν φωτεινὰ θαύματα ἠγωνισάμεθα εἰς ἔπαινον χριστοῦ, καὶ δόξαν τῶν μαρτύρων, καὶ ἀνάμνησιν ἐν ἐσχάτοις ἱεροῖς παραδοῦναι χάρτεσιν, ἵνα μὴ ἀποκλέψαντες καὶ ἀμελήσαντες, καὶ τῷ ἀρχαίῳ κατηγοροῦντι καθ' ἡμῶν ἐχθρῷ καὶ φθονοῦντι πειθόμενοι, σι-

Ministerio de Educación, Cultura y Deporte

γήσαντες ὁμοίως τοῖς λέγουσιν, ὅτι φλογὶ καυστικῇ κατακε-
καυμένα εἰσὶ τὰ συγγράμματα αὐτῶν, ἀποτύχωμεν τῆς χά-
ριτος αὐτῶν. τῶν δὲ ἡμετέρων ἐνίων γρηγορούντων τῇ αὐ-
τῶν χάριτι καὶ χωρούντων ἐξ ὀλίγων τῶν συγγεγραμμένων
δύνανται τὰ νοηθέντα καὶ ῥηθέντα εἶναι μεγάλα.

Ταῦτα δὲ χωρὶς φόβου πιστεύομεν πολλοὺς αὐτοὺς τε ἑτέ-
ρους διὰ χριστὸν ὑπομεμενηκέναι ἀγῶνας, ὅτι καὶ ἕως τοῦ νῦν
τοσαῦτα δι' αὐτῶν ἡ θεία δύναμις καταξιοῖ φανερωθῆναι
θαυμάσια, ὥστε ἐξίστασθαι πάντας τοὺς οἰκοῦντας, καὶ παρα-
τυγχάνοντας. ἔπαθον οὖν οἱ μακάριοι μάρτυρες τοῦ χριστοῦ,
διονύσιος, ῥουστίκος καὶ ἐλευθέριος, ἑβδόμῃ καλανδῶν ὀ-
κτωβρίου, ἐπὶ δομετιανοῦ βασιλέως ἐν τοῖς μέρεσι τῆς γαλ-
λίας καὶ παρησίας πόλεως, βασιλεύοντος τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ, ἅμα τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

EXCVDEBAT GVIL. MO-
RELIVS, TYPOGRAPHVS
REGIVS, PARISIIS, M.D.
LXII. MENSE FE-
BRVARIO.

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

TOLEDO
BIBLIOTECA PROVINCIAL
Sala Reserva
Número 730

IN EOS
B. DIONYSII

Res.
730